ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

16

ΕΠΟΠΤΗΣ - ΕΠΙΜΕΛΗΤΗΣ ΕΚΔΟΣΕΩΣ
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, Π. ΘΕΟΛΟΓΙΑΣ

ΕΠΕ



ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ
ΘΕΣΣΑΛΟΝΙΚΗ, ΑΠΡΙΛΙΟΣ 2003

ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

16

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟΝ ΗΣΑΙΑ

ΒΙΒΛΙΟΝ Α'. ΛΟΓΟΙ Α'.-Ε'.

Κειμενο - Μεταφραση - Σχολια
απο τον
Ιγνατιο Σακαλη
Φιλολογο

ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

16

Copyright :
ΕΛΕΥΘΕΡΙΟΣ ΜΕΡΕΤΑΚΗΣ
Γ. Μπακατσέλου 3, Θεσσαλονίκη
Τ. Θ. 400 90. 560 10 Θεσσαλονίκη
Τηλ. 0310/283 880. Οἰκίας 0310/696 653.

ΕΙΣΑΓΩΓΙΚΟ ΣΗΜΕΙΩΜΑ

Ὅπως ἀναφέρθηκε καὶ σὲ προηγούμενους τόμους ἡ ἑρμηνεία τῶν Γραφῶν ὑπῆρξε μιὰ ἀπὸ τὶς κύριες ἀπασχολήσεις τοῦ μεγάλου αὐτοῦ πατέρα τῆς Ἐκκλησίας μας, τοῦ ἁγίου Κυρίλλου, ἀφοῦ μέσα σ' αὐτὲς ἔχει ἐναποθηκευθεῖ ὁ λόγος τοῦ Θεοῦ περὶ τῆς σωτηρίας τοῦ ἀνθρώπινου γένους, ποὺ χορηγήθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ καταγράφηκε μέσα σ' αὐτὲς ἀπὸ τὴ γραφίδα τῶν θεόπνευστων μεγάλων ἐκείνων ἀνδρῶν, τῶν ἁγίων προφητῶν παλαιότερον, καὶ τῶν ἁγίων Εὐαγγελιστῶν καὶ Ἀποστόλων μεταγενέστερα.

Ἕνα λοιπὸν ἀπὸ τὰ μεγάλα ἑρμηνευτικὰ ἔργα του ὑπῆρξε ἡ ὑπομνημάτιση τοῦ προφήτη Ἡσαΐα, ἔργο πολὺ δύσκολο, λόγω τοῦ μεγάλου μεγέθους αὐτοῦ καὶ τῶν βαθύτατων πνευματικῶν ἐννοιῶν ποὺ περιέχονται σ' αὐτό. Τόσο σ' αὐτὸ ὅσο καὶ στὰ ἄλλα ἑρμηνευτικὰ του ἔργα, ἀκολουθώντας πιστὰ τὸν θεῖο του Θεόφιλο, ἐφαρμόζει σχεδὸν πάντοτε τὴν τυπολογικὴ ἑρμηνεία, ἀποφεύγοντας τὴν ἀλληγορική, ποὺ ἦταν πολὺ προσφιλὴς ἀπὸ ἄλλους πατέρες. Ὄντας βαθὺς νοῦς καὶ μὲ βαθειὰ γνώση τῶν ἁγίων Γραφῶν, ἑρμηνεύει κατὰ τρόπο καταπληκτικὸ ὅλα τὰ θησαυρίσματα τοῦ ἁγίου Πνεύματος, ὅπως αὐτὰ παραδόθηκαν στὴ μεγάλη ἐκείνη προφητικὴ σάλπιγγα καὶ διακηρύχθηκαν στὸν τότε περιούσιο λαὸ τοῦ Θεοῦ.

Τὸ ὅλο ἔργο θὰ ἐκδοθεῖ σὲ πέντε κατὰ σειρὰ τόμους, ποὺ ἐλπίζομε νὰ ὁλοκληρωθεῖ ἐντὸς τοῦ ἔτους 2003.

Τὸ κείμενο λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ MG, στὸ ὁποῖο ἔχουν γίνει οἱ ἀναγκαῖες διορθώσεις, κυρίως στὴ στίξη.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΣΑΪΑΝ

ΒΙΒΛΙΟΝ Α΄. - ΛΟΓΟΙ ΕΞ.

ΠΡΟΟΙΜΙΟΝ

Ἀσυμφανὴς μὲν ἀεὶ τῶν ἁγίων προφητῶν ὁ λόγος, μεμέστωται δὲ τῶν κεκρυμμένων ἐννοιῶν, καὶ μυστηρίων ἡμῖν τῶν θείων ὠδίνει προαγόρευσιν. Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός, καθὼς γέγραπται. Χρῆναι δέ φημι, τοὺς ἐθέλοντας διατρανοῦν τὰ οὕτως ἰσχνὰ καὶ αἰνιγματώδη τῶν θεωρημάτων πλάτη, διανοίας ὄμματι περιαθρεῖν ἐπείγεσθαι, καὶ μάλα εὐφρόνως. τοῦτο μὲν τῆς ἱστορίας τὸ ἀκριβές, τοῦτο δὲ τῆς πνευματικῆς θεωρίας τὴν ἀπόδοσιν, ἵνα πανταχόθεν τοῖς ἐντευξομένοις ἐκβαίη τὸ ὠφελοῦν, καὶ ἡ τῆς τῶν προκειμένων ἐννοίας διασάφησις οὐδὲν ἔχουσα τὸ ἐνδεὲς διαφαίνοιτο. Οἶδα μὲν οὖν ὅτι φθάσαντές τινες προγεγράφασιν εἰς ταῦτα, καὶ μακροὺς ἡμῖν περὶ αὐτῶν ἐποιήσαντο λόγους· ἀπόχρη δὲ οἶμαι τουτὶ καὶ πρός γε τὸ δεῖν ἑτέροις ὄκνου πρόφασιν οὐκ ἀγεννῆ παρασχεῖν, ἀναπεῖσαί τε σιωπῆσαι ἑλέσθαι μᾶλλον, οἷς ἕτεροι προειρήκα-

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ ΣΤΟΝ ΠΡΟΦΗΤΗ ΗΣΑΪΑ

ΒΙΒΛΙΟ Α΄. - ΛΟΓΟΙ ΕΞΙ

ΠΡΟΟΙΜΙΟ

Εἶναι ἀσαφὴς πάντοτε ὁ λόγος τῶν ἁγίων προφητῶν καὶ γεμᾶτος ἀπὸ κρυμμένες ἔννοιες καὶ ἐγκυμονεῖ τὴν προαγγελία γιὰ ἐμᾶς τῶν θείων μυστηρίων. Γιατὶ τέλος τοῦ νόμου καὶ τῶν προφητῶν εἶναι, ὅπως ἔχει γραφεῖ, ὁ Χριστός[1]. Πρέπει ὅμως, πιστεύω, ὅποιοι θέλουν νὰ διευκρινίσουν τὶς τόσο λεπτὲς καὶ αἰνιγματικὲς ἔννοιες νὰ σπεύδουν νὰ ἐξετάζουν μὲ τὰ μάτια τοῦ νοῦ, καὶ μάλιστα μὲ πολλὴ εὐφροσύνη, τόσο τὴν ἀκρίβεια τῆς ἔκθεσης, ὅσο καὶ τὴν ἀπόδοση τοῦ πνευματικοῦ νοήματος, γιὰ νὰ προκύπτει ἀπὸ ὅλα ἡ ὠφέλεια τῶν ἀναγνωστῶν καὶ ν᾽ ἀποδεικνύεται ὅτι ἡ διασάφηση τῆς ἔννοιας τῶν ἐξεταζομένων δὲν ἔχει καμμιὰ ἔλλειψη. Γνωρίζω βέβαια ὅτι ἤδη ἔχουν γράψει μερικοὶ γι᾽ αὐτὰ καὶ μίλησαν διὰ μακρῶν, καὶ νομίζω ὅτι ἀρκεῖ αὐτὸ γιὰ νὰ δώσει σὲ ἄλλους τὴν εὐγενῆ πρόφαση νὰ διστάσουν, ἀλλὰ καὶ νὰ τοὺς πείσει νὰ προτιμήσουν τὴ σιωπὴ μᾶλλον, μὲ τὴ σκέψη ὅτι δὲν θὰ προσθέσουν τίποτε τὸ καινούργιο σὲ ὅσα οἱ ἄλλοι εἶπαν, ἀλλὰ θὰ

---

1. Πρβλ. Ρωμ. 10, 4.

σιν ἐπειπεῖν καινὸν μὲν οὐδέν, ταυτοεπεῖν δὲ μᾶλλον, καὶ διὰ τῶν αὐτῶν ἰέναι θεωρημάτων. Ἐπειδὴ δὲ κἂν τοῦτο συμβαίνῃ παθεῖν, τὸ λυποῦν ἂν εἴη παντελῶς οὐδέν, καὶ διὰ τῆς τῶν πλειόνων συμφωνίας ἐμπεδοῦσθαι πρὸς ἀλήθειαν τοὺς ἀκροωμένους, ὄκνου κρείττονα γενέσθαι καὶ νῦν ἐμαυτὸν ἀναπείθω, τὸν ἐπ' ἀγαθοῖς σπουδάσμασιν ἱδρῶτα καὶ πόνον τῆς ἐν τῷ ῥέγχειν ἀργείας ἀμείνω τε εἶναι πεπιστευκώς, καὶ οὐκ εἰσάπαν ἀπειρηκὼς τὴν ἐλπίδα, τοῦ καὶ ἔσθ' ὅτε καινὸν καὶ ἐξηλλαγμένον προσευρεῖν τι δύνασθαι, κατευρύνοντος Θεοῦ τὴν ἔν γε τοῖς θεωρήμασι τρίβον. Γέγραπται γάρ, ὅτι «Πλατεῖα ἡ ἐντολή σου σφόδρα».

Προφητεύει τοίνυν ὁ μακάριος Ἡσαΐας ἐν καιροῖς βασιλείας Ὀχοζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐξεκίου. Καὶ φέρε τῶν ἑκάστου καιρῶν διαμνημονεύσωμεν, διεβίω τε ὅπως ἐπιδρομάδην λέγωμεν. Εἰσόμεθα γὰρ ἐντεῦθεν, ὅτι τοῖς δρωμένοις κατὰ καιροὺς πρέπων τέ ἐστι καὶ ἁρμοδιώτατος τῆς προφητείας ὁ λόγος. Γέγονε τοίνυν εὐσεβὴς ἀνὴρ ὁ Ὀζίας, ὁ καὶ Ὀχοζίας, προβέβηκε δὴ ὁμοῦ δόξης τε καὶ ἰσχύος εἰς τοῦτο, ὡς κατακρατῆσαι τῶν ἐθνῶν τῶν προσηκόντων τὴν Ἰουδαίαν, καὶ μὴν καὶ δασμοὺς ἐπιθεῖναι πολλοῖς, καὶ σκήπτροις ἰδίοις ὡς ἐξ ἀνάγκης ὑπενεγκεῖν, ἀναδείμασθαί τε πόλεις, καὶ προσλαβεῖν ἑτέρας, καὶ συνάψαι τοῖς ὁρίοις τῆς Ἰουδαίων γῆς. Εἶτά τι πέπονθε τῶν ἀνθρωπίνων. Ἀπό γάρ τοι τῆς ἄγαν τρυφῆς καὶ τῇ τῆς εὐκλείας ὑπεροχῇ νενικημένος, τρόπον τινὰ πεφρόνηκεν ὑψηλά, καὶ τῇ τῆς ὑπεροψίας νόσῳ κεκρατημένος, καὶ αὐτοῦ τοῦ θείου κατεξανέστη νόμου. Ὠήθη γὰρ δεῖν καὶ τοῖς τῆς θείας ἱερωσύνης αὐχήμασιν ἑαυτὸν στεφανοῦν. Ἐπεχείρησε γὰρ εἰς τὸν θεῖον εἰσελάσαι ναόν, αὐτὸς δὲ δι' ἑαυτοῦ θυμιᾶν τῷ Θεῷ καὶ πληροῦν ἐκνόμως τὰ νενομισμένα. Ταύτης ἕνεκα τῆς αἰτίας λελέπρωται παραχρῆμα, καὶ ἦν ἀτιμότατος· μιαρὸς γὰρ κατὰ νόμον ὁ τῷ τῆς λέπρας πάθει κατισχυμένος.

1α. Ψαλμ. 118, 96.

ταυτολογήσουν μᾶλλον καὶ θ' ἀναπτύξουν τὶς ἴδιες θεωρίες. Ἐπειδὴ ὅμως, κι ἂν ἀκόμα συμβεῖ κάτι τέτοιο, δὲν ὑπάρχει ἀπολύτως τίποτε ποὺ νὰ μᾶς κανει νὰ λυπούμαστε, καὶ μὲ τὴ συμφωνία περισσοτέρων ἐμπεδώνεται ἡ ἀλήθεια στοὺς ἀκροατές, πείθω τὸν ἑαυτό μου νὰ κατανικήσει καὶ τώρα τὸν δισταγμό, πιστεύοντας ὅτι ὁ ἱδρώτας καὶ ὁ κόπος γιὰ ἀγαθὰ σπουδάσματα εἶναι ἀνώτερος ἀπὸ τὰ ροχαλητὰ τῆς ἀργίας, καὶ δὲν μοῦ λείπει τελείως ἡ ἐλπίδα, ὅτι εἶναι δυνατὸ κάποτε νὰ βρῶ καὶ κάτι καινούργιο καὶ διαφορετικό, ἀνοίγοντας ὁ Θεὸς διάπλατα τὸ δρόμο πρὸς τὰ θεωρήματα. Γιατὶ ἔχει γραφεῖ, «Εἶναι ὑπερβολικὰ πλατειὰ ἡ ἐντολή σου»[1α].

Προφητεύει λοιπὸν ὁ μακάριος Ἡσαΐας στὴν ἐποχὴ τῆς βασιλείας τοῦ Ὀχοζία καὶ τοῦ Ἰωάθαμ καὶ τοῦ Ἄχαζ καὶ τοῦ Ἐζεκία. Ἐμπρὸς ἂς μνημονεύσομε τοὺς χρόνους καθενὸς κι ἂς ποῦμε ἐπιτροχὰδην πῶς ἔζησε ὁ καθένας. Γιατὶ θὰ μάθομε ἀπὸ αὐτό, ὅτι ὁ λόγος τῆς προφητείας εἶναι ταιριαστὸς καὶ ἀνάλογος πρὸς τὰ δρώμενα τῶν καιρῶν. Ὁ Ὀζίας λοιπόν, ποὺ λέγεται καὶ Ὀχοζίας, ἦταν ἄνθρωπος εὐσεβὴς κι ἔφτασε σὲ τέτοιο ὕψος δόξας καὶ δύναμης, ὥστε ὑπέταξε τὰ γειτονικὰ στὴν Ἰουδαία ἔθνη, ἐπέβαλε σ' αὐτὰ φόρους πολλοὺς καὶ τὰ ἀνάγκασε νὰ δεχθοῦν τὴν ἐξουσία του, οἰκοδόμησε πόλεις, ἀλλὰ καὶ κατέκτησε ἄλλες καὶ τὶς ἔνωσε μὲ τὰ ὅρια τῆς Ἰουδαϊκῆς γῆς. Στὴ συνέχεια ὅμως ἔπαθε κάτι ἀπὸ τὰ ἀνθρώπινα. Νικημένος ἀπὸ τὴν ὑπερβολικὴ ζωὴ τῶν ἀπολαύσεων καὶ τὴν ὑπεροχή του στὴ δόξα, προχώρησε κατὰ κάποιο τρόπο ὁ νοῦς του πολὺ ὑψηλά, καὶ αἰχμάλωτος ἀπὸ τὴν ἀρρώστια τῆς ὑπεροψίας, ἐπαναστάτησε καὶ ἐναντίον τοῦ ἴδιου τοῦ θείου νόμου. Πίστεψε δηλαδὴ ὅτι ἔπρεπε νὰ στεφανώσει τὸν ἑαυτό του καὶ μὲ τὶς τιμὲς τῆς θείας ἱερωσύνης. Πράγματι ἐπιχείρησε νὰ εἰσέλθει καὶ στὸν θεῖο ναὸ καὶ ὁ ἴδιος δικαιωματικὰ νὰ προσφέρει θυμίαμα στὸν Θεὸ καὶ νὰ ἐκτελεῖ κατὰ τρόπο παράνομο τὰ νόμιμα. Ἀπὸ αὐτὴν τὴν αἰτία ἔγινε ἀμέσως λεπρὸς καὶ ἔχασε κάθε τιμή· γιατὶ ὅποιος κυριευθεῖ ἀπὸ τὸ πάθος τῆς λέπρας εἶναι, σύμφωνα μὲ τὸ νόμο, μιαρός.

Εἶτα διαδέχεται τὴν τοῦ Ὀζίου βασιλείαν ὁ ἐξ αὐτοῦ γεγονὼς Ἰωάθαμ, φιλόθεος μὲν ἀνήρ, πλὴν οὐκ ἐξῆρε, φησί, τὰ ὑψηλά, ἀλλ' ἔθυον ἔτι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν οἱ ἐξ Ἰσραήλ, ὄρη τε καὶ βουνοὺς καταλαμβάνοντες, ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δένδρου σκιάζοντος, καθά φησιν Ὡσηέ, ὅτι καλὸν σκέπη. Τελευτήσαντος δὲ Ἰωάθαμ διαδέχεται τὸ σκῆπτρον ὁ Ἄχαζ, ἀνὴρ βδελυρώτατος καὶ θεομισὴς καὶ τῆς εἰς ἄκρον φαυλότητος ἡκούσης ἔμπλεως Οὗτος καὶ αὐτὸν τὸν θεῖον ἔκλεισε ναόν, καὶ ταῖς κατὰ νόμον θυσίαις οὐκ ἠφίει καταγεραίρεσθαι τὸν τῶν ὅλων Θεόν, κεκώλυκε δὲ καὶ τὰς ἐξ ἔθους τῶν Ἰουδαίων ἑορτάς, καὶ ἐν παντὶ τόπῳ τῆς Ἱερουσαλὴμ βωμοὺς ἀναστήσας, προσκυνεῖν ἐκέλευε τὰ χειρόκμητα καὶ λατρεύειν τὴν στρατιὰν τοῦ οὐρανοῦ· καὶ μὴν καὶ τὰ ἴδια τέκνα διήγαγεν ἐν πυρί, τουτέστι κατέκαυσεν εἰς θυσίαν τοῖς ἀκαθάρτοις δαίμοσι, καὶ ἁπαξαπλῶς εἰπεῖν, τρόπος αὐτῷ δυσσεβείας ἀνεπιτήδευτος ἦν οὐδείς

Εἶτα μετὰ τοῦτον βεβασίλευκεν Ἐζεχίας, ἀνὴρ εὐσεβὴς καὶ φιλόθεος καὶ δικαιοσύνης πρύτανις καὶ παντὸς ἀγαθοῦ ζηλωτὴς καὶ τῶν θείων θελημάτων ἐργάτης. Οὗτος τοῦ Ἄχαζ παρανομήμασιν πᾶν πράττεσθαί τε καὶ ἰσχύειν ἐκέλευεν· ἀνῆκε μὲν γὰρ τὰς τοῦ ναοῦ θύρας, εἶτα θυσίας καὶ σπονδὰς διετύπου προσάγεσθαι τῷ Θεῷ καὶ ταῖς κατὰ νόμον ἱερουργίαις γεραίρεσθαι· καὶ μὴν καὶ δίχα χρόνων μακρῶν τὸν ἐπὶ τῷ Πάσχα νόμον ἀνανεώσασθαι ὁρᾶται. Καθεῖλε τεμένη καὶ βωμοὺς καὶ χειρόκμητα, γνώστας τε καὶ ψευδομάντεις καὶ τὰς τῶν ἐπῳδῶν ἀγέλας ἠρεμεῖν ἐκέλευσε, καὶ ἦν ἀνὴρ ἀγαθὸς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ. Οὐκοῦν ἐπειδήπερ ἐν καιροῖς βασιλείας τῶν ἀρτίως ἡμῖν εἰρημένων, ποτὲ μὲν ὠξύνετο πρὸς ὀργὰς ὁ τῶν ὅλων Θεός, εἰδωλολατροῦντος τοῦ Ἰσραήλ, ποτὲ δὲ καὶ ἐμαλάσσετο πρὸς τὸ ἥμερον, μεταπλαττομένου πρὸς εὐσέβειαν διὰ τῆς τοῦ κρατοῦντος ἐπιεικείας, ταύτῃ τοι μέμικται τῆς προφη-

Ἔπειτα διαδέχθηκε τὴ βασιλεία τοῦ Ὀζία ὁ υἱός του Ἰωάθαμ, ἄνδρας βέβαια φιλόθεος, πλὴν ὅμως δὲν ἐξάλειψε, λέγει, τὰ ὑψηλά, ἀλλὰ οἱ Ἰσσραηλίτες πρόσφεραν ἀκόμα θυσίες στὰ ἔργα τῶν χεριῶν τους, ἀνεβαίνοντας στὰ ὄρη καὶ τὰ βουνά, κάτω ἀπὸ δρῦ καὶ λεύκη καὶ δένδρο σκιόφυλλο, ὅπως λέγει ὁ Ὡσηέ, ἐπειδὴ εἶναι εὐάρεστη ἡ σκιά του[2]. Ὅταν πέθανε ὁ Ἰωάθαμ τὸν διαδέχθηκε στὸ θρόνο ὁ Ἄχαζ, ἄνθρωπος πολὺ βδελυρός, ποὺ μισοῦσε τὰ θεῖα καὶ ἦταν γεμᾶτος ἀπὸ τὴν στὸ ἔπακρο φαυλότητα. Αὐτὸς ἔκλεισε καὶ τὸν ἴδιο τὸν ναὸ τοῦ Θεοῦ, δὲν ἐπέτρεπε νὰ τιμᾶται ὁ Θεὸς τῶν ὅλων μὲ τὶς καθιερωμένες θυσίες, καὶ εἶχε ἐμποδίσει καὶ τὶς κατὰ ἔθιμο ἑορτὲς τῶν Ἰουδαίων· ἔστησε σὲ κάθε τόπο τῆς Ἱερουσαλὴμ βωμοὺς καὶ πρόσταξε νὰ προσκυνοῦν χειροποίητα πράγματα καὶ νὰ λατρεύουν τὴ δαιμονικὴ στρατιὰ τοῦ οὐρανοῦ. Ἀλλὰ καὶ τὰ ἴδια του τὰ παιδιὰ τὰ πέρασε ἀπὸ τὴ φωτιά, δηλαδὴ τὰ ἔκαψε σὰν θυσία στοὺς ἀκάθαρτους δαίμονες, καὶ γιὰ νὰ τὸ πῶ μὲ ἕνα λόγο, δὲν ἄφησε κανένα τρόπο ἀσέβειας ἀχρησιμοποίητο.

Ἔπειτα ἀπὸ αὐτὸν βασίλευσε ὁ Ἐζεκίας, ἄνθρωπος εὐσεβὴς καὶ φιλόθεος καὶ πρῶτος στὴ δικαιοσύνη, ζηλωτὴς κάθε ἀγαθοῦ καὶ ἐργάτης τοῦ θελήματος τοῦ Θεοῦ. Αὐτὸς πρόσταξε νὰ γίνονται καὶ νὰ ἰσχύουν τὰ ἀντίθετα μὲ τὶς παρανομίες τοῦ Ἄχαζ. Πράγματι ἄνοιξε τὶς πόρτες τῶν ναῶν, κι ἔπειτα ὅρισε νὰ προσφέρονται θυσίες καὶ σπονδὲς στὸν Θεὸ καὶ νὰ τιμᾶται μὲ τὶς ἱερουργίες ποὺ ἀπαιτοῦσε ὁ νόμος, καὶ ἀκόμα ἔπειτα ἀπὸ στασιμότητα πολλῶν χρόνων φαίνεται νὰ ἀνανέωσε τὸ νόμο τοῦ Πάσχα. Γκρέμισε τεμένη καὶ βωμοὺς καὶ διάφορα χειροποίητα, διέταξε νὰ σταματήσουν οἱ ἀσχολούμενοι μὲ τὴ γνώση καὶ τὶς ψευδομαντεῖες καὶ τὰ κοπάδια τῶν γητευτῶν, καὶ ἦταν ἄνθρωπος ἀγαθὸς μπροστὰ στὰ μάτια τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν στοὺς καιροὺς τῆς βασιλείας αὐτῶν ποὺ ἀναφέραμε μόλις, ἄλλοτε ὀργιζόταν ὁ Θεὸς τῶν ὅλων ὅταν ὁ Ἰσραὴλ ἔπεφτε στὴν εἰδωλολατρία, κι ἄλλοτε μαλάκωνε καὶ ἔδειχνε ἡμερότητα ὅταν μετέπιπτε στὴν εὐσέβεια χάρη στὴν ἀγαθότητα τοῦ ἄρχοντά τους, ἐξαιτίας αὐτοῦ ποικίλλει ὁ λό-

2. Ὡσηὲ 4, 13.

τείας ὁ λόγος, καὶ πλείστην μὲν ὅσην ἔσθ' ὅτε ποιεῖται τὴν ἀπειλήν, ὡς δυσσεβοῦντος τοῦ Ἰσραήλ, ὑποσχέσεως δὲ τῆς ἐπ' ἀγαθοῖς εἰσκομίζει λόγον. Διαμέμνηται δὲ πανταχοῦ τῆς διὰ τοῦ Χριστοῦ λυτρώσεως, καὶ φησιν, ὅτι κατὰ καιροὺς μὲν ἔσται τῆς πρὸς Θεὸν οἰκειότητος ἀπόπεμπτος ὁ Ἰσραήλ, εἰσδεχθήσεται δὲ τῶν ἐθνῶν ἡ πληθὺς δικαιουμένη διὰ τῆς πίστεως τῆς ἐν Χριστῷ. Ὥστε μοι δοκεῖ στεφανοῦν εὖ μάλα τὸν μακάριον προφήτην Ἡσαΐαν, οὐχὶ τῇ τῆς προφητείας χάριτι μόνῃ, ἀλλὰ γὰρ καὶ τοῖς ἀποστολικοῖς αὐχήμασιν. Ἐν ταὐτῷ γὰρ ἔστιν προφήτης τε ἅμα καὶ ἀπόστολος καὶ τῆς τῶν εὐαγγελικῶν κηρυγμάτων φαιδρότητος οὐκ ἠμοιρηκότας τοὺς τῆς ἑαυτοῦ συγγραφῆς ποιήσεται λόγους.

ΛΟΓΟΣ Α΄.

Κεφ. 1, στίχ 1. «Ὅρασις ἣν εἶδεν Ἡσαΐας, υἱὸς Ἀμώς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ, ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας».

Οὐκ ἂν οἶμαι διαψεύσαιτό τις ἐκεῖνο εἰπὼν περὶ τῶν ἁγίων προφητῶν, ὡς οὐ μόνην ἐδέχοντο τῶν ἐσομένων τὴν γνῶσιν, καταλαμπρύνοντος τὸ χρῆμα αὐτοῖς τοῦ ἁγίου Πνεύματος καὶ ἐνηχοῦντος εἰς νοῦν, ἀλλὰ γὰρ καὶ αὐτῶν ἔσθ' ὅτε τῶν πραγμάτων εἰπὼν ὅτι ἐγίνοντο θεωροί. Ἔοικε τοίνυν ὁ μακάριος προφήτης Ἡσαΐας τοῖς τῆς διανοίας ὄμμασι τὰ κατὰ καιροὺς ἐσόμενα κατὰ τῆς Ἰουδαίας τεθεᾶσθαι πάθη, τοῦτο μὲν τὰς τῶν πολεμίων φάλαγγας καταδηούσας τὴν γῆν, τοῦτο δὲ τὰς πόλεις ἠρημωμένας καὶ οἴκους ἐμπιπραμένους, καὶ ὅσα τοῖς τοῦ πολέμου νόμοις πράττεται παρ' ἐχθρῶν ταύτῃ τοι προγέγραπται τῆς προφητείας· «Ὅρασις ἣν εἶδεν Ἡσαΐας, υἱὸς Ἀμώς, κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ». Ἐπισημαίνεται δὲ χρη-

γος τῆς προφητείας, καὶ ἄλλοτε ἐξαπολύει φοβερὲς ἀπειλές, ἐπειδὴ ὁ Ἰσραὴλ ἔπεφτε στὴν ἀσέβεια, ἀλλὰ καὶ προβάλλει λόγο μὲ ὑπόσχεση γιὰ ἀγαθά. Παντοῦ ὑπενθυμίζει τὴ λύτρωση μέσω τοῦ Χριστοῦ, καὶ λέγει ὅτι σὲ κάποιο καιρὸ οἱ Ἰσραηλῖτες θὰ ἀποπεμφθοῦν ἀπὸ τὴν οἰκειότητά τους πρὸς τὸν Θεὸ καὶ θὰ γίνει δεκτὸ τὸ πλῆθος τῶν ἐθνῶν, λαμβάνοντας τὴ δικαίωση μὲ τὴν πίστη τους στὸν Χριστό. Ὥστε μοῦ φαίνεται πολὺ ὀρθὸ νὰ στεφανωθεῖ ὁ μακάριος προφήτης Ἡσαΐας ὄχι μόνο μὲ τὸ χάρισμα τῆς προφητείας, ἀλλὰ καὶ μὲ τὶς ἀποστολικὲς τιμές. Γιατὶ εἶναι ταυτόχρονα προφήτης μαζὶ καὶ ἀπόστολος, καὶ δὲν θὰ παρουσιάσει τοὺς λόγους τῆς συγγραφῆς του γυμνοὺς ἀπὸ τὴ λαμπρότητα τῶν εὐαγγελικῶν κηρυγμάτων.

ΛΟΓΟΣ Α΄.

ΚΕΦ. 1, στίχ. 1. «Ὅραμα, τὸ ὁποῖο εἶδε ὁ Ἡσαΐας, υἱὸς τοῦ Ἀμώς, εἰς βάρος τῆς Ἰουδαίας καὶ τῆς Ἰερουσαλήμ, κατὰ τὴ βασιλεία τοῦ Ὀζία καὶ τοῦ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκία, οἱ ὁποῖοι ὑπῆρξαν βασιλεῖς τῆς Ἰουδαίας».

Δὲν θὰ διαψευσθεῖ κανείς, νομίζω, ἂν πεῖ ἐκεῖνο γιὰ τοὺς ἁγίους προφῆτες, ὅτι δὲν δέχονταν μόνο τὴ γνώση τῶν μελλοντικῶν μὲ τὸ φωτισμὸ τοῦ ἁγίου Πνεύματος καὶ τὴν ἐνήχηση αὐτοῦ στὸ νοῦ τους, ἀλλὰ καὶ ὅτι μερικὲς φορὲς γίνονταν θεωροὶ καὶ τῶν ἴδιων τῶν πραγμάτων. Φαίνεται λοιπὸν ὅτι ὁ μακάριος προφήτης Ἡσαΐας εἶδε μὲ τὰ μάτια τοῦ νοῦ του τὰ κατὰ καιροὺς πάθη ποὺ θὰ συνέβαιναν στὴν Ἰουδαία, ἀπὸ τὴ μία οἱ φάλαγγες τῶν ἐχθρῶν νὰ λεηλατοῦν τὴ γῆ, κι ἀπὸ τὴν ἄλλη πόλεις νὰ ἐρημώνονται καὶ σπίτια νὰ καίγονται, καὶ ὅσα πράττονται ἀπὸ τοὺς ἐχθροὺς σύμφωνα μὲ τοὺς νόμους τοῦ πολέμου αὐτὰ ἔχουν προαναγγελθεῖ μὲ τὴν προφητεία· «Ὅραμα, τὸ ὁποῖο εἶδε ὁ Ἡσαΐας, υἱὸς τοῦ Ἀμώς, εἰς βάρος τῆς Ἰουδαίας καὶ τῆς Ἰερουσαλήμ». Ἐπισημαίνει κατὰ τρόπο χρήσιμο τὶς περιόδους τῶν βασιλέων, γιὰ νὰ φαίνεται ὅτι ὁ Θεὸς κατὰ τρόπο πρέποντα πρὸς τὴ συμπε-

σίμως τοὺς τῶν βασιλέων καιρούς, ἵνα φαίνηται Θεὸς προσφόρως τοῖς ἑκάστου τρόποις τὰ ἐν τῷ προφήτῃ λαλῶν.

Στίχ. 2-3. «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν».

Τί τὸ χρῆμα, τίς ὁ λόγος, καὶ τί ἂν βούλοιτο δηλοῦν περιαθρεῖν ἀναγκαῖον. Διαμαρτύρεται γὰρ ὥσπερ οὐρανόν τε καὶ γῆν ὁ μακάριος προφήτης, καὶ τοῦτο πράττων οὐκ ἀθεεί, πλὴν οὐκ ἰδίους, Θεοῦ δὲ μᾶλλον εἶναι τοὺς λόγους φησίν. Ὅτι πάντῃ τε καὶ πάντως πρὸς πέρας ἐκβήσονται διὰ τούτου σημαίνων καὶ τοῖς τοῦ παθεῖν δείμασι καταπτοῶν τοὺς ἀκροωμένους. Ἀμήχανον γὰρ ψευδοεπῆσαι Θεόν· ὁμοῦ δὲ κἀκεῖνο, καθάπερ ἐγᾦμαι, κατασκευάζων. Ἐπειδὴ γὰρ ἔμελλεν τὰς κατὰ τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ προαγορεύσεις ποιεῖσθαι, καὶ τὰ λόγου παντὸς ἐπέκεινα προκαταμηνύσειν πάθη καὶ τὰς ἀνηκέστους συμφοράς, οὐκ ἠγνόησεν ὅτι πάντῃ τε καὶ πάντως ἀκονηθήσονται πρὸς ὀργὰς οἱ πρὸς οὓς ὁ λόγος. Κύριον τοίνυν τὰ τοιάδε πρὸς αὐτοὺς λαλῆσαί φησιν, τὸν τῶν ἀνοσίων θυμὸν εὐτεχνέστατα διωθούμενος, καὶ οἷον ἐκδυσωπῶν τὰς ἀδίκους ὀργάς. Εἰ γὰρ παρελήφθη μεσίτης καὶ διάκονος καὶ τοὺς ἄνωθεν καὶ παρὰ Θεοῦ διαπορθμεύοι λόγους, πῶς ἂν ἐπ' αὐτῷ δικαίως ὀργίζοιτό τις; μᾶλλον δέ, πῶς οὐχὶ κατὰ Θεοῦ τοῦ λελαληκότος τὰ ἐξ ὀργῆς γένοιτ' ἂν δυσσεβῆ τολμήματα;

Διαμαρτύρεται τοίνυν σφόδρα εἰκότως οὐρανόν τε καὶ γῆν. Ἐπειδὴ γὰρ ἔμελλε τὰς κατὰ τοῦ Ἰσραὴλ ποιεῖσθαι μομφάς, καὶ ἀγγέλους εἰδέναι βούλεται τοὺς κατ' οὐρανὸν καὶ αὐτὴν δὲ τὴν σύμπασαν γῆν, τῆς ἐκείνου δυσσεβείας τοὺς τρόπους, ἵνα μή τις οἴηται κεκινῆσθαι μάτην ἢ καὶ

ριφορὰ τοῦ καθενὸς προανήγειλε τὰ ὅσα λέγονται ἀπὸ τὸν προφήτη.

Στίχ. 2-3. Ἄκου, οὐρανέ, καὶ σύ, γῆ, ἀφουγκράσου, γιατὶ μίλησε ὁ Κύριος· Γέννησα υἱοὺς καὶ τοὺς ἀνύψωσα, αὐτοὶ ὅμως μὲ ἀθέτησαν. Τὸ βόδι ἀναγνωρίζει τὸν ἰδιοκτήτη του καὶ ὁ ὄνος τὸ παχνὶ τοῦ κυρίου του, ὁ Ἰσραὴλ ὅμως δὲν μὲ ἀναγνώρισε ὡς Κύριό του καὶ ὁ λαὸς δὲν μὲ κατανόησε.

Εἶναι ἀνάγκη νὰ ἐξετάσομε ποιὸ πρᾶγμα ἐννοεῖ, ποιὸς ὁ λόγος, καὶ τί θέλει νὰ δηλώσει. Γιατὶ ὁ μακάριος προφήτης καλεῖ σὰν μάρτυρες τὸν οὐρανὸ καὶ τὴ γῆ, καὶ πράττοντάς το αὐτὸ δὲν φέρεται σὰν ἄθεος, ἀλλὰ λέγει ὅτι οἱ λόγοι αὐτοὶ δὲν εἶναι τοῦ ἰδίου, ἀλλὰ μᾶλλον τοῦ Θεοῦ, ὑποδηλώνοντας μ᾽ αὐτό, ὅτι αὐτὰ ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο θὰ πραγματοποιηθοῦν, καὶ τρομάζοντας τοὺς ἀκροατές του μὲ τὸ φόβο ὅτι θὰ πάθουν αὐτά. Γιατὶ εἶναι ἀδύνατο νὰ πεῖ ψέματα ὁ Θεός· Συνάμα, ὅπως ἐγὼ νομίζω, ἑτοιμάζει καὶ ἐκεῖνο. Ἐπειδὴ δηλαδὴ ἔμελλε νὰ κάνει τὶς προαγγελίες ἐναντίον τῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ καὶ νὰ καταγγείλει τὰ πέρα ἀπὸ κάθε λόγο παθήματα καὶ τὶς ἀνθρώπινες συμφορές, δὲν ἀγνόησε ὅτι ὁπωσδήποτε θὰ ἐξοργίζονταν αὐτοὶ πρὸς τοὺς ὁποίους ἀπευθυνόταν ὁ λόγος του. Αὐτὰ λέγει ὅτι τὰ εἶπε σ᾽ αὐτοὺς ὁ Κύριος, ἀπομακρύνοντας ἀριστοτεχνικὰ τὴ μανία τῶν ἀνοσίων καὶ ἡμερεύοντας κατὰ κάποιο τρόπο τὴν ἄδικη ὀργή τους. Γιατί, ἂν χρησιμοποιήθηκε σὰν ἐνδιάμεσος καὶ ὑπηρέτης καὶ διαβιβάζει τοὺς οὐράνιους καὶ ἐκ μέρους τοῦ Θεοῦ λόγους, πῶς θὰ μποροῦσε νὰ ὀργισθεῖ κανεὶς δίκαια ἐναντίον του; Ἢ μᾶλλον πῶς δὲν θὰ στρεφόταν τὰ ἀσεβῆ τολμήματα τῆς ὀργῆς τους ἐναντίον τοῦ Θεοῦ ποὺ τὰ εἶχε πεῖ αὐτά;

Ἐπικαλεῖται λοιπὸν σὰν μάρτυρες πολὺ εὔλογα τὸν οὐρανὸ καὶ τὴ γῆ. Ἐπειδὴ δηλαδὴ ἔμελλε νὰ διατυπώσει κατηγορίες ἐναντίον τῶν Ἰσραηλιτῶν, θέλει νὰ γνωρίζουν καὶ οἱ ἄγγελοι τοῦ οὐρανοῦ καὶ ὁλόκληρη ἡ γῆ τὶς ἐκδηλώσεις ἀσέβειας αὐτῶν, γιὰ νὰ μὴ νομίζει κανεὶς ὅτι ὀργίζεται χωρὶς αἰτία, ἢ καὶ ἐπειδὴ ἔχουν

προαλῶσι ἐπὶ μικροῖς τε καὶ εὐτελεστάτοις πταίσμασιν, ἀπόβλητον ποιεῖσθαι τὸν ἠγαπημένον καὶ εἰς κλῆρον αὐτῷ τεθέντα λαόν, καὶ τὸ πάλαι διὰ πολλῆς ἄγαν ἰσχύος, τῆς τῶν Αἰγυπτίων πλεονεξίας ἐξῃρημένον. Ἠλέησε μὲν γὰρ ὡς ἀδικούμενον παρά τε τὸ εἰκός, καὶ τὴν τοῖς πατράσι πρέπουσάν τε καὶ ἐνοῦσαν εὐγένειαν, ἀβουλήτῳ θητείᾳ κατηχθισμένους. Ἐπειδὴ δὲ ἀντέπραττον οἱ πλεονεκτήσαντες, ἐκολάζοντο πικρῶς, πάντα τρόπον αὐτοῖς αἰκίας ἐπιρριπτοῦντος Θεοῦ. Ὥσπερ τοίνυν ἐπισημοτάτη γέγονεν ἡ πρόσληψις τοῖς ἐξ Ἰσραήλ, οὕτω βούλεται καὶ τὸν τῆς ἀποβολῆς μὴ ἀγνοεῖσθαι τρόπον. Εἰ δὲ δὴ βούλοιντό τινες καὶ αὐτὰ καλεῖσθαι τὰ στοιχεῖα διὰ τῆς τοῦ προφήτου φωνῆς, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λόγου τῶν ἐννοιῶν ἡ δύναμις, ἐκεῖνο διεσκεμμένοις. Ἐλυτροῦτο μὲν γάρ, ὡς ἔφην, τῆς Αἰγυπτίων ἀνοσιότητος διὰ Μωσέως ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ τοῖς τοῦ Θεοῦ νεύμασιν ἀνοσίως ἀντανιστάμενος ἔφασκεν ὁ Φαραώ, Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἀποστελῶ, συνωπλίζετο τῷ ἰδίῳ δεσπότῃ κατὰ τῶν ἀπεχθούντων ἡ κτίσις. Ἄνωθεν μὲν γὰρ καὶ ἐξ οὐρανοῦ πλεῖστά τε ὅσα καὶ περιφανῆ γεγόνασι σημεῖα, πλεῖστα δὲ ὁμοίως καὶ οὐκ ἀθαύμαστα ἐν αὐτῇ τῇ γῇ. Ὁ μὲν γὰρ οὐρανὸς καθίει τὴν χάλαζαν, ἡ δὲ γῆ βατράχους ἐξέρριψε, καθὰ γέγραπται· καὶ τὸ μὲν ὕδωρ εἰς αἷμα μετεσκευάζετο, αἰθάλης δὲ καμιναίας κατασκιδναμένης καὶ τὸν ἀέρα θολούσης, ἕλκη καὶ φλυκτίδες ἀναζέουσαι τοῖς ἐν πάντων συνέβαινε σώμασιν. Ὡς οὖν καὶ αὐτῶν τῶν στοιχείων μονονουχί μάτην ἐπὶ τοῖς λελυτρωμένοις πεπονηκότων», «Ἄκουε, οὐρανέ», φησίν, «καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν».

Προσβαλοῦμεν δὲ καὶ ἑτέρως ταῖς τῶν προκειμένων ἐννοίαις. Ἀτιμήσαντες μὲν γὰρ τὴν διὰ νόμου παίδευσιν οἱ ἐξ

περιπέσει σὲ μικρὰ κι ἀσήμαντα πταίσματα, ἀπομακρύνει τὸν ἀγαπημένο του καὶ ὁρισμένο ὡς κλῆρο σ' αὐτὸν λαὸ καὶ ποὺ παλαιὰ μὲ πάρα πολὺ μεγάλη δύναμη τὸν εἶχε ἀπαλλάξει ἀπὸ τὴν τυραννικὴ ἐξουσία τῶν Αἰγυπτίων. Τοὺς ἔδειξε ἔλεος, ἐπειδὴ ἀδικοῦνταν πέρα ἀπὸ τὸ πρέπον, καὶ παρὰ τὴν εὐγένεια ποὺ εἶχαν καὶ ἔπρεπε στοὺς πατέρες τους εἶχαν καταπέσει σὲ ἀθέλητη δουλεία. Ἐπειδὴ ὅμως ἐνεργοῦσαν μὲ ἀντικανονικὸ τρόπο οἱ κύριοί τους, τιμωρήθηκαν σκληρά, καταφέροντας ἐναντίον τους ὁ Θεὸς κάθε εἶδος κακοποίησης. Ὅπως λοιπὸν εἶχε γίνει μὲ πάρα πολὺ ἐπίσημο τρόπο ἡ πρόσληψη τῶν Ἰσραηλητῶν, ἔτσι δὲν θέλει νὰ μείνει ἄγνωστος καὶ ὁ τρόπος τῆς ἀποβολῆς. Ἂν ὅμως ἤθελαν κάποιοι νὰ καλοῦνται κι αὐτὰ ἀκόμα τὰ στοιχεῖα μὲ τὴ φωνὴ τοῦ προφήτη, δὲν θὰ ἀστοχοῦσαν στὸ σωστὸ νόημα τῶν λόγων ἂν σκέφτονταν ἐκεῖνο. Ὅτι δηλαδὴ ἐλευθερώθηκε, ὅπως εἶπα, ἀπὸ τὴν τυραννία τῶν Αἰγυπτίων ὁ Ἰσραηλιτικὸς λαὸς μέσω τοῦ Μωυσῆ, ἐπειδὴ ὅμως ἀντιστεκόμενος στὸ θέλημα τοῦ Θεοῦ μὲ ἀσέβεια ὁ Φαραὼ ἔλεγε, «Δὲν γνωρίζω τὸν Κύριο καὶ δὲν θὰ ἀφήσω τοὺς Ἰσραηλῖτες ἐλεύθερους νὰ φύγουν»[3], συστρατευόταν ἡ κτίση μαζὶ μὲ τὸν Κύριό της ἐναντίον ἐκείνων ποὺ τοὺς ἐχθρεύονταν. Γιατὶ ἀπὸ ἄνω καὶ τὸν οὐρανὸ ἔγιναν πάρα πολλὰ καὶ συγκλονιστικὰ θαυματουργὰ ἔργα, ἀλλὰ ὁμοίως καὶ πάρα πολλὰ ἄξια θαυμασμοῦ πάνω στὴ γῆ. Πράγματι ὁ οὐρανὸς ἔρριξε χαλάζι, ἡ γῆ ἔβγαλε βατράχια, ὅπως ἔχει γραφεῖ, τὸ νερὸ μεταβλήθηκε σὲ αἷμα, κάπνα ἀπὸ καμίνια σκόρπισε καὶ θόλωσε τὸν ἀέρα, καὶ πληγὲς καὶ ἐξανθήματα μὲ φουσκάλες ἐμφανίζονταν στὰ σώματα ὅλων. Ὥστε λοιπὸν κι αὐτὰ τὰ φυσικὰ στοιχεῖα μάταια κατὰ κάποιο τρόπο εἶχαν κοπιάσει γι' αὐτοὺς ποὺ εἶχαν λυτρωθεῖ· «Ἄκουε», λέγει, «οὐρανέ, καὶ σύ, γῆ, ἀφουγκράσου, γιατὶ μίλησε ὁ Κύριος».

Θὰ ἐξετάσομε καὶ διαφορετικὰ τὰ νοήματα τοῦ στίχου αὐτοῦ. Ἐπειδὴ δηλαδὴ περιφρόνησαν οἱ Ἰσραηλῖτες τὴν παιδαγωγία

3. Ἔξ. 5, 2.

Ἰσραὴλ καὶ τῶν σωτηρίων μαθημάτων ὀλιγωρήσαντες, τὸν ἕνα τε καὶ φύσει καταλελοιπότες Θεὸν τοῖς ἀκαθάρτοις δαίμοσιν τὰς θεραπείας προσῆγον ἐν ὄρεσι καὶ βουνοῖς, καὶ ἐν ταῖς εὐδενδροτάταις φάραγξιν τεθυμιάκασί τε καὶ προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Καὶ ἠγανάκτει μὲν ἐπὶ τούτοις, καὶ μάλα εἰκότως, ὁ τῶν ὅλων Θεός, ἔφη δὲ πρός ἕνα τῶν ἁγίων προφητῶν· «Ἀνάστηθι καὶ κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ τὴν φωνήν σου. Ἀκούσατε, βουνοί, τὴν κρίσιν τοῦ Κυρίου, καὶ αἱ φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται». Καὶ οὔτι που φαμὲν ὅτι πρός γε τὰ ὄρη καὶ τοὺς βουνοὺς γέγονεν ἡ κρίσις τῷ Κυρίῳ διὰ τῆς τοῦ προφήτου φωνῆς, ἐδικάζετο δὲ μᾶλλον τῷ πρὸς αὐτὴν τὴν ἀσέβειαν τοῦ Ἰσραὴλ τοῖς ἐν τοῖς ὄρεσι καὶ βουνοῖς καὶ νάπαις. Ἠλέγχετο γὰρ ἀμετρίως δεδυσσεβηκὼς καὶ βωμοὺς καὶ τεμένη κατασκευάσας ἐκεῖ τοῖς ἀκαθάρτοις δαίμοσιν.

Οὐκοῦν ἐπειδήπερ οἱ ἐξ Ἰσραὴλ τῆς εἰς Θεὸν αἰδοῦς ἀλογήσαντες προσεκύνησαν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἡλίῳ τε φημὶ καὶ σελήνῃ, δεχόμενοι δὲ καὶ τὴν ἐκ γῆς ὕλην, ξύλα τέ φημι καὶ λίθους, ἐποίησαν ἑαυτοῖς εἴδωλα κατὰ τὸ ἑκάστῳ δοκοῦν, οἰκονομώτατα λίαν τὴν ἐν τούτοις αὐτῶν ἀσέβειαν ὑπαινίττεται, καὶ οἷον εἰς ἔλεγχον καὶ ἀπόδειξιν οὐρανόν τε καὶ γῆν εἰς μέσον ὥσπερ παρακομίζει λέγων, «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν». Καὶ καθ' ἕτερον δὲ τρόπον, πολλοὺς εἶναι φαμὲν τοὺς πατέρας ἐν οὐρανῷ, τοὺς πνευματικοὺς δῆλον ὅτι, πολλοὺς δὲ ὁμοίως καὶ ἐπὶ τῆς γῆς, τοῦτο μὲν σαρκικούς, τοῦτο δὲ πνευματικούς. Ἀλλὰ τούτοις μὲν ἅπασι τοῖς πατράσι τοῖς ἄνω τε καὶ κάτω παρὰ τῶν ὑπὸ χεῖρα τέκνων προσάγονται τιμαί. Χαίρουσι δὲ λίαν οἱ τετιμημένοι, καὶ οὐδείς ἐστιν ἐν αὐτοῖς, ὃς οὐ πάντῃ τε καὶ πάντως ποιεῖται δυσφόρητον τὸ

μέσω τοῦ νόμου καὶ ἔδειξαν ἀδιαφορία γιὰ τὰ σωτήρια μαθήματα, καὶ ἐγκαταλείποντας τὸν ἕνα καὶ ἀπὸ τὴ φύση του Θεὸ, πρόσφεραν τὴ λατρεία τους στοὺς ἀκάθαρτους δαίμονες στὰ ὄρη καὶ τὰ βουνά, καὶ σὲ κατάφυτα φαράγγια πρόσφεραν θυμιάματα καὶ προσκύνησαν τὰ ἔργα τῶν ἴδιων τῶν χεριῶν τους, ἀγανακτοῦσε βέβαια γιὰ ὅλα αὐτά, καὶ πολὺ εὔλογα, ὁ Θεὸς τῶν ὅλων καὶ εἶπε σ' ἕναν ἀπὸ τοὺς ἁγίους προφῆτες· «Σήκω καὶ στῆσε δικαστήριο μπροστὰ στὰ ὄρη κι ἂς ἀκούσουν τὴ φωνή σου τὰ βουνά. Ἀκοῦστε, βουνά, τὴν ἀπόφαση τοῦ Κυρίου, καὶ σεῖς φαράγγια μέχρι τὰ θεμέλια τῆς γῆς, γιατὶ θὰ δικάσει ὁ Κύριος τὸν λαό του καὶ θὰ ρθεῖ σὲ ἀντιδικία μὲ τὸν Ἰσραήλ»[3α]. Καὶ δὲν λέμε βέβαια, ὅτι ἡ κρίση τοῦ Κυρίου ἔγινε μὲ τὰ ὄρη καὶ τὰ βουνὰ μέσω τῆς φωνῆς τοῦ προφήτη, ἀλλὰ δικαζόταν μᾶλλον μὲ αὐτὴ τὴν ἴδια τὴν ἀσέβεια τῶν Ἰσραηλιτῶν ποὺ ἔδειξαν στὰ ὄρη καὶ στὰ βουνὰ καὶ τὰ φαράγγια. Γιατὶ ἀποδεικνυόταν ὅτι εἶχαν δείξει ὑπέρμετρη ἀσέβεια, ἀφοῦ κατασκεύασαν ἐκεῖ βωμοὺς καὶ τεμένη γιὰ τοὺς ἀκάθαρτους δαίμονες.

Ἐπειδὴ λοιπὸν οἱ Ἰσραηλῖτες περιφρόνησαν τὸν σεβασμὸ τοῦ Θεοῦ καὶ προσκύνησαν τὴ στρατιὰ τοῦ οὐρανοῦ, ἐννοῶ τὸν ἥλιο καὶ τὴ σελήνη, καὶ δεχόμενοι καὶ τὰ ὑλικὰ τῆς γῆς, ἐννοῶ τὰ ξύλα καὶ τὶς πέτρες, ἔκαναν εἴδωλα ὅπως νόμιζε ὁ καθένας, μὲ πολὺ εὔστοχο τρόπο κάνει ὑπαινιγμὸ γιὰ τὴν ἀσέβειά τους μὲ αὐτά, καὶ ὡς ἔλεγχο κατὰ κάποιο τρόπο καὶ ἀπόδειξη φέρνει στὴ μέση τὸν οὐρανὸ καὶ τὴ γῆ λέγοντας· «Ἄκουε, οὐρανέ, καὶ σύ, γῆ, ἀφουγκράσου, γιατὶ μίλησε ὁ Κύριος». Καὶ μὲ ἄλλο τρόπο· λέμε ὅτι εἶναι πολλοὶ οἱ πατέρες στὸν οὐρανό, δηλαδὴ οἱ πνευματικοί, καὶ ὅμοια εἶναι πολλοὶ καὶ στὴ γῆ, ἄλλοι σαρκικοὶ καὶ ἄλλοι πνευματικοί. Ἀλλὰ σ' ὅλους αὐτοὺς τοὺς πατέρες, τοὺς βρισκόμενους στὸν οὐρανὸ καὶ στὴ γῆ, προσφέρονται τιμὲς ἀπὸ αὐτοὺς ποὺ ἔχουν στὴν ἐξουσία τους. Χαίρονται φυσικὰ πολὺ αὐτοὶ ποὺ τιμῶνται καὶ δὲν ὑπάρχει κανένας ἀνάμεσά τους ποὺ νὰ μὴ δυσφορεῖ

3α. Μιχ. 5, 1-2.

ἀχαριστεῖσθαι παρὰ τῶν τέκνων. Ὁ δὴ πεπονθὼς ὁ τῶν ὅλων Θεός, τούς τε ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς πατέρας διαμαρτύρεται λέγων· «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν».

Εἰσδεχθεὶς γὰρ ὁ Ἰσραὴλ διὰ τῆς χάριτος καὶ τῆς τοῖς τέκνοις πρεπούσης ἠξιωμένος φειδοῦς, γεγεννῆσθαι λέγεται παρὰ Θεοῦ, τῆς ἀληθοῦς καὶ πνευματικῆς ἀναγεννήσεως ἐφ' ἡμῖν ἐκπεπερασμένης. Διὰ πίστεως δὲ δῆλον ὅτι τῆς ἐν Χριστῷ· γεγεννήμεθα γὰρ ἐξ ὕδατος καὶ πνεύματος, καὶ δέδοται μὲν τοῖς ἀρχαιοτέροις πνεῦμα δουλείας, εἰ καὶ πρωτότοκος ἦν καὶ ὠνόμασται λαός, ἡμῖν δὲ τῆς υἱοθεσίας ὄνομά τε καὶ πνεῦμα κεχάρισται ὁ Θεός. «Ὅτι γάρ ἐστε», φησίν, «υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον, Ἀββᾶ ὁ Πατήρ». Γεγέννηκα γάρ, φησίν, υἱούς, καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ὕψωσα, τοῦτ' ἔστιν ἀνέθρεψα. Τοῦτο γὰρ ἡ τῶν ἑτέρων μηνυτῶν ἐπίδοσις ἔχει. Λελυτρωμένος γὰρ ὁ Ἰσραήλ, οὐκ ἀνεπικούρητος ἦν μετὰ τοῦτο καὶ ἀγάπης ἔρημος τῆς παρὰ Θεοῦ. Τέθραπτο γὰρ καθάπερ τις υἱὸς ἐκ φιλόπαιδος ἀληθῶς καὶ φιλοστοργωτάτου πατρός. «Ἄρτον γὰρ οὐρανοῦ», φησίν, «ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος». Ἐτρέφετο δὲ ἑτέρως καὶ εἰς εὐεξίαν πνευματικὴν διὰ τῆς ἐννόμως σοφίας καὶ προφητικῶν παιδευμάτων, ἀποκομιζόντων ἀστείως εἰς ἐπίγνωσιν ἀληθείας, τοῦτ' ἔστι Χριστοῦ. Γράφει γοῦν ὁ Παῦλος, «Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν».

Ἀλλ' ἠθέτησε τὸν γεννήσαντα. Καὶ τίς ὁ τῆς ἀθετήσεως τρόπος εἴη ἄν; Ἐτράπετο γὰρ εἴς γε τὸ θέλειν τοῖς μὴ φύσει λατρεύειν θεοῖς, νενόσηκε δὲ καὶ ἑτέρως, πολὺ τὸ ἐξήνιον,

4. Ρωμ. 8, 15.
5. Ψαλμ. 77, 24-25.

ὁπωσδήποτε γιὰ τὴν ἀχαριστία πρὸς αὐτοὺς τῶν παιδιῶν τους. Αὐτὸ ἔχοντας πάθει ὁ Θεὸς τῶν ὅλων, φέρνει μάρτυρες τοὺς οὐρανίους καὶ τοὺς ἐπίγειους πατέρες λέγοντας· «Ἄκουε, οὐρανέ, καὶ σύ, γῆ, ἀφουγκράσου, γιατὶ μίλησε ὁ Θεός· γέννησα υἱοὺς καὶ τοὺς ἐξύψωσα, ἀλλὰ αὐτοὶ μὲ ἀθέτησαν».

Ἀφοῦ λοιπὸν ὁ Ἰσραὴλ ἔγινε δεκτὸς μέσω τῆς χάριτος κι ἀφοῦ ἀξιώθηκε τῆς πρόνοιας ποὺ ἁρμόζει στὰ παιδιά, λέγεται ὅτι γεννήθηκε ἀπὸ τὸν Θεό, ἐνῶ ἡ ἀληθινὴ καὶ πνευματικὴ ἀναγέννηση πραγματοποιήθηκε σ' ἐμᾶς, καὶ εἶναι φανερὸ ὅτι ἔγινε μὲ τὴν πίστη στὸν Χριστό· γιατὶ γεννηθήκαμε ἀπὸ νερὸ καὶ Πνεῦμα, καὶ δόθηκε βέβαια στοὺς παλαιοὺς πνεῦμα δουλείας, ἂν καὶ ἦταν καὶ ὀνομάσθηκε πρωτότοκος λαός, σ' ἐμᾶς ὅμως ὁ Θεὸς χάρισε τὸ ὄνομα καὶ τὸ Πνεῦμα τῆς υἱοθεσίας. Γιατὶ λέγει· «Ἐπειδὴ εἶστε υἱοί, ἐξαπέστειλε ὁ Θεὸς τὸ πνεῦμα τοῦ Υἱοῦ του στὶς καρδιές σας φωνάζοντας, Ἀββᾶ, πατέρα»[4]. Γιατὶ λέγει γέννησα υἱούς, καὶ ὄχι γι' αὐτὸ μόνο, ἀλλὰ βέβαια καὶ τοὺς ἐξύψωσα, δηλαδὴ τοὺς ἀνέθρεψα. Καθόσον ἔτσι τὸ ἀποδίδουν οἱ ἄλλοι ἑρμηνευτές. Γιατὶ πράγματι ὅταν λυτρώθηκε ὁ Ἰσραηλιτικὸς λαὸς δὲν ἔμεινε χωρὶς βοήθεια ἔπειτ' ἀπὸ αὐτὸ καὶ δὲν στερήθηκε τὴν ἀγάπη τοῦ Θεοῦ. Γιατὶ ἀνατράφηκε σὰν ἕνας υἱὸς ἀπὸ πατέρα ποὺ ἀγαπᾶ ἀληθινὰ τὸ παιδί του κι εἶναι γεμᾶτος ἀπὸ πάρα πολλὴ στοργή. Καθόσον λέγει· «Τοὺς ἔδωσε ἄρτο ἀπὸ τὸν οὐρανό, ἄρτο τῶν ἀγγέλων ἔφαγε ὁ ἄνθρωπος»[5]. Τρεφόταν βέβαια καὶ μὲ ἄλλου εἴδους τροφὴ πρὸς πνευματική του εὐεξία μὲ τὴ σοφία τοῦ νόμου καὶ τὶς προφητικὲς ἀσκήσεις, ποὺ ὁδηγοῦσαν μὲ θαυμαστὸ τρόπο στὴν ἐπίγνωση τῆς Ἀλήθειας, δηλαδὴ τοῦ Χριστοῦ. Καὶ πράγματι γράφει ὁ Παῦλος· «Ὥστε ὁ νόμος ἔγινε παιδαγωγός μας πρὸς τὸν Χριστό»[6].

Ἀλλὰ ἀθέτησε ἐκεῖνον ποὺ τὸν γέννησε. Καὶ ποιὸς ἦταν ὁ τρόπος τῆς ἀθέτησης; Στράφηκε δηλαδὴ στὴ λατρεία τῶν μὴ θεῶν ἀπὸ τὴ φύση τους· ἔπαθε ὅμως κι ἄλλου εἴδους ἀρρώστια,

6. Γαλ. 3, 24.

καὶ τὸ ἔτι τούτων εἰς ἀτοπίαν ἐπέκεινα, οὔτε αὐτὴν μεμίμηται τῶν ἀλόγων ζώων τὴν εὔνοιαν, ἣν ἂν ἔχοιεν ἐκεῖνα πρὸς τοὺς δεσπότας. Ταύτῃ τοι φησίν· «Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν». Ἄνθρωπος μὲν γὰρ εἰ ἐκπρίαιτο βοῦν, ἕξει δὴ πάντως αὐτὸν εἰς τὰ τῆς γεωπονίας ἔργα χρησιμώτατον, τοῦτο μὲν ἀροῦν, εἰ ἔλοιτο, τὴν γῆν, τοῦτο δὲ εἰς τὴν ἅλω καταλεπτύνειν καὶ ἀποκρίνειν τοῦ σίτου τὸ ἄχυρον. Εἰ δὲ δή τις πρίαιτο καὶ ὄνον, φυσικοῖς καὶ αὐτὸς κινήμασιν καλεῖται πρὸς εὐπείθειαν, καὶ οἷόν τινα τῶν ἐν φάτναις αὐτῷ κειμένων ἀντίδοσιν ποιεῖται τὴν ὑπόταξιν. Ἀχθοφορεῖ γὰρ ἑκὼν καὶ τὸν τοῦ δεσπότου μερίζεται πόνον. Ἀλλὰ ταυτὶ μὲν ἐν τούτοις. Ὁ δὲ σοφὸς Ἰσραὴλ ἐν νόμῳ παιδαγωγούμενος, ἐπὶ τὸ δεῖν εἰδέναι τὸ ὠφελοῦν, ὃ τὴν τοῦ Θεοῦ δόξαν διὰ πολλῶν καὶ ἀξιαγάστων σημείων ἐκμεμαθηκώς, ὄνου καὶ βοὸς κατόπιν ἔρχεται, καὶ τῆς τῶν ἀλόγων ἐπιεικείας ἡττώμενος, ἠγνόηκε τὸν δεσπότην.

Εὖ δὲ δὴ σφόδρα τό, «οὐκ ἔγνω», φησίν, οὐ συνῆκεν. Καίτοι γὰρ μεμαθηκώς, ὡς ἔφην, τὴν τοῦ Θεοῦ δόξαν, καὶ διὰ τὸ ἀπονεῦσαι λίαν εἰς ἀχάλινον ἐκτροπήν, ἐν ἴσῳ γέγονεν τῷ ἠγνοηκότι. Εἰ γὰρ μὴ τοῦτό ἐστιν ἀληθῶς, οὐκ ἂν ἔφη τῷ ξύλῳ, «Θεός μου εἶ σύ», καὶ τῷ λίθῳ, «Σὺ ἐγέννησάς με». Ὅθεν «ἐξέστη,» φησίν, «ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος. Ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου, ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν αὐτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν». Πρέποι δ' ἂν καὶ αὐτῷ τῷ Χριστῷ τὸ φάναι περὶ αὐτῶν, τό, «Ἰσραὴλ δὲ οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν». Γέγονε μὲν γὰρ καὶ ἡ πάλαι λύτρωσις δι' αὐτοῦ. Τέθειται δὲ καὶ ὁ νόμος μέχρι καιροῦ διορθώ-

7. Ἱερ. 2, 12-13.

μεγάλη ἀποχαλίνωση, καὶ τὸ ἀκόμα πέρα ἀπὸ κάθε ἀτοπία, δὲν μιμήθηκε οὔτε τὴν ἀγάπη τῶν ἄλογων ζώων ποὺ ἔχουν γιὰ τοὺς κυρίους τους. Γι᾽ αὐτὸ βέβαια λέγει· «Ἀναγνώρισε τὸ βόδι τὸν ἰδιοκτήτη του καὶ ὁ ὄνος τὸ παχνὶ τοῦ κυρίου του, ὁ Ἰσραὴλ ὅμως δὲν μὲ ἀναγνώρισε καὶ ὁ λαός μου δὲν μὲ κατανόησε». Ὅταν δηλαδὴ κάποιος ἄνθρωπος ἀγοράσει ἕνα μοσχάρι, θὰ τοῦ φανεῖ χρησιμότατο στὰ ἔργα τῆς γεωργίας, ἂν θελήσει νὰ ὀργώσει τὴ γῆ ἢ νὰ τρίψει τὰ στάχυα στὸ ἁλώνι καὶ νὰ ξεχωρίσει τὸ σιτάρι ἀπὸ τὰ ἄχυρα. Κι ἂν πάλι κάποιος ἀγοράσει ὄνο καλεῖται κι αὐτὸς μὲ φυσικὲς κινήσεις νὰ ὑπακούει καὶ ἡ ὑπακοή του γίνεται ἀντιπροσφορὰ γιὰ τὶς τροφὲς ποὺ περιέχει τὸ παχνί του. Σηκώνει δηλαδὴ τὸ βάρος θέλοντας καὶ συμμερίζεται τὸν κόπο τοῦ κυρίου του. Καὶ αὐτὰ βέβαια σχετικὰ μὲ τὰ ἄλογα ζῶα. Ὁ σοφὸς ὅμως Ἰσραὴλ παιδαγωγούμενος μὲ τὸ νόμο γιὰ νὰ μάθει νὰ γνωρίζει τὸ ὠφέλιμο, αὐτὸς ποὺ γνώρισε τὴ δόξα τοῦ Θεοῦ μὲ πολλὰ καὶ ἀξιοθαύμαστα σημεῖα, ἀποδεικνύεται κατώτερος ἀπὸ τὸν ὄνο καὶ τὸ βόδι, καὶ νικώμενος ἀπὸ τὴν ἄριστη συμπεριφορὰ τῶν ἄλογων ζώων, ἀγνόησε τὸν Κύριό του.

Μὲ πολὺ ἐπιτυχία λοιπὸν τὸ «δὲν ἀναγνώρισε» τὸ εἶπε, «δὲν κατανόησε». Γιατὶ μολονότι γνώρισε, ὅπως εἶπα, τὴ δόξα τοῦ Θεοῦ, ἐπειδὴ ἀπέκλινε πολὺ σὲ πορεία χωρὶς χαλινάρια, ἔγινε ἴσος μὲ αὐτὸν ποὺ δὲν τὴν ἔχει γνωρίσει. Γιατί, ἂν δὲν συνέβαινε αὐτὸ ἀληθινά, δὲν θὰ ἔλεγε στὸ ξύλο, «Ἐσὺ εἶσαι ὁ θεός μου», καὶ στὴν πέτρα, «Ἐσὺ μὲ γέννησες». Γι᾽ αὐτὸ λέγει, «ἔνιωσε ἔκπληξη γι᾽ αὐτὸ ὁ οὐρανὸς καὶ ἔφριξε ἀκόμα περισσότερο, λέγει ὁ Κύριος. Γιατὶ δύο καὶ πονηρὰ ἔπραξε ὁ λαός μου· ἐμένα μ᾽ ἐγκατέλειψαν, τὴν πηγὴ τοῦ ζωντανοῦ νεροῦ, καὶ ἔσκαψαν γιὰ τὸν ἑαυτό τους λάκκους ποὺ κατέρρευσαν καὶ δὲν θὰ μπορέσουν νὰ συγκρατήσουν τὸ νερό»[7]. Ταιριάζει καὶ στὸν ἴδιο τὸν Χριστὸ νὰ λέγει γι᾽ αὐτοὺς τό, «ὁ Ἰσραὴλ δὲν μὲ ἀναγνώρισε καὶ δὲν μὲ κατανόησε ὁ λαός μου». Γιατὶ καὶ ἡ παλαιὰ λύτρωση ἔγινε ἀπὸ αὐτόν. Ἀλλὰ καὶ ὁ νόμος θεσπίστηκε, ὅπως ἔχει γραφεῖ, μέχρι ποὺ νὰ διορ-

σεως, καθὰ γέγραπται. Ἐπειδὴ δὲ ... ἀνέφικτον δικαιοῦν ἡμᾶς δύνασθαι τὴν σκιάν, ἐπέφανεν ἡμῖν μετὰ σαρκὸς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα δικαιώσῃ τῇ πίστει τοὺς προσιόντας αὐτῷ, καὶ ἀπαλλάξῃ θανάτου καὶ ἁμαρτίας. Ἀλλ' οὐ συνῆκεν αὐτὸν ὁ Ἰσραήλ, καίτοι λέγοντος σαφῶς· «Ἀμήν, ἀμήν, λέγω ὑμῖν, ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν».

Στίχ. 4. «Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι· ἐγκατελείπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν Ἅγιον τοῦ Ἰσραήλ».

Τὸν τῆς ἀθετήσεως τρόπον εὖ μάλα διηγγελκὼς καὶ τῆς ἐνούσης αὐτοῖς ἀλογίας παραδείξας τὸ μέγεθος, μεθίστησι παραχρῆμα τὸν λόγον, τοῦτο μὲν εἰς ταλανισμὸν ἐπ' αὐτοῖς δηλονότι, τοῦτο δ' αὖ πάλιν πρὸς ἐπίπληξιν. Πρέποι δ' ἄν, οἶμαι, τῷ προφητικῷ προσώπῳ μάλιστα τὸν μονονουχὶ κατομώζειν αὐτοὺς καὶ ἐκ πολλῆς ἄγαν φιλοθεΐας κατεξανίστασθαί τε καὶ λέγειν· Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι. Ἔπεται γοῦν πάντως τοῖς ἀθετεῖν με θέλουσιν, τὸν ἁπάντων ἡμῖν ἀγαθῶν δωτῆρα Θεόν, τὸ ἀναπόνιπτον ἔχειν τὴν ἁμαρτίαν, καὶ πεφορτῖσθαι δεινοῖς ἀφύκτοις ἐγκλήμασιν. Νοσεῖ γάρ πως ἀεὶ ἡ ἀθέτησις τὴν ἀπόστασιν, τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐκ τόπων μεταβολήν. Ταύτῃ τοι καὶ ἐπήγαγεν εὐθὺς τό, «ἐγκατελείπετε τὸν Κύριον». «Σπέρμα» δὲ ὀνομάζει «πονηρόν», οὐχ ὡς ὄντας ἢ πεποιημένους κατὰ φύσιν τοιούτους, ἀλλ' ὅτι γεγόνασιν ἐκ πονηρῶν πατέρων υἱοὶ πονηροί, κατά γε τὴν Ἰωάννου φωνήν· ἔφη γὰρ καὶ αὐτοῖς τοῖς γραμματεῦσι καὶ Φαρισαίοις ἐρχομένοις ἐπὶ τὸ τῆς μετανοίας βάπτισμα, «γεννήματα ἐχιδνῶν». Ἅγιοι μὲν γὰρ ὁμολο-

8. Ἑβρ. 9, 10. 9. Ἰω. 5, 24. 10. Ματθ. 3, 7.

θωθοῦν[8]. Ἐπειδὴ ὅμως ἦταν ἀδύνατο πρᾶγμα νὰ μπορέσει νὰ μᾶς δώσει τὴ δικαίωση ἡ σκιά, ἦρθε σ᾽ ἐμᾶς μὲ σάρκα ὁ ἴδιος ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ, γιὰ νὰ δικαιώσει μέσω τῆς πίστεως αὐτοὺς ποὺ προσφεύγουν σ᾽ αὐτὸν καὶ νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὸ θάνατο καὶ τὴν ἁμαρτία. Ἀλλὰ ὁ Ἰσραὴλ δὲν τὸν κατανόησε μολονότι αὐτὸς κήρυττε μὲ σαφήνεια· «Σᾶς διαβεβαιώνω, ὅποιος ἀκούει τὸ λόγο μου καὶ πιστεύει σ᾽ Ἐκεῖνον ποὺ μ᾽ ἔστειλε, ἔχει ζωὴ αἰώνια καὶ δὲν περνᾶ ἀπὸ δίκη, ἀλλὰ μεταβαίνει ἀπὸ τὸ θάνατο στὴ ζωή»[9].

Στίχ. 4. Ἀλλοίμονό σου, ἁμαρτωλὸ ἔθνος, λαὲ γεμᾶτε ἀπὸ ἁμαρτίες, σπέρμα πονηρό, τέκνα παράνομα· ἐγκαταλείψατε τὸν Κύριο, καὶ ἔτσι παροργίσατε τὸν Ἅγιο τοῦ Ἰσραήλ».

Ἔχοντας ἀναγγείλει μὲ πολλὴ σαφήνεια τὸν τρόπο τῆς ἀθέτησης καὶ ἔχοντας δείξει τὸ μέγεθος τοῦ παραλογισμοῦ τους, μεταφέρει ἀμέσως τὸ λόγο, ἀπὸ τὴ μιὰ δηλαδη ταλανίζοντάς τους, κι ἀπὸ τὴν ἄλλη ἐπιπλήττοντάς τους. Ταιριάζει,νομίζω, κατ᾽ ἐξοχὴν στὸν προφήτη νὰ θρηνεῖ κατὰ κάποιο τρόπο γι᾽ αὐτοὺς καὶ ἀπὸ πολὺ μεγάλη ἀγάπη τοῦ Θεοῦ νὰ ἐξεγείρεται ἐναντίον τους καὶ νὰ λέγει· «Ἀλλοίμονό σου, ἔθνος ἁμαρτωλό, λαὲ γεμᾶτε ἁμαρτίες, πονηρὸ σπέρμα, τέκνα παράνομα». Τὸ ἐπακόλουθο ὁπωσδήποτε γι᾽ αὐτοὺς ποὺ θέλουν νὰ ἀθετοῦν ἐμένα τὸ δωροδότη ὅλων τῶν ἀγαθῶν Θεὸ εἶναι νὰ ἔχουν ἀνεξάλειπτη τὴν ἁμαρτία καὶ νὰ εἶναι βαρημένοι μὲ φοβερὰ ἀναπόφευκτα ἐγκλήματα. Γιατὶ ἡ ἀθέτηση νοσεῖ πάντοτε κατὰ κάποιο τρόπο τὴ νόσο τῆς ἀποστασίας καὶ τῆς μετάπτωσης σὲ ὁποιοδήποτε ἀπὸ τὰ αἰσχρά. Γι᾽ αὐτὸ καὶ πρόσθεσε ἀμέσως τό, «ἐγκαταλείψατε τὸν Κύριο».Τοὺς ὀνομάζει βέβαια «σπέρμα πονηρό», ὄχι ἐπειδὴ εἶναι ἢ ἔχουν πλασθεῖ τέτοιοι ἀπὸ τὴ φύση τους, ἀλλὰ ἐπειδὴ ἔγιναν πονηροὶ υἱοὶ ἀπὸ πατέρες πονηρούς, σύμφωνα μὲ τὸν λόγο τοῦ Ἰωάννη. Γιατὶ ἀποκάλεσε καὶ τοὺς ἴδιους τοὺς γραμματεῖς καὶ Φαρισαίους ποὺ προσέρχονταν στὸ βάπτισμα «γεννήματα ἐχιδνῶν»[10]. Εἶναι πραγματικὰ ἀναμφισβήτητα ἅγιοι

γουμένως οἱ πρῶτοί τε καὶ ἐξ ἀρχῆς πατέρες, δδελυροὶ δὲ λίαν οἱ μετ' ἐκείνους.

Ἐντεθραμμένοις δὴ οὖν τοῖς τῶν πατέρων ἔθεσι καὶ προγονικὴν ζηλοῦντας ἀνοσιότητα, «σπέρμα πονηρὸν» ὠνόμασεν εἰκότως. Ἐγκαταλελοίπασι γὰρ τὸν Κύριον, καὶ παροτρύνοντες οὐκ ἐπαύσαντο τὸν Ἅγιον τοῦ Ἰσραήλ, τουτέστι Χριστόν. Οὐ γὰρ συνῆκαν τὸ ἐπ' αὐτῷ μυστήριον. Τοιγάρτοι καὶ μεμενήκασιν ἐν πληρώματι τῶν ἰδίων ἁμαρτιῶν. Καὶ τοῦτο αὐτοῖς ἔφασκεν ὁ Χριστός· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε». Πλήρης τοίνυν ἁμαρτιῶν ὁ Ἰσραήλ, καὶ εἰς τοῦτο λοιπὸν ἀφιγμένος φαυλότητος, ὡς πρέπειν αὐτῷ τὸ κολάζεσθαι δεῖν. Πεπληρώκασι γὰρ καὶ αὐτοὶ τὸ μέτρον τῶν ἰδίων πατέρων, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Μέχρι μὲν γάρ τινος καιροῦ καὶ μέτρου φορητὴν ποιεῖται ὁ Θεὸς τῶν πλημμελούντων τὴν καταφρόνησιν, ἀφιγμένης δὲ ἤδη πρὸς πλήρωσιν τὴν ἐγνωσμένην αὐτῷ τῆς ἁμαρτίας, ἐπιφέρει τὰς δίκας, καὶ ἀναλόγως τοῖς πλημμελήμασι κολάζει τὸν ἀπειθῆ. Καὶ γοῦν ὁ προφήτης Ζαχαρίας μέτρον τεθεαμένος, ἤρετο μὲν τὸν μακάριον ἄγγελον, ὅ τι δὴ τοῦτό ἐστι τὸ μέτρον τὸ ἐκπορευόμενον. Ὁ δὲ πρὸς αὐτόν, «Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ». Μεμένηκε τοίνυν ἀναπότριπτον ἔχων τὴν ἁμαρτίαν ὁ Ἰσραήλ, καὶ τὴν διὰ Χριστοῦ κάθαρσιν οὐκ ἠθέλησε λαβεῖν, ἀλλὰ γὰρ πρὸς τούτῳ καταλελοιπὼς αὐτόν, διὰ τοῦ μήτε τὴν εἰς αὐτὸν προσήκασθαι πίστιν, εἰπεῖν τε πρὸς τούτῳ τό, «Αἶρε, αἶρε, σταύρου αὐτόν», καί, «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα».

Στίχ. 5-6. «Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· Ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐπ' αὐτοῖς ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ

11. Ἰω. 8, 24. 12. Ματθ. 23, 32.

οἱ πρῶτοι καὶ ἀρχικοὶ πατέρες, ἀλλὰ πολὺ βδελυροὶ οἱ ἔπειτα ἀπὸ ἐκείνους.

Ἐπειδὴ δηλαδὴ εἶχαν ἀνατραφεῖ μὲ τὰ ἤθη τῶν πατέρων τους καὶ ἦταν ζηλωτὲς τῆς φαυλότητας τῶν προγόνων τους, πολὺ σωστὰ τοὺς ὀνόμασε «σπέρμα πονηρό». Γιατὶ εἶχαν ἐγκαταλείψει τὸν Κύριο καὶ δὲν ἔπαυσαν νὰ παροργίζουν τὸν Ἅγιο τοῦ Ἰσραήλ, δηλαδὴ τὸν Χριστό. Καθόσον δὲν εἶχαν κατανοήσει τὸ σχετικὸ μὲ αὐτὸν μυστήριο, γι᾽ αὐτὸ καὶ παρέμειναν στὸ πλῆθος τῶν ἁμαρτιῶν τους. Κι αὐτὸ τοὺς ἔλεγε ὁ Χριστός· «Σᾶς βεβαιώνω, ἂν δὲν πιστέψετε ὅτι ἐγὼ εἶμαι, θὰ πεθάνετε μέσα στὶς ἁμαρτίες σας»[11]. Ἦταν λοιπὸν γεμᾶτοι ἀπὸ ἁμαρτίες οἱ Ἰσραηλῖτες καὶ εἶχε φτάσει σὲ τέτοιο βαθμὸ φαυλότητας, ὥστε νὰ τοὺς χρειάζεται ἡ τιμωρία. Εἶχαν δηλαδὴ συμπληρώσει κι αὐτοὶ τὸ μέτρο τῶν πατέρων τους[12], σύμφωνα μὲ τὸν λόγο τοῦ Σωτήρα. Γιατὶ μέχρι σὲ κάποιον καιρὸ καὶ μέτρο ἀνέχεται ὁ Θεὸς τὴν καταφρόνηση ἐκείνων ποὺ ἁμαρτάνουν, ὅταν ὅμως φτάσει πιὰ ἡ ἁμαρτία στὸ μέτρο ποὺ αὐτὸς γνωρίζει, ἐπιβάλλει τὴ τιμωρία καὶ τιμωρεῖ τὸν ἀνυπάκουο ἀνάλογα μὲ τὰ πλημμελήματά του. Καὶ πράγματι ὁ προφήτης Ζαχαρίας, ὅταν εἶδε τὸ μέτρο, ρώτησε τὸν μακάριο ἄγγελο, ποιὸ εἶναι αὐτὸ τὸ μέτρο ποὺ ἔρχεται. Κι ἐκεῖνος τοῦ εἶπε· «Αὐτὴ εἶναι ἡ ἀδικία τους σὲ ὅλη τὴ γῆ»[13]. Ἔμειναν λοιπὸν οἱ Ἰσραηλῖτες μὲ ἀνεξάλειπτη τὴν ἁμαρτία καὶ δὲν θέλησαν νὰ δεχθοῦν τὴν κάθαρσή τους μέσω τοῦ Χριστοῦ. Ἀλλὰ ἐκτὸς ἀπὸ αὐτὸ τὸν ἐγκατέλειψαν ἐπειδὴ δὲν δέχθηκαν τὴν πίστη σ᾽ αὐτὸν καὶ εἶπαν ἐκτὸς ἀπὸ τό, «Πάρε τον, πάρε τον, καὶ σταύρωσέ τον», καὶ τό, «Δὲν ἔχομε ἄλλο βασιλιά, παρὰ μόνο τὸν Καίσαρα»[14].

Στίχ. 5-6. «Γιατὶ νὰ πληγώνεσθε καὶ ἄλλο, προσθέτοντας ἁμαρτίες; Ὁλόκληρο τὸ κεφάλι σας πονάει καὶ ἡ καρδιά σας εἶναι γεμάτη ἀπὸ λύπη. Ἀπὸ τὰ πόδια μέχρι τὸ κεφάλι τους δὲν ὑπάρχει ἄθικτο μέρος, δὲν ὑπάρχει μεμονωμένο τραῦμα,

13. Ζαχ. 5, 5-6.
14. Ἰω. 19, 15.

ἔστιν μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους».

Ὡς ἐφ' ἑνὸς σώματος τῶν Ἰουδαϊκῶν συστημάτων, μικρῶν τέ φημι καὶ μεγάλων, καὶ τῶν ἐν μεσότητι νοουμένων ποιεῖται τοὺς λόγους. Ἔοικε δὲ κεφαλὴν μὲν ὀνομάζειν τὸν τοῖς βασιλείας αὐχήμασιν εὐπρεπῆ, καρδίαν δέ, τὴν ἱερὰν καὶ ἀπόλεκτον φυλήν, τουτέστι τὴν Λευϊτικήν, ὡς τῷ νόμῳ σεσοφισμένην καὶ τοῦ παντὸς σώματος ἔχουσαν τὴν φροντίδα. «Χείλη γὰρ ἱερέως», φησίν, «φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ». «Πόδας» δὲ εἶναί φησι τοὺς ἐν ἐσχάτοις καὶ οἷον κατωτάτω λαχόντας τάξιν ἐν τοῖς λαοῖς Οὐκοῦν ἐπειδήπερ δύσοιστον μὲν ἤδη ταλαιπωρίαν ἡ τῶν Ἰουδαίων ὑπομεμένηκε γῆ, καταδηούντων αὐτήν, ὅτε μὲν Βαβυλωνίων, ὅτε δὲ τῶν προσοίκων ἐθνῶν, ἔμελλε καταπίμπρασθαι ταῖς Ῥωμαίων χερσὶν διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, καὶ ἀνατραπήσεσθαι μὲν ἡ παρ' αὐτοῖς βασιλεία, κεκρατήκασι γὰρ αὐτῶν ἀλλογενεῖς, ἀπραχτήσειν δὲ παρ' αὐτοῖς καὶ τὰ τῆς ἱερωσύνης ἔργα, θυσιῶν ἀνατετραμμένων, καθηρημένου τοῦ ναοῦ, θυσιαστηρίων οὐκ ὄντων, οὔτε ἱερατείας, οὔτε δήλων, κατὰ τὴν τοῦ προφήτου φωνήν, ταύτῃ τοί φησι· «Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν;». Ἐπενήνεκται, φησίν, ὑμῖν πᾶν εἶδος ὀργῆς καὶ αἰκία παρὰ Θεοῦ, σκληράς καὶ ἀλλεπαλλήλους ἐξήτησθε δίκας, ἀλλ' οὐδὲν ἧττον ἐστὲ καταφρονηταὶ καὶ ἀνομίας σύντροφοι.

Τί οὖν ἔτι πληγῆτε; ποῖον ὑμῖν αἰκίας ἀρκέσει μέτρον εἰς ἐπανόρθωσιν; τί δὲ ὅλως ἐπενεχθήσεται τῶν δεινῶν, ὃ μή πως συμβέβηκεν; Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην ἀπὸ ποδῶν ἕως κεφαλῆς. Οἱ μὲν γὰρ τὴν βασιλίδα τιμὴν λαχόντες πεπονήκασιν οὐ μετρίως, ἀντισχεῖν οὐκ ἔχοντες ταῖς τῶν πολεμίων ἐμβολαῖς. Λελύπηνται

15. Μαλαχ. 2, 7. 16. Ὡσηὲ 3, 4.

οὔτε μελανιά, οὔτε πληγὴ ἐρεθισμένη. Δὲν μπορεῖ νὰ μπεῖ κατάπλασμα, οὔτε λάδι, οὔτε ἐπίδεσμος».

Μιλᾶ σὰν σὲ ἑνιαῖο σῶμα στὴν Ἰουδαϊκὴ κοινωνία, ἐννοῶ σὲ μικροὺς καὶ μεγάλους καὶ τοὺς θεωρούμενους ὡς ἐνδιάμεσους. Καὶ φαίνεται ὅτι «κεφαλὴ» ὀνομάζει τὸν στολισμένο μὲ τὶς τιμὲς τῆς βασιλείας. «Καρδιὰ» πάλι λέγει τὴν ἱερὴ καὶ ἐκλεκτὴ φυλή, δηλαδὴ τὴ Λευϊτική, ποὺ κατέχει τὴ σοφία τοῦ νόμου καὶ ἔχει τὴ φροντίδα ὅλου τοῦ γένους. Γιατὶ λέγει, «τὰ χείλη τοῦ ἱερέα θὰ φυλάξουν τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ ἀπὸ τὸ στόμα αὐτοῦ θὰ ζητήσουν τὴν ἐξήγηση τοῦ νόμου»[15]. «Πόδια» τέλος λέγει ὅτι εἶναι οἱ πιὸ τελευταῖοι καὶ αὐτοὶ ποὺ τοὺς ἔλαχε στὴν κοινωνία ἡ κατώτερη τάξη. Λοιπόν, ἐπειδὴ ἡ γῆ τῶν Ἰουδαίων ὑπέμεινε πολὺ βαριὰ ταλαιπωρία δεχόμενη λεηλασίες, ἄλλοτε ἀπὸ τοὺς Βαβυλώνιους καὶ ἄλλοτε ἀπὸ τὰ γειτονικὰ ἔθνη, κι ἔμελλε νὰ καταπυρποληθεῖ μὲ τὰ χέρια τῶν Ρωμαίων ἐξαιτίας τῆς ἀσέβειάς τους πρὸς τὸν Χριστὸ καὶ ν' ἀνατραπεῖ τὸ βασίλειό της (καὶ πράγματι ὑποτάχθηκε ἀπὸ τοὺς ἀλλοεθνεῖς), καὶ ν' ἀδρανήσουν σ' αὐτοὺς τὰ ἔργα τῆς ἱερωσύνης, ἀφοῦ εἶχαν καταλυθεῖ οἱ θυσίες καὶ ὁ ναὸς εἶχε κατεδαφισθεῖ, καὶ οὔτε θυσιαστήρια οὔτε ἱερατικὰ ἔργα ὑπῆρχαν, οὔτε δῆλα[16], σύμφωνα μὲ τὸν λόγο τοῦ προφήτη, γι' αὐτὸ λέγει· «Γιατὶ νὰ δέχεσθε καὶ ἄλλες πληγὲς προσθέτοντας ἀνομίες;» Ἐκδηλώθηκε ἐναντίον σας κάθε εἶδος ὀργῆς, λέγει, καὶ κάκωσης ἀπὸ τὸν Θεό, καὶ δεχθήκατε σκληρὲς καὶ ἀλλεπάλληλες τιμωρίες, ἀλλὰ δὲν παύσατε καθόλου νὰ εἶστε καταφρονητές του καὶ σύντροφοι τῆς ἀνομίας.

Γιατί λοιπὸν νὰ δεχθεῖτε κι ἄλλα χτυπήματα; Ποιὸς βαθμὸς κάκωσης θὰ σᾶς σταθεῖ ἀρκετὸς γιὰ τὴ διόρθωσή σας, καὶ ποιὸ ἄλλο δεινὸ γενικὰ νὰ σᾶς ἐπιβληθεῖ, ποὺ δὲν σᾶς ἔχει συμβεῖ; Τὸ κεφάλι τοῦ καθενός σας εἶναι παραδομένο στὸν πόνο καὶ ἡ καρδιὰ τοῦ καθενός σας εἶναι βυθισμένη στὴ λύπη, καὶ ὑποφέρετε ἀπὸ τὰ πόδια ὡς τὸ κεφάλι. Γιατὶ ὅσοι ἔχουν λάχει τὸ βασιλικὸ ἀξίωμα ὑποφέρουν πολύ, ἐπειδὴ δὲν μποροῦν ν' ἀντισταθοῦν στὶς

καὶ οἱ ἱερεῖς ἀργούσης ὡς ἔφην θυσίας. Ἐπλήττοντο δὲ καὶ οἱ πόδες, τουτέστιν οἱ τελευταῖοι καὶ κατώτατοι, τοῦτο μὲν τοῖς τῶν πολεμίων ξίφεσι δαπανώμενοι, τοῦτο δὲ καὶ λιμοῖς τε καὶ ἀκαρπίαις κατατρυχόμενοι καὶ τῆς ἀκράτου ταλαιπωρίας εἰς πεῖραν ἐνηνεγμένοι. Τοιγάρτοι φησίν· «Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτ' ἔλαιον, οὔτε καταδέσμους». Ὅτ' ἂν μὲν γὰρ σύμμετροί τινες τῷ ἀνθρωπίνῳ σώματι συμβαίνωσι πληγαὶ καὶ καθ' ἑνὸς ἴοι μέλους ἡ βλάβη, τοτηνικάδε χρήσιμα τῆς τῶν θεραπεύσειν εἰδότων ἐπιεικείας τὰ εὑρήματα, οἷον μάλαγμα καὶ κατάδεσμοι καὶ ἐλαίου χρίσις χολῶσα τὰ συντεινόμενα. Ὅταν δὲ δι' ὅλον τὸ σῶμα νοσῇ καὶ ἐφ' ἑαυτῷ καταφθείρηται, ποῖος αὐτῷ θεραπείας ὀνίνησι τρόπος; νικᾷ γὰρ πάντως τῶν ἐκ τέχνης ἐπικουρημάτων τὴν δύναμιν τῆς νόσου τὸ μέγεθος. Ἀνίατος τοιγαροῦν ἡ τῶν Ἰουδαίων πληθύς· περιπεσοῦσα τραύμασιν καὶ ἀφορήτως νοσοῦσα τὰ ἐξ ὀργῆς, ἀπόλωλεν ὁλοτρόπως, μηδενὸς αὐτοῖς βοηθήσαντος τρόπου. Τοιγάρτοι ἔφασκον καὶ οἱ θεσπέσιοι προφῆται· «Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη, ἐγκατελείπομεν αὐτήν». Βαβυλῶνι γὰρ τῇ τῶν ἐθνῶν παρεικάζεται, καίτοι πόλις ἁγία κατωνομασμένη, διά τοι μάλιστα τὴν εἰς Χριστὸν ἀσέβειαν, ἣ καὶ ὅτι τῶν χειροποιήτων ἐνεπίμπλασαν αὐτήν, ὡς κατ' οὐδένα τρόπον τῇ Βαβυλωνίων παραχωρήσειν, ἣ καὶ ὠνόμασται γῇ τῶν γλυπτῶν.

Στίχ. 7. «Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν. Καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων».

Τὸ ἀσαφέστερόν πως ἦ χρῆν εἰρῆσθαι δοκοῦν καθίστησιν ἐναργές. Τί γὰρ ἂν βούλοιτο δηλοῦν τὸ οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους, διερμη-

17. Ἱερ. 28 (Μασωρ. 51), 9.

ἐπιθέσεις τῶν ἐχθρῶν. Στὴ λύπη εἶναι βυθισμένοι καὶ οἱ ἱερεῖς, ἐπειδή, ὅπως εἶπα, δὲν γίνονται θυσίες. Πληγὲς δέχονταν καὶ τὰ πόδια, οἱ τελευταῖοι δηλαδὴ πολίτες καὶ οἱ κατώτατοι, ἀπὸ τὴ μιὰ ἐξαφανιζόμενοι ἀπὸ τὰ ξίφη τῶν ἐχθρῶν, κι ἀπὸ τὴν ἄλλη βασανιζόμενοι ἀπὸ τὴν πεῖνα καὶ τὶς στερήσεις καὶ ἔχοντας φτάσει στὸ ἔπακρο τῆς ταλαιπωρίας. Γι' αὐτὸ βέβαια λέγει· «Δὲν ὑπάρχει κατάπλασμα γιὰ νὰ μπεῖ στὶς πληγές, οὔτε λάδι, οὔτε ἐπίδεσμος». Γιατὶ ὅταν προκαλοῦνται πληγὲς ποὺ μπορεῖ νὰ ὑποφέρει τὸ ἀνθρώπινο σῶμα καὶ ἡ βλάβη περιορίζεται σ' ἕνα μέλος, τότε εἶναι χρήσιμες οἱ ἐπιστημονικὲς ἐπινοήσεις αὐτῶν ποὺ γνωρίζουν νὰ θεραπεύουν, ὅπως εἶναι τὰ καταπλάσματα καὶ οἱ ἐπίδεσμοι καὶ ἡ ἐπάλειψη μὲ λάδι ποὺ χαλαρώνει τοὺς πόνους, ὅταν ὅμως νοσεῖ ὅλο τὸ σῶμα καὶ λειώνει μόνο του, ποιὸς τρόπος θεραπείας θὰ τὸ ὠφελήσει; Γιατὶ τὴ δραστικότητα τῆς ἐπιστημονικῆς βοήθειας τὴ νικᾶ ὁπωσδήποτε τὸ μέγεθος τῆς νόσου. Εἶναι λοιπὸν ἀθεράπευτο τὸ πλῆθος τῶν Ἰουδαίων· ἔχοντας περιπέσει σὲ τέτοια τραύματα καὶ ὑποφέροντας ἀφόρητα ἀπὸ τὴν ὀργή, χάθηκε ὁλοσχερῶς καὶ δὲν τοὺς βοήθησε κανένα μέσο. Γι' αὐτὸ ἔλεγαν καὶ οἱ θεσθέσιοι προφῆτες· «Προσφέραμε ἰατρικὴ βοήθεια στὴ Βαβυλώνα καὶ δὲν θεραπεύθηκε, γι' αὐτὸ τὴν ἀφήνομε»[17]. Παρομοιάζεται δηλαδὴ μὲ τὴν ἐθνικὴ Βαβυλώνα, μολονότι ἔχει ὀνομασθεῖ "πόλη ἁγία", προπάντων βέβαια ἐξαιτίας τῆς ἀσέβειάς της πρὸς τὸν Χριστό, ἢ καὶ ἐπειδὴ τὴ γέμισαν μὲ ἔργα τῶν χειριῶν, ὥστε μὲ κανένα τρόπο νὰ μὴ φανεῖ κατώτερη ἀπὸ τὴν πόλη τῶν Βαβυλωνίων, ἡ ὁποία καὶ ἔχει ὀνομασθεῖ γῆ τῶν γλυπτῶν.

> Στίχ. 7. «Ἡ γῆ σας ἔγινε ἔρημη, οἱ πόλεις σας ἔχουν πυρποληθεῖ, τὴ χώρα σας μπροστὰ στὰ μάτια σας τὴν κατατρώγουν ἀλλοεθνεῖς, καὶ ἔχει ἐρημωθεῖ καταστραμμένη ἀπὸ λαοὺς ξένους».

Αὐτὸ ποὺ φαίνεται ὅτι εἰπώθηκε κάπως ἀσαφέστερα ἀπὸ ὅτι ἔπρεπε, τὸ κάνει φανερό. Τί δηλαδὴ ἤθελε νὰ δηλώσει τὸ «Δὲν ὑπάρχει κατάπλασμα γιὰ νὰ μπεῖ στὶς πληγές, οὔτε λάδι, οὔτε

νεύει λευκῶς, ἠρημῶσθαι τὴν γῆν λέγων αὐτῶν, ἐμπρισθῆναι δὲ καὶ τὰς πόλεις καὶ ὑπόχειρα γενέσθαι τῶν ἐχθρῶν, καὶ τοῦτο ἀλλογενῶν, ὡς μονονουχὶ καὶ ἅπασαν ἐκ βάθρων αὐτῶν ἀνατετράφθαι. Πλειστάκις μὲν οὖν συμβέβηκεν ἁλῶναι τὴν Ἰουδαίαν, ὑπό τε Ἀσσυρίων καὶ Αἰγυπτίων, Σύρων τε καὶ Μωαβιτῶν, Ἰδουμαίων τε καὶ τῶν καλουμένων Φιλιστιείμ, ἤτοι Παλαιστινῶν. Ἀλλὰ ὀλίγα παθοῦσα, καὶ συμμέτροις ἐσθ' ὅτε περιπεσοῦσα συμφοραῖς, πάλιν ἀνήνεγκεν ἐπαμύνοντος Θεοῦ, καὶ αὐτοῦ μοτοῦντος τοῦ πλήξαντος, ἀπόλωλεν δὲ ὁλοτρόπως μετὰ τὸν τοῦ Σωτῆρος σταυρόν, καταδηούντων αὐτὴν Οὐεσπασιανοῦ τε καὶ Τίτου. Τότε γὰρ δὴ συμβέβηκεν κατεμπρισθῆναι μὲν πόλεις, ἅπασαν δὲ τῶν ἐνοικούντων κενὴν γενέσθαι τὴν χώραν, καὶ ὑπὸ χεῖρα πεσεῖν τῶν κεκρατηκότων, παμμοχθηρὸν δὲ τὸ ἐνώπιον αὐτῶν, ἤγουν ὁρώντων καὶ ἀλγυνομένων, ὑφ' ἑτέροις εἶναι τὴν γῆν κατεσθιομένην τρόπον τινὰ καὶ δαπανωμένην. Τὸ μὲν γὰρ ἀπόντας ἀκοῦσαι μόνον τάχα που φορητὴν αὐτοῖς ἂν ἐνεποίησε τὴν λύπην, τὸ δὲ καὶ παρόντας ὁρᾷν, εἶτα μηδὲν ἐπαμύνειν δύνασθαι κατηχθῆσθαι δὲ ὥσπερ ταῖς ἐξ ἀνάγκης συμφοραῖς δύσοιστον ἔχει καὶ παμπολὺ τὸ λυποῦν. Δεῖ δὴ οὖν ἡμᾶς μὴ παροργίζειν τὸν ἅγιον τοῦ Ἰσραήλ, ἵνα μὴ ὁρατοῖς τε καὶ ἀοράτοις περιπίπτωμεν ἐχθροῖς εἰς τὰ τῆς ἀτιμίας καταβιβάζουσι πάθη, καὶ πᾶν ὀχύρωμα τοῦ ἐν ἡμῖν ὄντος νοῦ καταστρέφουσιν, ὡς κατανέμεσθαι τρόπον τινὰ τὴν ἀθλίαν ψυχὴν καὶ πάντας αὐτῆς δαπανᾶν τοὺς καρπούς, ἵνα οἷον ξηρά τε καὶ ἄτιμος ᾖ, καὶ ἀκανθοτόκος εὑρίσκηται γῆ, ἧς τὸ τέλος εἰς καῦσιν, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν.

Στίχ 8. «Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη».

Ἐλεεινὸν τὸ χρῆμα· πῶς γὰρ οὐ θρήνου τε καὶ οἰμωγῆς

18. Ἑβρ. 6, 8.

ἐπίδεσμος», τὸ ἑρμηνεύει μὲ σαφήνεια, λέγοντας ὅτι ἡ γῆ τους ἐρημώθηκε, οἱ πόλεις τους πυρπολήθηκαν καὶ περιῆλθαν στὴν κατοχὴ τῶν ἐχθρῶν, καὶ μάλιστα ἀλλοεθνῶν, ὥστε ὁλόκληρη ἡ χώρα τους νὰ κατακρημνισθεῖ κατὰ κάποιο τρόπο ἐκ θεμελίων. Πάρα πολλὲς φορὲς βέβαια ἔτυχε νὰ κυριευθεῖ ἡ Ἰουδαία ἀπὸ Ἀσσυρίους καὶ Αἰγυπτίους, ἀπὸ Σύρους καὶ Μωαβῖτες, ἀπὸ Ἰδουμαίους καὶ τοὺς λεγόμενους Φιλιστιείμ, δηλαδὴ τοὺς Παλαιστινίους. Ἀλλ' ἀφοῦ ἔπαθε λίγα, ἀφοῦ εἶχε πέσει σὲ σύμμετρες συμφορές, συνῆλθε πάλι μὲ τὴ βοήθεια τοῦ Θεοῦ, καὶ τὴ θεράπευε ὁ ἴδιος ποὺ προκάλεσε καὶ τὸ πλήγμα, μετὰ τὴ σταύρωση ὅμως τοῦ Σωτήρα καταστράφηκε ἐξολοκλήρου, καθὼς καταρημάχθηκε ἀπὸ τὸν Βεσπασιανὸ καὶ τὸν Τίτο. Γιατὶ τότε συνέβη νὰ καταπυρποληθοῦν οἱ πόλεις, νὰ ἀδειάσει ὅλη ἡ χώρα ἀπὸ τοὺς κατοίκους της καὶ νὰ ὑποταχθεῖ στοὺς νικητές, καὶ ἦταν ἀπεριόριστα μεγάλο κακὸ αὐτὸ ποὺ συνέβαινε μπροστά τους, τὸ νὰ ὑποφέρουν δηλαδὴ βλέποντας τὴ χώρα τους κάτω ἀπὸ τὴν ἐξουσία ἄλλων νὰ τὴν κατατρώγουν κατὰ κάποιο τρόπο καὶ νὰ τὴν καταστρέφουν. Γιατί, τὸ νὰ ἦταν ἀπόντες καὶ νὰ ἄκουαν μόνο ἴσως θὰ ἔκανε ὑποφερτὴ τὴ λύπη, τὸ νὰ εἶναι ὅμως παρόντες καὶ νὰ βλέπουν καὶ νὰ μὴν μποροῦν νὰ βοηθήσουν σὲ τίποτα, ἀλλὰ νὰ πονοῦν ὅπως σὲ ἀναπόφευκτες συμφορές, ἔχει μεγάλη καὶ ἀνυπόφορη λύπη. Πρέπει λοιπὸν ἐμεῖς νὰ μὴν παροργίζομε τὸν Ἅγιο τοῦ Ἰσραήλ, γιὰ νὰ μὴν περιπίπτομε στὴν ἐξουσία ὁρατῶν καὶ ἀόρατων ἐχθρῶν ποὺ μᾶς κατεβάζουν στὰ πάθη τῆς ἀτιμίας καὶ καταστρέφουν κάθε ὀχυρὸ τοῦ νοῦ ποὺ ἔχομε μέσα μας, ὥστε κατὰ κάποιο τρόπο νὰ κατατρώγουν τὴν ἄθλια ψυχὴ καὶ νὰ δαπανοῦν ὅλους τοὺ καρπούς της, μὲ ἀποτέλεσμα νὰ μένει ξηρὴ καὶ περιφρονημένη γῆ, ποὺ βγάζει ἀγκάθια, προορισμὸς τῶν ὁποίων εἶναι ἡ καύση, σύμφωνα μὲ τὸν λόγο τοῦ μακάριου Παύλου[18].

Στίχ. 8. «Θὰ ἐγκαταλειφθεῖ ἡ κόρη μου Σιων σὰν καλύβα στὸ ἀμπέλι καὶ ἀποθήκη ὀπωρικῶν σὲ μποστάνι, σὰν πόλη ποὺ πολιορκεῖται».

Ἐλεεινὴ ἡ κατάσταση. Πῶς δηλαδὴ δὲν εἶναι ἄξια γιὰ θρή-

ἄξιον; Ἡ γὰρ πάλαι θυγάτηρ καὶ τῇ κλήσει τοιᾶδε τετιμημένη, καὶ οἷον ὑπὸ πατρὶ φιλοστοργοτάτῳ πράττουσα τῷ Θεῷ, ἡ φειδοῖ καὶ ἀγάπῃ τῇ παρ' αὐτοῦ μεθύουσα καὶ ταῖς εἰς λῆξιν εὐκλείαις παρ' αὐτοῦ στεφανουμένη καὶ κατακρατοῦσα τῶν ἀνθειστηκότων καὶ ἀμετρήτῳ πληθυϊ τῶν ἐνοικούντων αὐτὴν περιεχομένη, ἡ παμμακαρία καὶ διαβόητος Σιών, ἤγουν Ἱερουσαλήμ, ἐγκαταλειφθήσεται, φησίν, τοῦτ' ἔστιν ἔρημος ἔσται. Γυμνή τε ἀπομενεῖ καὶ τῆς τοῦ σώζοντος εὐσθενείας καὶ τῶν ἐνοικούντων αὐτήν. Ἐγκαταλειφθήσεται δὲ οὕτως, ὡσεὶ σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ καὶ ὡς πόλις πολιορκουμένη. Οἱ μὲν γὰρ τῶν ἀμπελώνων τεταγμένοι φύλακες, ἐντεθηλότων αὐτοῖς τῶν βοτρύων ἔτι, πλείστην τε ὅσην ποιοῦνται τὴν ἀσφάλειαν, καὶ τοὺς ἀποκείρειν ἐθέλοντας κατα πτοοῦσι λῃστάς, καὶ τὰ τῶν θηρίων ἐλαύνουσι γένη. Ἔθος δὲ τοῦτο δρᾶν καὶ τοῖς τῶν σικυηλάτων ἐπιτηρηταῖς ἤτοι δεσπόταις. Συγκεκομισμένων δὲ τῶν βοτρύων καὶ πεπατημένων καὶ τῶν ἐν σικυηλάτοις ἐξῃρημένων, τὸ τῶν φυλαττόντων ἐπιεικὲς ἀνεῖται λοιπόν, οἵ, καὶ αὐτὰς ἀφέντες τὰς ἑαυτῶν σκηνάς, ἐλευθέραν τοῖς ἐθέλουσι περιεργάζεσθαι τὰ λοιπὰ ποιοῦνται τὴν εἰσβολήν.

Πεπράχθαι τι τοιοῦτον καὶ ἐπὶ τῇ ταλαιπώρῳ Σιὼν ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος. Ἔτι μὲν γὰρ τοὺς τῆς δικαιοσύνης ἔχουσαν καρποὺς, ἀσφαλείας τε καὶ παραφυλακῆς καὶ φειδοῦς ἁπάσης ἠξίου Θεός. Ἔφη γὰρ ὅτι «Ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κύκλωθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς». Ψάλλει γὰρ καὶ ὁ μακάριος Δαβίδ· «Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ». Ἐπειδὴ δὲ καίτοι γεγονὼς ὁ Ἰσραὴλ ἀμπελὼν Κυρίου Σαβαὼθ, κεχαράκωται μὲν καὶ ἠξιώθη φραγμοῦ, τέτοκε δὲ ἀκάνθας, καὶ δέδοται παρὰ Θεοῦ τοῖς ἀδικεῖν εἰ-

19. Ζαχ. 2, 9.

νους καὶ κραυγές; Γιατὶ ἐκείνη ποὺ ἦταν κόρη στὸ παρελθὸν καὶ εἶχε τιμηθεῖ μὲ αὐτὴ τὴν ὀνομασία καὶ ἦταν κατὰ κάποιο τρόπο κάτω ἀπὸ τὴν προστασία φιλοστοργότατου πατέρα, τοῦ Θεοῦ, ἐκείνη ποὺ μεθοῦσε ἀπὸ τὴ φροντίδα καὶ τὴν ἀγάπη του καὶ ἦταν στεφανωμένη ἀπὸ αὐτὸν μὲ ἀτέλειωτες τιμὲς καὶ δόξες καὶ νικοῦσε ἐκείνους ποὺ τὴν ἀντιμάχονταν καὶ ἀποτελοῦνταν ἀπὸ τὸ ἀμέτρητο πλῆθος ἐκείνων ποὺ κατοικοῦσαν σ' αὐτήν, ἡ παμμακάρια καὶ περιβόητη Σιών, δηλαδὴ Ἱερουσαλήμ, λέγει ὅτι θὰ ἐγκαταλειφθεῖ, δηλαδὴ θὰ γίνει ἔρημη. Καὶ θὰ μείνει γυμνὴ κι ἀπὸ τὴ δύναμη ἐκείνου ποὺ τὴν ἔσωζε κι ἀπὸ τοὺς κατοίκους της. Καὶ θὰ ἐγκαταλειφθεῖ ἔτσι, σὰν καλύβα στὸ ἀμπέλι καὶ σὰν ἀποθήκη ὀπωρικῶν σὲ μποστάνι καὶ σὰν πόλη ποὺ πολιορκεῖται. Οἱ ὁρισμένοι δηλαδὴ φύλακες τοῦ ἀμπελώνα, ὅταν ἀκόμα τὰ τσαμπιὰ εἶναι ἀγουρίδες, παρέχουν πάρα πολὺ μεγάλη ἀσφάλεια, καὶ τρομοκρατώντας τοὺς κλέφτες ποὺ θέλουν νὰ τὰ κόψουν, καὶ διώχνοντας τὰ διάφορα ἀγρίμια. Εἶναι συνήθεια βέβαια νὰ τὸ κάνουν αὐτὸ καὶ οἱ φύλακες τῶν κτημάτων ὀπωρικῶν ἢ οἱ ἰδιοκτῆτες. Ὅταν ὅμως τρυγηθοῦν τὰ σταφύλια καὶ πατηθοῦν καὶ κουβαληθεῖ ἡ σοδειὰ ἀπὸ τοὺς ὀπωρῶνες, σταματᾶ στὸ ἑξῆς ἡ ὑπηρεσία τῶν φυλάκων, οἱ ὁποῖοι, ἐγκαταλείποντας ἀκόμα καὶ τὶς καλύβες τους, ἀφήνουν ἐλεύθερη τὴν εἴσοδο σὲ ὅσους θέλουν νὰ περιεργασθοῦν ὅτι ἔχει ἀπομείνει.

Κάτι τέτοιο ἔγινε, μᾶς διδάσκει ὁ προφητικὸς λόγος, καὶ μὲ τὴν ταλαίπωρη Σιών. Ὅσο ἀκόμα δηλαδὴ εἶχε τοὺς καρποὺς τῆς δικαιοσύνης ὁ Θεὸς τὴν ἔκρινε ἄξια τῆς ἀσφάλειας, τῆς φύλαξης καὶ κάθε φροντίδας του. Γιατὶ εἶπε· «Θὰ γίνω τεῖχος πύρινο, λέγει ὁ Κύριος, γύρω ἀπὸ αὐτὴν καὶ δόξα της μὲ τὴν παρουσία μου ἀνάμεσά της»[19]. Ψάλλει βέβαια καὶ ὁ μακάριος Δαβίδ· «Νά, δὲν θὰ νυστάξει οὔτε θὰ κοιμηθεῖ αὐτὸς ποὺ φυλάσσει τὸν Ἰσραήλ»[20]. Ἐπειδὴ ὅμως, μολονότι ὁ Ἰσραὴλ ἦταν ἀμπελώνας τοῦ Κυρίου Σαβαὼθ καὶ ἀξιώθηκε νὰ τοῦ γίνει ἀνάχωμα καὶ φραγμός, ὅμως ἔβγαλε ἀγκάθια, γι' αὐτὸ τὸν παρέδωσε ὁ Θεὸς σὲ ἐκείνους ποὺ

20. Ψαλμ. 120, 30.

ωθόσιν· «Καθελῶ», γάρ, φησί, «τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα, καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ». Τοιγάρτοι καὶ ἐλυμήνατο αὐτὴν κάπρος ἐκ δρυμοῦ, καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτήν. Ὅτι δὲ ἀνῆκε τὸν ἀμπελῶνα Θεὸς καὶ ἐγκαταλέλειπται παρ' αὐτοῦ, διδάσκει λέγων ὁ Σωτήρ· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος». Προανακεκράγει δὲ τοῦτο καὶ διὰ φωνῆς προφήτου λέγων· «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου. Δέδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοί, ὡς λέων ἐν δρυμῷ, δέδωκεν ἐπ' ἐμὲ φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν».

Διαμέμνηται δέ που Ἰώσηπος, ὁ τὰ τῆς Ἰουδαίων γῆς ἐκτραγῳδήσας πάθη, ὅτι μελλούσης ἁλῶναι τῆς Ἱερουσαλήμ, ἤκουον οἱ ἱερεῖς ἐν τῷ ναῷ φωνῆς, ὡς τῶν ἐν αὐτῷ βοώντων ἀγγέλων, Μεταβαίνωμεν ἐντεῦθεν. Ὅτι δὲ πόλεως πολιορκουμένης, φυγῆς παρὰ πάντων ζητεῖται τρόπος τῶν ἐν αὐτῇ, πῶς ἔστιν ἀμφιβαλεῖν; Ἐντεῦθέν ἐστι τὰ τῆς Ἰουδαίων χώρας διατεκμαίρεσθαι πάθη. Τοιπόθητον γὰρ τοῖς πολιορκουμένοις κατεφαίνετο καὶ τὸ μόνην δύνασθαι διασῶσαι ψυχήν. Οἴκου δὲ καὶ περιουσίας ἢ καὶ τῆς πόλεως αὐτῆς οὐδεὶς ἦν αὐτοῖς παντελῶς λόγος. Ἰστέον δὲ ὅτι καὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν ἐγκαταλείπεσθαι παρὰ Θεοῦ συμβαίνει πολλάκις, εἰ μὴ ἔλοιτο διορθοῦν τὰ διατεταγμένα καὶ δεσποτικοῖς θεσπίσμασιν ὑποφέρουσα τὸν αὐχένα, τοὺς τῆς εἰς αὐτὸν εὐσεβείας ἀποτίκτει καρπούς. Εἰ καὶ κεχρημάτικεν υἱὸς ἢ θυγάτηρ Θεοῦ, εἰ καὶ γέγονε Σιών, ὅ

21. Ἡσ. 5, 5-6

συνηθίζουν νὰ βλάπτουν· γιατὶ λέγει· «Θὰ χαλάσω τὸν φράχτη καὶ θὰ ἀφεθεῖ σὲ διαρπαγή· θὰ γκρεμίσω ἐπίσης τὸν τοῖχο του καὶ θὰ καταπατηθεῖ, καὶ θὰ ἐγκαταλείψω τὸν ἀμπελώνα μου, ὥστε οὔτε νὰ κλαδευθεῖ οὔτε νὰ σκαφθεῖ»[21]. Γι᾽ αὐτὸ καὶ τὸν κατέστρεψε κάπρος ἀπὸ τὸ δάσος καὶ ὄνος ἄγριος τὸν κατέφαγε. Ὅτι ἄφησε ὁ Θεὸς τὸν ἀμπελώνα του καὶ τὸν ἐγκατέλειψε, τὸ διδάσκει ὁ Σωτήρας λέγοντας· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, σὺ ποὺ σκοτώνεις τοὺς προφῆτες καὶ λιθοβολεῖς τοὺς ἀπεσταλμένους σὲ σένα, πόσες φορὲς θέλησα νὰ μαζέψω τὰ παιδιά σου, ὅπως ἡ ὄρνιθα μαζεύει τὰ μικρά της κάτω ἀπὸ τὰ φτερά της, καὶ δὲν θελήσατε. Νά, ἀφήνεται πιὰ τὸ σπίτι σας ἔρημο»[22]. Τὸ προανήγγειλε αὐτὸ καὶ μὲ τὴ φωνὴ τοῦ προφήτη λέγοντας· «Ἐγκατέλειψα τὸ σπίτι μου, ἄφησα τὴν κληρονομία μου. Παρέδωσα τὴ ἀγαπημένη ψυχή μου στὰ χέρια τῶν ἐχθρῶν της. Ἔγινε γιὰ μένα ἡ κληρονομία μου σὰν τὸ λιοντάρι στὸ δάσος, ἔβγαλε φωνὴ ἐναντίον μου· γι᾽ αὐτὸ καὶ τὴν μίσησα»[23].

Ἀναφέρει κάπου ὁ Ἰώσηπος, ὁ ὁποῖος διεκτραγώδησε τὰ παθήματα τῶν Ἰουδαίων, ὅτι ὅταν ἐπρόκειτο νὰ γίνει ἡ ἅλωση τῆς Ἱερουσαλήμ, ἄκουγαν οἱ ἱερεῖς μέσα στὸ ναὸ μιὰ φωνὴ σὰ νὰ φώναζαν ἄγγελοι· Φεύγομε ἀπὸ ἐδῶ. Ὅτι βέβαια ὅταν πολιορκοῦσαν τὴν πόλη, ὅλοι ὅσοι ἦταν μέσα ζητοῦσαν κάποιο τρόπο νὰ φύγουν, πῶς μποροῦμε ν᾽ ἀμφιβάλομε; Ἀπὸ αὐτὸ μποροῦμε νὰ συμπεράνομε γιὰ τὰ παθήματα τῆς χώρας τῶν Ἰουδαίων. Πραγματικὰ ἦταν πολυπόθητο γιὰ τοὺς πολιορκούμενους νὰ μπορέσουν νὰ σώσουν καὶ μόνο τὴ ζωή τους, ἐνῶ γιὰ τὴν περιουσία τους ἢ καὶ τὴν ἴδια τὴν πόλη δὲν ἔδειχναν κανένα ἐνδιαφέρον. Πρέπει ὅμως νὰ γνωρίζομε, ὅτι πολλὲς φορὲς συμβαίνει καὶ ἡ ἴδια ἡ ζωὴ τοῦ ἀνθρώπου νὰ ἐγκαταλείπεται ἀπὸ τὸ Θεό, ἂν δὲν θέλει νὰ ἐκτελέσει ὀρθὰ τὶς ἐντολές του, καὶ κλίνοντας τὸν αὐχένα στὰ δεσποτικὰ προστάγματα, νὰ ἀποδώσει τοὺς καρποὺς τῆς εὐσέβειας σ᾽ αὐτόν. Ἂν καὶ χρημάτισε υἱὸς ἢ θυγατέρα τοῦ Θεοῦ, ἂν καὶ

22. Ματθ. 23, 37-38.
23. Ἱερ. 12, 7-8. .

ἐστι σκοπευτήριον, τοῦτ' ἔστιν ἐν ὑψηλῇ διανοίᾳ καὶ νῷ καθαρωτάτῳ καὶ ὁρᾷν εἰδότι μυστήρια· εἶτα δρῶν ἃ μὴ θέμις, παροτρύνων ὁρᾷτο τὸν ἅγιον τοῦ Ἰσραήλ, ἐγκαταλειφθήσεται παρ' αὐτοῦ, καὶ οἷά τις ἀφρούρητος ἀμπελὼν ἐκδοθήσεται τῷ Σατανᾷ καὶ τοῖς πάθεσι τῆς σαρκός, ἔρημός τε ἁπάσης ἀρετῆς ἀναδειχθήσεται καὶ γυμνὸς αὐχημάτων τῶν ἐκ πολιτείας ἀγαθῆς καὶ παντὸς ἀνάπλεως κακοῦ.

Στίχ. 9. «Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλειπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόρρα ἂν ὡμοιώθημεν».

Καταπρησθείσης τῆς χώρας διά τοι τὴν εἰς Χριστὸν ἀσέβειαν, σέσωσται καὶ οὕτω τὸ κατάλειμμα τοῦ Ἰσραήλ, Θεοῦ κατοικτείροντος καὶ ταῖς τῶν πατέρων μνήμαις δῶρον καθάπερ τι καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐξαίρετον ἀπονέμοντος. Οὐ γὰρ ἀπόλωλεν ὁλοτρόπως, οὔτε μὴν ἐξ αὐτῶν κατεσείσθη βάθρων, ἀλλὰ μεμένηκεν ἐν λειψάνοις. Ἦσαν γὰρ ἐξ αὐτῶν καὶ οἱ θεσπέσιοι μαθηταί, καὶ μὴν καὶ ὅσοι πεπιστεύκασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Κληθήσονται δὲ καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ οἱ μήπω πιστεύσαντες. Καὶ πρός γε τοῦτο ἡμᾶς πιστώσεται λόγος προφητικός. Λέγει δὲ οὕτως· «Ἔτι πολλὰς ἡμέρας καθήσονται οἱ υἱοὶ Ἰσραήλ, οὐκ ὄντος βασιλέως οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας οὔτε δήλων. Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν. Καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτου τῶν ἡμερῶν». Καὶ μὴν καὶ ἑτέρωθι ὁ τῶν ὅλων Θεός· «Τί σε διαθῶ Ἐφραΐμ; Ὑπερασπιῶ σου, Ἰσραήλ; Τί σε διαθῶ; Ὡσεὶ Ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβωείμ· μετεστράφη ἡ καρ-

24. Ἡ Δήλωση καὶ ἡ Ἀλήθεια, μὲ τὰ ὁποῖα ἐκφραζόταν ὁ Θεός, Ἐξ. 28, 26.

ἔγινε Σιών, ποὺ σημαίνει παρατηρητήριο, δηλαδὴ ποὺ ἔχει ὑψηλὴ διάνοια καὶ καθαρότατο νοῦ, ποὺ μπορεῖ νὰ βλέπει τὰ μυστήρια, ἔπειτα ὅμως πράττοντας ὅσα δὲν ἔπρεπε, φαίνεται νὰ παροργίζει τὸν ἅγιο τοῦ Ἰσραήλ· γι αὐτὸ θὰ ἐγκαταλειφθεῖ ἀπὸ αὐτὸν καὶ σὰν ἀφρούρητο ἀμπέλι θὰ παραδοθεῖ στὸν Σατανᾶ καὶ μὲ τὰ πάθη τῆς σάρκας θ' ἀναδειχθεῖ ἔρημος ἀπὸ κάθε ἀρετὴ καὶ γυμνὸς ἀπὸ τὶς τιμὲς τῆς ἀγαθῆς διαβίωσης καὶ γεμᾶτος ἀπὸ κάθε κακό.

Στίχ. 9. «Καὶ ἂν ὁ Κύριος τῶν δυνάμεων δὲν ἄφηνε σ' ἐμᾶς ἕνα μικρὸ ὑπόλοιπο, θὰ εἴχαμε γίνει ὅπως τὰ Σόδομα, καὶ θὰ εἴχαμε ἐξομοιωθεῖ μὲ τὰ Γόμορρα.

Ἀφοῦ κατακάηκε ἡ χώρα ἐξαιτίας τῆς ἀσέβειάς τους πρὸς τὸν Χριστό, σώθηκε κι ἔτσι ἀκόμα ἕνα μικρὸ μέρος τοῦ Ἰσραήλ, ἐπειδὴ τοὺς λυπήθηκε ὁ Θεός, ἀπονέμοντάς τους κι αὐτὸ στὴ μνήμη τῶν πατέρων της δῶρο ἐξαίρετο κοντὰ στὰ ἄλλα. Δὲν χάθηκε δηλαδὴ ὁλοσχερῶς, οὔτε κλονίσθηκε ἀπὸ τὰ ἴδια τὰ θεμέλια, ἀλλὰ ἔμεινε ἕνα ὑπόλειμμα. Ἀπὸ αὐτοὺς βέβαια προέρχονταν οἱ θεσπέσιοι μαθητὲς καὶ ἀσφαλῶς καὶ ὅσοι πίστεψαν στὸν Κύριό μας Ἰησοῦ Χριστό, καὶ στοὺς ἔσχατους καιροὺς τοῦ αἰώνα θὰ κληθοῦν καὶ ὅσοι δὲν πίστεψαν. Καὶ σ' αὐτὸ θὰ μᾶς βεβαιώσει ὁ προφητικὸς λόγος, ὁ ὁποῖος λέγει τὰ ἑξῆς· «Πολλὲς ἀκόμα ἡμέρες θὰ καθήσουν οἱ Ἰσραηλῖτες χωρὶς βασιλιὰ καὶ ἄρχοντα, χωρὶς νὰ γίνονται θυσίες, χωρὶς νὰ ὑπάρχει θυσιαστήριο, οὔτε ἱερατεῖο, οὔτε δῆλα[24]. Στὴ συνέχεια θὰ ἐπιστρέψουν οἱ υἱοὶ τοῦ Ἰσραὴλ καὶ θὰ ζητήσουν τὸν Κύριο καὶ Θεό τους καὶ τὸν Δαβὶδ τὸ βασιλέα τους, καὶ θὰ μείνουν κατάπληκτοι ἀπὸ τὴν ἐνέργεια αὐτὴ τοῦ Κυρίου καὶ γιὰ τ' ἀγαθὰ του κατὰ τὶς τελευταῖες ἡμέρες»[25]. Καὶ βέβαια καὶ ἀλλοῦ ὁ Θεὸς τῶν ὅλων λέγει· «Πῶς νὰ σοῦ φερθῶ, Ἐφραΐμ; Νὰ σὲ ὑπερασπισθῶ, Ἰσραήλ; Πῶς νὰ σὲ συμπεριφερθῶ; Νὰ σοῦ φερθῶ ὅπως τὴν Ἀδάμα καὶ τὴν Σεβωείμ; Ἄλλαξε ἡ καρδιά μου ἀπέναντί σου, συνταράχθη-

25. Ὡσηὲ 3, 4-5.

δία μου ἐν τῷ αὐτῷ. Συνεταράχθη ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐ μὴ ἐγκαταλείψω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ, διότι ἐγὼ Θεός εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος».

Ἀκούεις ὅπως οὐ κατὰ τὸ μέγεθος τῆς ὀργῆς ποιήσειν κατ' αὐτῶν ἐπηγγείλατο, προϋπισχνεῖτο δὲ μᾶλλον πλημμε

.... *ἠπείθησαν μὲν γὰρ καὶ κατὰ τὴν ἔρημον οἱ ἐξ Ἰσραὴλ πρὸς αὐτοῖς γεγονότες τοῖς τοῦ Ἰορδάνου νάμασι, καὶ κληρονομεῖν μέλλοντες τῆς ἐπαγγελίας τὴν γῆν. Ὅθεν ἔφη Θεός· «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου». Πέπτωκε γὰρ τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ, καὶ ἅπαντες δεδαπάνηνται, πλὴν Χαλὲβ υἱὸς Ἰεφονῆ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ. Συνεισέβησαν τῷ νέῳ λαῷ, καὶ διῆλθον τὸν Ἰορδάνην, καὶ κλῆρον ἐσχήκασι τὸν παρὰ Θεοῦ. Τύπος δ' ἂν εἶεν οὗτοι τοῦ καταλείμματος τοῦ Ἰσραήλ, σεσωσμένου μὲν δι' ὑπακοῆς πίστεως τῆς εἰς Χριστόν, διαβιβασθέντος δὲ μεθ' ἡμῶν τὸν ἅγιον Ἰορδάνην, καὶ κληρονομήσειν μέλλοντος τὴν τῶν οὐρανῶν βασιλείαν. Εὐχαριστεῖ τοιγαροῦν ὁ προφήτης, λέγων· «Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόρρα ἂν ὡμοιώθημεν». Λελατρευκότος γὰρ εἰδώλοις τοῦ Ἰσραήλ, ἀνελόντος δὲ καὶ προφήτας, ἀρνησαμένου τε Χριστόν, μᾶλλον δὲ καὶ ἀπεκτονότος τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν εἰσάπαν ὄλεθρον καταψηφίσασθαι παντὸς γένους ἐχρῆν τὸν τῶν ὅλων Θεόν. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς ὑπὲρ λόγον, τετήρηκε τὸ κατάλειμμα, καὶ οὐ γεγόνασιν ἐν ἴσῳ τοῖς Σοδόμοις, οἱ παγγενεί τε καὶ πανοικεὶ καὶ αὐταῖς ....*

..... *καὶ δυσαπόνιπτον ἔχειν τὴν ἁμαρτίαν, καὶ μάλα ὀρθῶς εἰρήσεται πρὸς ἡμῶν· «Ἡ τοῦ πλούτου τῆς χρηστό-*

---

26. Ὡσηὲ 11, 8.

27. Ὑπάρχει χάσμα· ἡ μετάφραση γίνεται ἀπὸ τὸ λατινικὸ κείμενο τοῦ MG.

κε ἡ μεταμέλειά μου, δὲν θὰ ἐνεργήσω σύμφωνα μὲ τὸν ἀναβρασμὸ τοῦ θυμοῦ μου, δὲν θὰ σὲ ἐγκαταλείψω, ὥστε νὰ ἐξαλειφθεῖ ὁ Ἐφραΐμ, γιατὶ ἐγὼ εἶμαι Θεός, καὶ ὄχι ἄνθρωπος ἅγιος γιὰ σένα»[26].

Ἀκοῦς πῶς ὑποσχέθηκε ὅτι δὲν θὰ ἐνεργήσει ἐναντίον τους ἀνάλογα μὲ τὸ μέγεθος τῆς ὀργῆς του, ἀλλὰ μᾶλλον ὑποσχόταν ἀπὸ πρὶν ἐπιείκεια στὰ πλημμελήματά τους καὶ ὅτι οἱ Ἰσραηλίτες θὰ μείνουν μὲ κάποια ὑπολείμματα[27]; Γιατὶ ἔδειξαν ἀνυπακοὴ οἱ Ἰσραηλῖτες καὶ στὴν ἔρημο ὅταν ἔφτασαν στὰ νερὰ τοῦ Ἰορδάνη καὶ ἐπρόκειτο νὰ κληρονομήσουν τὴ γῆ τῆς ἐπαγγελίας. Γι' αὐτὸ τοὺς εἶπε ὁ Θεός· «Ὥρκίσθηκα ἐπάνω στὸ θυμό μου, ὅτι δὲν θὰ μποῦν στὴ γῆ τῆς ἀνάπαυσης ποὺ τοὺς ὑποσχέθηκα»[28]. Καὶ πράγματι ἔπεσαν τὰ μέλη τους στὴν ἔρημο καὶ ἐξαφανίσθηκαν ὅλοι, ἐκτὸς ἀπὸ τὸν Χαλέβ, υἱὸ τοῦ Ἰεφονῆ, καὶ τὸν Ἰησοῦ, τὸν υἱὸ τοῦ Ναυῆ. Αὐτοὶ μπῆκαν μαζὶ μὲ τὸν νέο λαὸ καὶ πέρασαν τὸν Ἰορδάνη κι ἔλαβαν τὸν κλῆρο ποὺ τοὺς ἔδωσε ὁ Θεός. Αὐτοὶ θὰ μποροῦσαν ν' ἀποτελέσουν τύπο τοῦ ὑπολείμματος τοῦ Ἰσραήλ, ποὺ σώθηκε μὲ τὴν ὑπακοὴ τῆς πίστεως στὸν Χριστὸ καὶ πέρασε μαζί μας τὸν ἅγιο Ἰορδάνη, καὶ πρόκειται νὰ κληρονομήσει τὴ βασιλεία τῶν οὐρανῶν. Ἀναπέμπει λοιπὸν εὐχαριστία ὁ προφήτης λέγοντας· «Ἂν ὁ Κύριος τῶν δυνάμεων δὲν μᾶς ἄφηνε σπέρμα (ὑπόλειμμα), θὰ εἴχαμε γίνει ὅπως τὰ Σόδομα καὶ θὰ ἐξομοιωνόμασταν μὲ τὰ Γόμορρα». Ἐπειδὴ δηλαδὴ οἱ Ἰσραηλῖτες εἶχαν λατρεύσει τὰ εἴδωλα, εἶχαν σκοτώσει καὶ προφῆτες, καὶ εἶχαν ἀρνηθεῖ τὸν Χριστό, ἢ μᾶλλον θανάτωσαν τὸν ἀρχηγὸ τῆς ζωῆς, ἔπρεπε ὁ Θεὸς τῶν ὅλων νὰ τοὺς καταδικάσει σὲ ὁλοκληρωτικὸ ὄλεθρο ὅλου τοῦ γένους. Ἐπειδὴ ὅμως εἶναι ἀγαθὸς κατὰ ἀνείπωτο τρόπο, φύλαξε τὸ ὑπόλειμμα, καὶ δὲν εἶχαν τὴν ἴδια τύχη μὲ τὰ Σόδομα, αὐτοί ποὺ μὲ ὅλο τὸ ἔθνος καὶ ὅλες τὶς οἰκογένειές τους, καὶ αὐτὲς ἀκόμα τὶς πόλεις τους, καταστράφηκαν ἀπὸ τὴ φωτιά. Ἂν ὅμως αὐτοὶ θέλουν νὰ κρατοῦνται ἀκόμα ἀπὸ τὴν ἀκαθαρσία τῶν ἀνομιῶν τους καὶ νὰ παραμένουν μολυσμένοι

28. Ψαλμ. 94,11.

τητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ. Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε φαῦλον».

Στίχ. 10-14. «Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν μάταιον, θυμίαμα βδέλυγμά μοι ἐστίν, τὰς Νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου».

Καταπτοήσας ἀρκούντως ταῖς τῶν ἐσομένων ἀπειλαῖς καὶ προσαγορεύσας αὐτοῖς τὰ πάντη τε καὶ πάντως ἐσόμενα κατὰ καιρούς, εἰ μὴ ἔλοιντο φρονεῖν τε ὁμοῦ τὰ ἀμείνω καὶ δρᾶν, καὶ τοῖς θείοις νόμοις, μεθίστησι τὸν λόγον ἐπὶ καιροῦ καὶ εἰσηγεῖται τὸ χρήσιμον, ἵνα, τὰ βελτίω φρονεῖν ᾖρημένοι, τῆς ἐπηρτημένης αὐτοῖς ἀπαλλάττοιντο δίκης Ἐμπαροινήσαντες γὰρ ἐν Χριστῷ, διολώλασιν οἱ ἐξ Ἰσραήλ, πεσεῖν τε πρὸς τοῦτό φαμεν αὐτούς, διὰ τὴν τῶν καθηγεῖσθαι λαχόντων ἀνοσιότητα. Καίτοι γὰρ ἐπεγνωκότες, ὅτι αὐτός ἐστιν ὁ κληρονόμος, ἀπεκτόνασιν αὐτόν. Ἤθελον γὰρ ἴδιον ποιεῖσθαι κλῆρον τὸν ἀμπελῶνα αὐτοῦ. Ὅτι

29. Ρωμ. 2, 5-6. 30. Β' Κορ. 5, 10.

ἀπὸ τὴν ὀλέθρια ἁμαρτία, πολὺ σωστὰ θὰ λεχθεῖ ἀπὸ ἐμᾶς· «Ἢ μήπως καταφρονεῖς τὸν πλοῦτο τῆς ἀγαθότητάς του καὶ τῆς ἀνοχῆς του καὶ τῆς μακροθυμίας του, ἀγνοώντας ὅτι ἡ ἀγαθότητα τοῦ Θεοῦ σὲ ὁδηγεῖ στὴ μετάνοια; Σύμφωνα ὅμως μὲ τὴ σκληρότητά σου καὶ τὴν ἀμετανόητη καρδιά σου θησαυρίζεις γιὰ τὸν ἑαυτό σου ὀργὴ γιὰ τὴν ἡμέρα τῆς ὀργῆς καὶ τῆς ἀποκάλυψης καὶ τῆς δίκαιας κρίσης τοῦ Θεοῦ»[29]. «Γιατὶ ὅλοι ἐμεῖς πρέπει νὰ φανερωθοῦμε μπροστὰ στὸ Χριστό, γιὰ νὰ λάβει ὁ καθένας ἀνάλογα μὲ αὐτὸ ποὺ ἔπαρξε μὲ τὸ σῶμα του, εἴτε ἀγαθὸ εἴτε κακό»[30].

Στίχ. 10-14. «Ἀκοῦστε, ἄρχοντες τῶν Σοδόμων, τὸ λόγο τοῦ Κυρίου, προσέξετε τὸ νόμο τοῦ Θεοῦ, λαὲ τῆς Γομόρρας. Τί μοῦ χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας; λέγει ὁ Κύριος. Εἶμαι γεμᾶτος ἀπὸ ὁλοκαυτώματα κριαριῶν, καὶ πάχος ἀρνιῶν καὶ αἷμα ταύρων καὶ τράγων δὲν τὰ θέλω, οὔτε θέλω νὰ ἔρχεσθε ἐδῶ γιὰ νὰ σᾶς δῶ. Ποιὸς ζήτησε ἀπὸ τὰ χέρια σας αὐτὰ τὰ πράγματα; Δὲν θὰ σᾶς ἐπιτρέψω νὰ συνεχίσετε νὰ πατᾶτε τὴν αὐλή μου. Ἂν μοῦ φέρετε σιμιγδάλι μοῦ εἶναι ἄχρηστο, τὸ θυμίαμα μοῦ εἶναι βδελυρό· τὶς ἑορτὲς γιὰ τὶς πρωτομηνιὲς καὶ τὰ Σάββατα καὶ τὴν ἡμέρα τὴ μεγάλη δὲν τὰ ἀνέχομαι· τὴ νηστεία καὶ τὴν ἀργία καὶ τὶς ἑορτές σας ἡ ψυχή μου τὰ μισεῖ».

Ἀφοῦ τοὺς τρόμαξε ἀρκετὰ μὲ τὶς ἀπειλὲς ὅσων ἔμελλαν νὰ συμβοῦν κι ἀφοῦ ἀνήγγειλε ἐπιπλέον σ᾽ αὐτοὺς ὅσα ἐπρόκειτο νὰ συμβοῦν κατὰ καιροὺς μὲ κάθε τρόπο καὶ ὁπωσδήποτε, ἂν δὲν ἤθελαν νὰ φρονοῦν καὶ ταυτόχρονα νὰ πράττουν τὰ ὀρθὰ καὶ σύμφωνα μὲ τοὺς θείους νόμους, μεταφέρει τὸ λόγο προσωρινὰ καὶ προτείνει ὅσα ὠφελοῦν, ὥστε, προτιμώντας νὰ φρονοῦν τὰ καλύτερα, ν᾽ ἀπαλλαγοῦν ἀπὸ τὴν τιμωρία ποὺ κρέμεται ἀπὸ πά-νω τους. Ἐπειδὴ ὅμως συμπεριφέρθηκαν σὰν μεθυσμένοι ἐναντίον τοῦ Χριστοῦ οἱ Ἰσραηλῖτες καταστράφηκαν, καὶ λέμε ὅτι τὸ ἔπαθαν αὐτὸ ἐξαιτίας τῆς φαυλότητας τῶν ἀρχόντων τους. Γιατί, μολονότι γνώριζαν ὅτι αὐτὸς ἦταν ὁ κληρονόμος, τὸν θανάτωσαν. Καθόσον

δὲ ταῖς τῶν ἡγουμένων δυστροπίαις ἀκολουθῶν, τῆς εἰς Χριστὸν ἐλπίδος διημάρτηκεν ὁ ἀπόπληκτος Ἰσραήλ, πιστώσεται λέγων ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς προφητῶν· «Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν κληρονομίαν μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον. Ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας». Καὶ πάλιν· «Ὅτι ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν, διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομή, καὶ διεσκορπίσθησαν». Ἠφρονεύσαντο γὰρ οἱ ποιμένες ἀληθῶς, καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς ὀλέθρου γεγόνασιν ἀφορμή. Καίτοι πῶς οὐκ ἔδει μᾶλλον αὐτοὺς ὡς διὰ νόμου καὶ προφητῶν τὸ Χριστοῦ μυστήριον μάλα πεπαιδευμένους, ὁδὸν γενέσθαι τοῖς ἄλλοις ἐπὶ τὸ χρῆναι πιστεύειν αὐτῷ; Ἀλλ' ἥ φησιν ὁ Σωτήρ, «δόξαν παρὰ ἀνθρώπου ἐλάμβανον, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου τοῦ Θεοῦ οὐκ ἐζήτουν». Εἰ γὰρ ἐπίστευον Μωσῇ, ἐπίστευον ἂν αὐτῷ, περὶ γὰρ αὐτοῦ ἐκεῖνος ἔγραψεν

Γεγόνασι τοίνυν τυφλοὶ καὶ τυφλῶν ὁδηγοί. Ταύτῃ τοι καὶ διωλισθήκασι καὶ εἰς τοὺς τῆς ἀπωλείας πεπτώκασι βόθρους. Τί οὖν ὁ προφήτης ἀγαθαῖς αὐτοὺς νουθεσίαις μετασκευάζειν πειρᾶται; πρὸς τὸ δεῖν ἑλέσθαι τὰ ἀμείνω φρονεῖν καὶ τοῖς τοῦ Σωτῆρος πειρᾶσθαι λόγοις Ἀναμίσγει δὲ χρησίμως ταῖς εἰς τοῦτο νουθεσίαις τὴν ἐπίπληξιν, μονονουχὶ ποικίλως ἐσκευασμένῳ φαρμάκῳ, τὰ τῆς ἐν αὐτοῖς δυσβουλίας θεραπεύων τραύματα. Ταύτῃ τοι φησίν, «ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας». Ἀκούεις ὅπως δήμοις καὶ ἄρχουσι τὴν ἐξ ἀγάπης ὁμοῦ καὶ θεοφιλοῦς φρονήματος ἐπιφέρει ῥάβδον καὶ πλήττει πολὺ νοσοῦντας τὸ ἀπειθές; Πόλεσι δὲ ταῖς δυσσεβεστάταις παρεικάζει τὴν Ἱερουσαλήμ, ὡς πλεί-

31. Ἱερ. 12, 10.
32. Ἱερ. 10, 21.

ἤθελαν νὰ κάνουν δική τους κληρονομία τὸν ἀμπελώνα του. Ὅτι βέβαια οἱ ἀνόητοι Ἰσραηλῖτες ἐξέπεσαν ἀπὸ τὴν ἐλπίδα στὸν Χριστὸ ἀκολουθώντας τὴν κακότητα τῶν ἀρχόντων τους, τὸ βεβαιώνει ὁ Θεὸς τῶν ὅλων μὲ τὴ φωνὴ τῶν προφητῶν· «Πολλοὶ ποιμένες κατέστρεψαν τὸν ἀμπελώνα μου, γέμισαν ἀκαθαρσία τὴν κληρονομία μου, ἔκαναν τὴ μερίδα ποὺ ἐπιθυμοῦσα ἔρημο ἀδιάβατη, καὶ κατέληξε σὲ ἀφανισμὸ καὶ ὄλεθρο»[31]. Καὶ ἀλλοῦ πάλι· «Γιατὶ οἱ ποιμένες ἔδειξαν ἀφροσύνη καὶ δὲν ζήτησαν τὸν Κύριο· γι᾽ αὐτὸ δὲν ἔδειξε σύνεση ὅλο τὸ ποίμνιο καὶ σκόρπισε»[32]. Πραγματικὰ ἔδειξαν ἀφροσύνη οἱ ποιμένες κι ἔγιναν ἀφορμὴ ὀλέθρου γιὰ τοὺς λαοὺς ποὺ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τους. Ἂν καὶ βέβαια πῶς δὲν ἔπρεπε μᾶλλον αὐτοὶ ποὺ εἶχαν παιδευθεῖ ἐπαρκῶς ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες σχετικὰ μὲ τὸ μυστήριο τοῦ Χριστοῦ νὰ γίνουν ὁδὸς γιὰ τοὺς ἄλλους γιὰ τὸ ὅτι ἔπρεπε νὰ πιστέψουν σ᾽ αὐτόν; Ἀλλά, ὅπως λέγει ὁ Σωτήρας, «ἐπιδίωκαν νὰ ἀπολαμβάνουν τὴ δόξα ἐκ μέρους τῶν ἀνθρώπων, καὶ δὲν ζητοῦσαν νὰ λάβουν τὴ δόξα ἀπὸ τὸν μόνο Θεό»[33]. Γιατί, ἂν πίστευαν στὸν Μωυσῆ, θὰ πίστευαν σ᾽ αὐτόν, γιατὶ ἐκεῖνος ἔγραψε γι᾽ αὐτόν[34].

Ἔγιναν λοιπὸν τυφλοὶ καὶ ὁδηγοὶ τυφλῶν. Γι᾽ αὐτὸ καὶ ξεγλίστρησαν κι ἔπεσαν στὰ βάραθρα τῆς ἀπώλειας. Γιατί λοιπὸν προσπαθεῖ ὁ προφήτης ν᾽ ἀλλάξει τὴ γνώμη τους μὲ ὀρθὲς συμβουλές; Γιὰ νὰ τοὺς στρέψει στὸ ὅτι πρέπει νὰ πιστεύουν τὰ καλύτερα καὶ νὰ ἐφαρμόσουν τοὺς λόγους τοῦ Κυρίου. Ἀναμιγνύει ὅμως μὲ τρόπο χρήσιμο στὶς σχετικὲς νουθεσίες τὴν ἐπίπληξη, παρόμοια μὲ κάποιο φάρμακο παρασκευασμένο μὲ ἀνάμιξη ποικίλη, θεραπεύοντας τὰ τραύματα τῆς κακουβουλίας τους. Γι᾽ αὐτὸ λέγει· «Ἀκοῦστε τὸ λόγο τοῦ Κυρίου, ἄρχοντες τῶν Σοδόμων, καὶ προσέξτε τὸν νόμο τοῦ Θεοῦ, λαὲ τῆς Γομόρρας». Ἀκοῦς πῶς σὲ λαὸ καὶ ἄρχοντες καταφέρει τὴ ράβδο, κινημένος ἀπὸ ἀγάπη καὶ μαζὶ καὶ θεοφιλὲς φρόνημα, καὶ χτυπᾶ πολὺ αὐτοὺς ποὺ πάσχουν ἀπὸ ἀνυπακοή. Παρομοιάζει τὴν Ἱερουσαλὴμ μὲ τὶς πιὸ ἀσεβεῖς

33. Ἰω. 5, 44.

34. Ἰω. 5, 46.

στης μὲν ὅσης ἀνάμεστον ἁμαρτίας, καὶ ὡς οὐδένα παντελῶς ἔχουσαν ἐν ἑαυτῇ .... ἐβουλεύετο μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς τὰς τῶν Σοδομιτῶν κατεμπρῆσαι πόλεις, καὶ ἀνεκοινώσατο τὸ χρῆμα τῷ Ἀβραάμ· Ὁ δὲ πρὸς αὐτόν· «Μὴ ἀπολέσῃς δίκαιον μετ' ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής;». Ἐπηγγέλλετο δὲ Θεός, εἰ εὑρεθεῖεν ἐν Σοδόμοις δέκα δίκαιοι, τῆς ἐπ' αὐτοῖς καταλήξειν ὀργῆς. Ἀλλ' οὐκ ηὕρηνται. Τοιγάρτοι καὶ ἐκτετίκασι τὰς τοῖς ἑαυτῶν δυσσεβήμασιν ἰσομέτρους δίκας.

Τοιαύτη τις ἦν ἡ κυριοκτόνος Ἱερουσαλὴμ πολλὴν ἔχουσα τῶν δικαίων τὴν σπάνιν. Καὶ γοῦν ἐλιπάρει μὲν ὁ προφήτης Ἱερεμίας περὶ αὐτῆς Ἔφη δὲ Θεός· «Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε καὶ γνῶτε καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρῖμα καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος». Ὅτι τοίνυν ῥυπῶσά τε καὶ τοῖς ἐν φαυλότητος μολυσμοῖς πολυτρόπως κεκηλιδωμένη καὶ πολλὴν ἔχουσα τῶν ἁγίων τὴν σπάνιν, Σόδομά τε αὐτὴν καὶ Γομόρρα καλεῖ, λαοῖς τε καὶ ἡγουμένοις τῆς Σοδομιτῶν ἀκαθαρσίας ἐπιφέρει τὸν μῶμον. Τί δὲ δὴ καί φησιν; «Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας». Ἀνανήψατε, φησίν, βραχύ. Καὶ ταῖς τοῦ πανσόφου Μωσέως φωναῖς τῆς ἑαυτῶν διανοίας τὸν ὀφθαλμὸν ἐνιδόντες, τὸ Χριστοῦ νοεῖτε μυστήριον. Ἔφη γὰρ ὁ Μωσῆς· «Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς». Ἀκούσατε τοίνυν λόγον Κυρίου, προσέχετε τὸν τοῦ Θεοῦ νόμον· τοῦτ' ἔστι νοήσατε καὶ αὐτοὶ τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν δύναμιν. Τοῦτο προστέταχεν ὁ Μωσῆς· παιδαγωγεῖ γὰρ

35. Τὸ χάσμα συμπληρώνεται ἀπὸ τὸ λατινικὸ κείμενο.
36. Γέν. 18, 25.

πόλεις, ἐπειδὴ ἦταν γεμάτη ἀπὸ ἄφθονη ἁμαρτία καὶ δὲν εἶχε κανέναν μέσα της ποὺ νὰ εἶχε τὴν πιθανότητα νὰ διαφύγει τὴ δύναμη καὶ τὴν ἔφοδο τῶν ἀπειλῶν[35]. Ἤθελε λοιπὸν ὁ Θεὸς τῶν ὅλων νὰ κατακάψει τὶς πόλεις τῶν Σοδομιτῶν, πρᾶγμα ποὺ ἀνακοίνωσε στὸν Ἀβραὰμ καὶ ἐκεῖνος τοῦ εἶπε· «Μὴν ἀφανίσεις τὸ δίκαιο μαζὶ μὲ τὸν ἀσεβῆ, καὶ συμβεῖ ὁ δίκαιος νὰ ἔχει τὴν ἴδια τύχη μὲ τὸν ἀσεβῆ»[36]. Ὑποσχέθηκε βέβαια ὁ Θεός, ὅτι, ἂν βρεθοῦν στὰ Σόδομα δέκα δίκαιοι, θὰ σταματήσει τὴν ὀργή του ἐναντίον τους. Δὲν βρέθηκαν ὅμως. Γι' αὐτὸ λοιπὸν καὶ πλήρωσαν μὲ τὶς ἰσόμετρες πρὸς τὴν ἀσέβειά τους τιμωρίες.

Τέτοια λοιπὸν ἦταν ἡ Ἱερουσαλὴμ ποὺ σκότωσε τὸν Κύριο, ἐπειδὴ εἶχε μεγάλη ἔλλειψη ἀπὸ δίκαιους. Καὶ παρακαλοῦσε βέβαια ὁ προφήτης Ἱερεμίας γι' αὐτήν. Ἀλλὰ ὁ Θεὸς εἶπε· «Γυρίσετε στοὺς δρόμους τῆς Ἱερουσαλὴμ καὶ δεῖτε καὶ μάθετε καὶ ἀναζητῆστε στὶς πλατεῖες της· καὶ ἂν βρεῖτε κάποιον ποὺ πράττει τὸ δίκαιο καὶ ἐπιδιώκει τὴν πίστη, ἐγὼ θὰ τοὺς εὐσπλαγχνισθῶ, λέγει ὁ Κύριος»[37]. Ἐπειδὴ λοιπὸν εἶναι βρώμικη καὶ γεμάτη ἀπὸ κάθε εἶδος μολυσμῶν φαυλότητας κι ἔχει καὶ μεγάλη ἔλλειψη ἀπὸ ἁγίους, τὴν ὀνομάζει Σόδομα καὶ Γόμορρα, καὶ ἐπιρρίπτει τὴν κατηγορία γιὰ ἀκαθαρσία στὸ λαὸ καὶ στοὺς ἡγέτες τῶν Σοδόμων. Καὶ τί λέγει λοιπόν; Ἀκοῦστε τὸ λόγο τοῦ Κυρίου, σεῖς οἱ ἄρχοντες τῶν Σοδόμων, προσέχετε τὸν νόμο τοῦ Θεοῦ, σὺ ὁ λαὸς τῆς Γομόρρας». Συνέλθετε λίγο, λέγει, καὶ προσέχοντας τοὺς λόγους τοῦ πάνσοφου Μωυσῆ μὲ τὸ νοῦ σας, κατανοῆστε τὸ μυστήριο τοῦ Χριστοῦ. Γιατὶ ὁ Μωυσῆς εἶπε, «Ὁ Κύριος καὶ Θεός σας θ' ἀναδείξει προφήτη ἀπὸ τοὺς ἀδελφούς σας ὅμοιο μ' ἐμένα. Σ' αὐτὸ νὰ ὑπακούετε σὲ ὅλα ὅσα σᾶς πεῖ»[38]. Ἀκοῦστε λοιπὸν τὸν λόγο τοῦ Κυρίου, προσέχετε τὸν νόμο τοῦ Θεοῦ· δηλαδὴ κατανοῆστε κι ἐσεῖς τὸ νόημα τῶν εὐαγγελικῶν θεσπισμάτων. Αὐτὸ πρόσταξε ὁ Μωυσῆς· γιατὶ εἶναι παιδαγωγὸς στὸν Χριστὸ καὶ τὸ

37. Ἱερ. 5, 1.
38. Δευτ. 18, 15.

ἐπὶ Χριστὸν καὶ τῶν νομικῶν θεσπισμάτων τὸ πέρας εἰς τὸ ἐπ' αὐτῷ βλέπει μυστήριον.

Ἀλλ' οἴεσθε, φησίν, εὐαρεστεῖν τῷ Θεῷ, διὰ τοῦ πληροῦν ἐθέλειν τὰ ἐν τύποις καὶ σκιαῖς. Ἀκούσατε λέγοντος τοῦ καὶ αὐτὸν ὑμῖν τὸν πάλαι λαλήσαντος νόμον. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος. Πλήρης εἰμί». Εἰ μὲν γὰρ ὡς δεομένῳ προσάγετε, πεπλάνησθε τοῦ εἰκότος, σοφοῦ τε καὶ ἀληθοῦς διημαρτήκατε λογισμοῦ. Ἐνδεῖ γὰρ ὅλως οὐδὲν τῇ τὰ πάντα πληρούσῃ φύσει, ὅτι αὐτῆς τὰ πάντα, καὶ παρ' αὐτῆς τοῖς ἄλλοις «Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;», πρέποι ἂν λέγεσθαι τῇ φύσει κτίσει. Ἀπέχω γὰρ νῦν, φησίν, καὶ πεπλήρωμαι, καὶ οὐκ ἂν ἐλοίμην ἔτι τὰς παρ' αὐτῶν θυσίας. Ὀνήσει γὰρ ὅπως, εἰπέ μοι, τὸν τῶν ὅλων Θεὸν κριὸς ὁλοκαυτωμένος; Τί δὲ τὸ τῶν ἀρνῶν ἦσει στέαρ; Εἰ δὲ δὴ καὶ τράγων καὶ ταύρων αἷμα προσφέροιτο, πῶς ἡσθείη διὰ τοῦτο Θεός; Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; εἰ γὰρ καὶ λελάληκεν ὁ Μωσῆς περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν, ἀλλ' ἦν καὶ πάλαι τῆς τοιᾶσδε λατρείας ὁ τρόπος ἀβούλητος τῷ Θεῷ. Ἐπειδὴ δὲ διὰ τύπου καὶ σκιᾶς παιδαγωγεῖν ἔδει πρὸς ἀλήθειαν, μέχρι καιροῦ διορθώσεως τέθειται τὰ ἐν νόμῳ· οὐκοῦν ὅσον ἦκεν εἴς γε τὸ ἀληθὲς ἀρέσκειν τῷ Θεῷ, οὐδ' ἂν ὅλως ἐλάλησε περὶ θυσιῶν τῶν κατὰ νόμον. Ἐπειδὴ δὲ τῶν τὸ τηνικάδε παιδαγωγουμένων ἀσθενὴς ἦν ὁ νοῦς, κεχειραγώγηντο διὰ τύπου καὶ τῆς κατὰ τὸ γράμμα σκιᾶς εἰς ἀλήθειαν. Ἐνεστηκότος δὲ τοῦ καιροῦ, καθ' ὃν ἔδει τὸ λοιπὸν τὸ τῆς ἀληθείας ἐκφαίνεσθαι κάλλος, περιττὸς ὁ τύπος, ἀνόνητος ἡ σκιά. Ταύτῃ τοι φησίν, ὅτι «Πατεῖν τὴν αὐλῶνά μου οὐ προσθήσεσθε. Ἐὰν φέρησθε σεμίδαλιν, μάταιον, θυμίαμα, βδέλυγμά μοί ἐστιν».

Ἡμεῖς μὲν γὰρ οἱ πίστει τῇ εἰς Χριστὸν ἐκλελαμπρυσμέ-

39. Α' Κορ. 4, 7.

τέλος τῶν νομικῶν θεσπισμάτων ἀποβλέπει στὸ μυστήριο τοῦ Χριστοῦ.

Ἀλλὰ νομίζετε, λέγει, ὅτι εἶστε εὐάρεστοι στὸν Θεὸ μὲ τὸ νὰ θέλετε νὰ ἐκπληρώνετε τοὺς τύπους καὶ τὶς σκιές. Ἀκοῦστε τί λέγει ἐκεῖνος ποὺ ὑπαγόρευσε σὲ σᾶς καὶ αὐτὸν τὸν παλαιὸ νόμο. «Τί μοῦ χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας; λέγει ὁ Κύριος. Γιατὶ εἶμαι γεμᾶτος». Ἂν δηλαδὴ μοῦ τὰ προσφέρετε ἐπειδὴ τάχα τὰ χρειάζομαι, ἔχετε πλανηθεῖ στὸ σωστό, ἀστοχήσατε ὡς πρὸς τὸν σοφὸ καὶ ἀληθινὸ λογισμό. Γιατὶ δὲν χρειάζεται ἀπολύτως τίποτε ἡ φύση ποὺ γεμίζει τὰ πάντα, γιατὶ εἶναι δικά της τὰ πάντα κι ἀπὸ αὐτὴν δίνονται στοὺς ἄλλους· «Τί δηλαδὴ ἔχεις ποὺ δὲν τὸ ἔλαβες;»[39], ταιριάζει νὰ λέγει ὁ Θεὸς στὴν ἀπὸ τὴ φύση της κτίση. Γιατὶ ἀπέχω τώρα, λέγει, ἀπὸ αὐτὰ καὶ εἶμαι γεμᾶτος, καὶ δὲν θὰ ἤθελα πιὰ τὶς θυσίες τους. Γιατὶ πές μου, πῶς θὰ ὠφελήσει τὸν Θεὸ τῶν ὅλων τὸ ὁλοκαυτωμένο κριάρι; Καὶ τί θὰ τοῦ προσφέρει τὸ πάχος τῶν ἀρνιῶν; Κι ἂν τοῦ προσφερόταν αἷμα τράγων καὶ ταύρων, πῶς θὰ εὐχαριστιόταν μ' αὐτὸ ὁ Θεός; Ποιὸς δηλαδὴ τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας; Γιατί, ἂν καὶ σᾶς μίλησε ὁ Μωυσῆς γιὰ ὁλοκαυτώματα καὶ θυσίες, ἀλλὰ κι αὐτὸ τὸ εἶδος τῆς λατρείας ἦταν παλαιὰ ἀνεπιθύμητο γιὰ τὸν Θεό. Ἐπειδὴ ὅμως ἔπρεπε μὲ τύπους καὶ σκιὲς νὰ παιδαγωγεῖ πρὸς τὴν ἀλήθεια, θεσπίσθηκαν τὰ τοῦ νόμου νὰ ἰσχύουν μέχρι τὴν ὥρα τῆς διόρθωσής τους· γιατὶ ὡς πρὸς αὐτὸ ποὺ εἶναι ἀληθινὰ ἀρεστὸ ἀπὸ τὸν Θεό, οὔτε κἂν θὰ μιλοῦσε γιὰ τὶς θυσίες τὶς ὁριζόμενες ἀπὸ τὸ νόμο. Ἐπειδὴ ὅμως ἡ νοητικὴ ἱκανότητα ἐκείνων ποὺ παιδαγωγοῦνταν τότε ἦταν ἀδύναμη, χειραγωγοῦνταν πρὸς τὴν ἀλήθεια μὲ τὸν τύπο καὶ τὴ σκιώδη διατύπωση. Ὅταν ὅμως ἦρθε ὁ καιρός, κατὰ τὸν ὁποῖο ἔπρεπε νὰ λάμψει πιὰ τὸ κάλλος τῆς ἀλήθειας, ὁ τύπος ἦταν περιττός, ἡ σκιὰ ἀνώφελη. Γι' αὐτὸ λοιπὸν λέγει· «Δὲν θὰ ἐξακολουθήσετε νὰ πατᾶτε στὴν αὐλή μου. Ἂν φέρετε σεμιγδάλι, εἶναι ἀνώφελο, τὸ θυμίαμα πάλι μοῦ εἶναι σιχαμερό».

Ἐμεῖς βέβαια, ποὺ ἔχομε καταστεῖ λαμπροὶ ἀπὸ τὴν πίστη στὸ

νοι, τὰς πνευματικὰς θυσίας προσκομιοῦντες τῷ Θεῷ, τὰς ἁγίας αὐτοῦ πληροῦμεν αὐλάς, τοῦτ' ἔστιν ἐκκλησίας. Ἀπαράδεκτος δὲ παρὰ Χριστοῦ παντελῶς ἐν ἐκκλησίαις τῆς Ἰουδαϊκῆς λατρείας ὁ τρόπος. Εἰσδεχθεῖεν γὰρ ἂν ἥκιστά γε σεμίδαλιν ἐλαιόδευτον καὶ τὸ αἰσθητὸν θυμίαμα προσάγειν ἐθέλοντες. Μεμνήμεθα γὰρ Θεοῦ λέγοντος περὶ αὐτοῦ· «Βδέλυγμά μοί ἐστιν». Καὶ ἡμεῖς μὲν τὰς ἁγίας ἐπὶ Χριστῷ τελοῦμεν ἑορτάς. Ἰουδαῖοί γε μὴν τῶν ἐν τύποις οὐκ ἐξιστάμενοι, σαλπίζουσιν ἐν Νεομηνίας ἡμέρᾳ, ἀργὸν ἡγοῦνται τὸ Σάββατον, καὶ τὴν καλουμένην μεγάλην τιμῶσιν ἡμέραν. Ἔστι δὲ αὕτη τῆς ἑορτῆς τῆς καλουμένης σκηνοπηγίας ἡ τελευταία, κἂν εἰ νηστεύσειαν τῷ Θεῷ, τύπτουσι πυγμαῖς ταπεινόν. Οὐκοῦν ἀκουέτωσαν λέγοντος αὐτοῦ· «Τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου». Ταῦτα δέ φησι μεθιστὰς ἐκ τύπων ἐπὶ τὸ ἀληθὲς καὶ τοῖς διὰ Χριστοῦ θεσπίσμασιν ὑποφέρειν ἀναπείθων τὸν τῆς διανοίας αὐχένα, ἵνα πολιτεύοιντο μεθ' ἡμῶν εὐαγγελικῶς, ταῖς νοηταῖς εὐοσμίαις κατευφραίνοντες Θεόν, καὶ ὥσπερ τι θυμίαμα πνευματικὸν ἀνατιθέντες αὐτῷ τὸ ἐπιεικὲς εἰς τρόπους, τὴν ἀγάπην, τὴν φιλαλληλίαν, τὴν ὑπομονήν, τὴν ἐγκράτειαν, καὶ πρό γε τῶν ἄλλων τὴν πίστιν. Τοιαύταις θυσίαις εὐαρεστεῖται Θεός, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἡ δύναμις τοῖς τοιούτοις αὐχήμασιν τοὺς πιστεύοντας στεφανοῖ.

Στίχ. 15. «Ἐγενήθητέ μοι εἰς πλησμονήν, οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ ἀκούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις».

Τὰ εἰς πλησμονήν, ἤτοι κόρον, ἥκοντα τῶν πραγμάτων καταφρονεῖσθαι φιλεῖ, καὶ ὀλίγου παντελῶς ἀξιοῦται λόγου, μᾶλλον δὲ ἤδη καὶ διὰ μίσους ἔρχεται. Καὶ γοῦν ὁ σοφώτατος Σολομών, «Βραδέως εἴσαγε», φησί, «σὸν πόδα

Χριστό, προσκομίζοντας στὸν Θεὸ τὶς πνευματικὲς θυσίες, γεμίζομε τὶς ἅγιες αὐλές του, δηλαδὴ τὶς ἐκκλησίες. Εἶναι ὅμως τελείως ἀπαράδεκτος ἀπὸ τὸ Χριστὸ ὁ τρόπος τῆς Ἰουδαϊκῆς λατρείας μέσα στὶς ἐκκλησίες. Γιατὶ δὲν θὰ γίνουν καθόλου δεκτοὶ ἂν θέλουν νὰ προσφέρουν σιμιγδάλι ἀναμιγμένο μὲ λάδι καὶ τὸ αἰσθητὸ θυμίαμα. Γιατὶ θυμούμαστε τί λέγει γι᾽ αὐτὸ ὁ Θεός· «Μοῦ εἶναι βδελυρό». Καὶ ἐμεῖς βέβαια τελοῦμε τὶς ἅγιες ἑορτὲς τοῦ Χριστοῦ, ἐνῶ οἱ Ἰουδαῖοι, μὴ ἐγκαταλείποντας τοὺς τύπους, σαλπίζουν τὴν πρωτομηνιά, θεωροῦν ἀργία τὸ Σάββατο, καὶ τιμοῦν τὴ λεγόμενη μεγάλη ἡμέρα, ἡ ὁποία εἶναι ἡ τελευταία τῆς λεγόμενης σκηνοπηγίας· κι ἂν νηστέψουν στὸν Θεό, χτυποῦν μὲ τὴ γροθιὰ τὸν ἄσημο. Ἂς ἀκούσουν λοιπὸν νὰ τοὺς λέγει· «Ἡ ψυχή μου μισεῖ τὶς ἑορτές σας». Αὐτὰ βέβαια τὰ λέγει μεταφέροντάς τους ἀπὸ τοὺς τύπους στὴν ἀλήθεια καὶ μεταπείθοντάς τους νὰ σκύβουν τὸν αὐχένα τῆς διάνοιάς τους στὶς ἐντολὲς τοῦ Χριστοῦ γιὰ νὰ ζοῦν μαζί μας σύμφωνα μὲ τὸ εὐαγγέλιο, κατευφραίνοντας τὸν Θεὸ μὲ τὶς πνευματικὲς εὐοσμίες., καὶ προσφέροντας σ᾽ αὐτὸν σὰν κάποιο πνευματικὸ θυμίαμα τὴν πραότητα στοὺς τρόπους, τὴν ἀγάπη, τὴ φιλαλληλία, τὴν ὑπομονή, τὴν ἐγκράτεια, καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα τὴν πίστη. Μὲ τέτοιες θυσίες εὐχαριστεῖται ὁ Θεὸς καὶ τὸ βαθύτερο νόημα τῶν εὐγγελικῶν θεσπισμάτων μὲ τέτοιου εἴδους τιμὲς στεφανώνει αὐτοὺς ποὺ πιστεύουν.

Στίχ. 15. «Μὲ κάνατε νὰ σᾶς χορτάσω, δὲν θ᾽ ἀνεχθῶ ἄλλο πιὰ τὶς ἁμαρτίες σας. Ὅταν ἁπλώσετε τὰ χέρια σας πρὸς ἐμένα, θὰ στρέψω ἀλλοῦ τὸ πρόσωπό μου. Κι ἂν πληθύνετε τὴν παράκλησή σας, δὲν θὰ σᾶς ἀκούσω· γιατὶ τὰ χέρια σας εἶναι γεμᾶτα αἷμα.

Ὅσα πράγματα φτάνουν στὴν πλησμονή, δηλαδὴ στὸν χορτασμό, συνήθως περιφρονοῦνται καὶ πολὺ λίγη σημασία τοὺς δίνεται, καὶ μᾶλλον δέχονται ἀκόμα καὶ μίσος. Γι᾽ αὐτὸ ὁ σοφότατος Σολομὼν λέγει· «Κατὰ ἀραιὰ διαστήματα νὰ ἐπισκέπτεσαι τὸν

πρὸς τὸν φίλον, ἵνα μή, πλησθείς σου, μισήσῃ σε». Ἔφη τοίνυν Ἰουδαίοις ὁ τῶν ὅλων Θεός, Κατακεκόρεσμαι τῆς ἑώλου σκιᾶς, ἡγοῦμαι δὲ ἤδη φορτικούς, κἂν εἰσέρχησθε ὀφθῆναί μοι, παραιτοῦμαι δὲ καὶ μόνην ὑμῶν τὴν θέαν· οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Πάλαι μὲν γὰρ οἱ ἐξ Ἰσραὴλ ἀνοσίως ἀπονενευκότες ἐπὶ τὸ ἑλέσθαι δεῖν τὸν τῶν ὅλων Θεὸν παροτρύνειν ἐφ' ἑαυτούς, διὰ τοῦ λατρεύειν τῇ κτίσει, προσκυνεῖν δὲ καὶ αὐτοῖς τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, δέδονται τοῖς Βαβυλωνίοις καὶ ἀπεκομίσθησαν τῆς Ἰουδαίας αἰχμάλωτοι, καὶ κατῳκήκασιν ἐν τοῖς ὄρεσιν Περσῶν καὶ Μήδων, πικρὰν καὶ δύσοιστον ἀνατλάντες δουλείαν. Ἐπειδὴ δὲ αὐτοῖς ἑβδομηκοστὸν ἔτος τετέλεσται, κατηλέει πάλιν ὁ φιλοικτείρμων Θεός. Καὶ γοῦν, ὡς ἐν τῷ Ζαχαρίᾳ γέγραπται, τὰς ὑπὲρ αὐτῶν ἐποιεῖτο λιτὰς ὁ μακάριος ἄγγελος, λέγων· «Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες; τοῦτο ἑβδομηκοστὸν ἔτος». Καὶ πρός γε ταῦτα Θεός «Ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά».

Οὐκοῦν ἀνῄρηκε μὲν τότε τὰς ἁμαρτίας αὐτῶν, λελύτρωται γὰρ καὶ ἀνεκομίσθη πάλιν εἰς τὴν ἑαυτῶν. Μετὰ δέ γε τὸν τοῦ Σωτῆρος σταυρὸν οὐκέτι τὰς ἁμαρτίας αὐτοῖς ἀνήσειν ἐπαγγέλλεται, διά τοι τὸ μακροὺς ἐφ' ἑαυτοῖς διαγενέσθαι καιρούς, καθὼς μεμενήκασι τοῖς ἐξ ὀργῆς κινήμασιν ὑπενηνεγμένοι. Ὅτι μὲν γὰρ ἐν ἐσχάτοις ἐλεηθήσονται καιροῖς, τῇ εἰς Χριστὸν χάριτι μεθ' ἡμῶν δικαιούμενοι, διεκήρυξε τὸ γράμμα τὸ ἱερόν, ἐπειδὴ δέ, ὡς ἔφην, πολὺ τῶν πάλαι μακρότεροι γεγόνασιν ἐπ' αὐτοὺς οἱ τῆς ὀργῆς χρόνοι. Ταύτῃ τοί φησιν· «Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας

40. Παροιμ. 25, 17.

41. Ζαχ. 1, 12.

φίλο σου στὸ σπίτι του, γιὰ νὰ μὴ σὲ χορτάσει (σὲ βαρεθεῖ) καὶ σὲ μισήσει»[40]. Εἶπε λοιπὸν στοὺς Ἰουδαίους ὁ Θεὸς τῶν ὅλων, Ἔχω χορτάσει ἀπὸ τοὺς ἀνούσιους τύπους, καὶ σᾶς θεωρῶ πιὰ βαρετούς, κι ἂν ἔρχεσθε νὰ μὲ συναντήσετε, δὲν θέλω οὔτε νὰ σᾶς δῶ· δὲν θ' ἀνεχθῶ πιὰ τὶς ἁμαρτίες σας. Στὸ παρελθὸν βέβαια οἱ Ἰσραηλῖτες ποὺ ἀπέκλιναν ἀσεβῶς στὴν ἐπιλογὴ νὰ ἐξοργίσουν τὸν Θεὸ τῶν ὅλων μὲ τὸ νὰ λατρεύουν τὴν κτίση καὶ νὰ προσκυνοῦν τὰ ἔργα τῶν ἴδιων τῶν χεριῶν τους, παραδόθηκαν στοὺς Βαβυλωνίους καὶ ἀπομακρύνθηκαν ὡς αἰχμάλωτοι ἀπὸ τὴν Ἰουδαία καὶ κατοίκησαν στὰ βουνὰ τῶν Περσῶν καὶ τῶν Μήδων, ὑπομένοντας σκληρὴ καὶ ἀνυπόφορη δουλεία. Ὅταν ὅμως συμπλήρωσαν ἐκεῖ ἑβδομήντα χρόνια, τοὺς λυπήθηκε πάλι ὁ φιλεύσπλαχνος Θεός. Καὶ πράγματι, ὅπως ἔχει γραφεῖ στὸν Ζαχαρία, παρακάλεσε γι' αὐτοὺς ὁ μακάριος ἄγγελος, λέγοντας· «Κύριε, παντοκράτορα, μέχρι πότε δὲν θὰ δείχνεις τὸ ἔλεός σου στὴν Ἱερουσαλὴμ καὶ στὶς πόλεις τοῦ Ἰούδα, τὶς ὁποῖες παρέβλεψες; Ἤδη πέρασαν ἑβδομήντα χρόνια»[41]. Καὶ ὁ Θεὸς ἀπάντησε σ' αὐτά· «Ἀγάπησα μὲ ζηλοτυπία τὴν Ἱερουσαλὴμ καὶ μὲ μεγάλο ζῆλο τὴν Σιών, καὶ ἐξαιτίας αὐτῆς τῆς ἀγάπης μου θὰ ὀργισθῶ μὲ μεγάλο θυμὸ ἐναντίον τῶν ἐθνῶν, ποὺ ἀπὸ κοινοῦ ἐπιτέθηκαν ἐναντίον της. Γιατὶ ἡ ὀργή μου ἐναντίον της ἦταν μικρή, ἐνῶ ἡ ἐπίθεση αὐτῶν προκάλεσε μεγάλες συμφορές»[42].

Ἔσβησε λοιπὸν τότε τὶς ἁμαρτίες τους, καὶ ἀφοῦ ἐλευθερώθηκαν ἐπέστρεψαν στὴ χώρα τους. Μετὰ τὴ σταύρωση ὅμως τοῦ Σωτήρα τοὺς πληροφορεῖ ὅτι δὲν θὰ ἀνεχθεῖ πιὰ τὶς ἁμαρτίες τους, γιατὶ πέρασε μεγάλο διάστημα κατὰ τὸ ὁποῖο ὑπέμειναν τὶς ἐκδηλώσεις τῆς ὀργῆς. Ὅτι βέβαια κατὰ τοὺς ἔσχατους καιροὺς θὰ δεχθοῦν τὸ ἔλεός του καὶ θὰ δικαιωθοῦν μαζὶ μ' ἐμᾶς μὲ τὴ χάρη τοῦ Χριστοῦ, τὸ διακήρυξε ἡ ἁγία Γραφή· ἐπειδὴ ὅμως, ὅπως εἶπα, κράτησαν γι' αὐτοὺς τὰ χρόνια τῆς ὀργῆς του πολὺ περισσότερο ἀπὸ ὅ,τι στοὺς παλαιούς, γι' αὐτὸ λέγει· «Δὲν θὰ ἀνε-

42. Ζαχ. 1, 14-15.

ὑμῶν». Καὶ καθ' ἕτερον δέ, εἰ βούλει, τρόπον, τῇ τῶν προκειμένων ἐννοίᾳ προσβαλεῖς. Προσεκόμιζον θυσίας κατὰ τὸν πάλαι νόμον οἱ ἐξ Ἰσραήλ, τὰς ὑπέρ γε τῶν ἰδίων πλημμελημάτων. Ἔριφος δὲ καὶ ἀμνὸς ἐσφάζετο, καὶ συνεχώρει Θεός. Οὐκ ἀνικάνως ἔχοντος καὶ πάλαι τοῦ νόμου βοηθεῖν ἀρχαιοτέροις, ἐμορφοῦτο γὰρ ἐν αὐτῷ τὸ Χριστοῦ μυστήριον. Ἐπειδὴ δὲ ἐπέφανεν ὁ Χριστός, ἀπρακτεῖν ἔδει λοιπὸν τὴν ἐν τύπῳ κάθαρσιν, ὡς τῆς ἀληθείας ἤδη παρούσης. Ὅτι τοίνυν οὐκ ἀρκέσει πρὸς ἄφεσιν αὐτοῖς ἡ νόμου σκιὰ τὴν διὰ Χριστοῦ λύτρωσιν οὐ προσιεμένοις, διδάσκει, λέγων· «Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν». Οὔπω μὲν γὰρ παρούσης τῆς ἀληθείας, φησίν, συγκεχώρηκα τοῖς τύποις ὠφελεῖν δύνασθαι τοὺς ἐνόχους ἁμαρτίαις, αἰδοῖ τῇ πρὸς τὴν ἀλήθειαν καὶ τοῦτο ποιῶν, παρούσης δὲ ἤδη καὶ ἀνα-δεδειγμένης, ἀδρανὴς ὁ τύπος, ἀνόνητος ἡ σκιά. Καὶ ἀνήσω μὲν οὐκέτι τὰς ἁμαρτίας ὑμῶν, ἐπαιρόντων δὲ τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου, κἂν εἰ πλείστας ὅσας ποιεῖν ἕλοισθε τὰς λιτάς, οὐκ εἰσδέξομαι.

Ἆρ' οὖν ἀπέστη τοῦ εἶναι χρηστὸς ὁ τῶν ὅλων δημιουργός, ἤγουν ἐπελάθετο τοῦ οἰκτειρῆσαι Θεός; Οὐδαμῶς, φησίν, εἰμί γὰρ, εἰμὶ χρηστός τε καὶ ἀγαθὸς καὶ φιλοικτίρμων, μόνον δὲ οὐχὶ ἄκων ἀποστρέφω τοὺς ὀφθαλμούς. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Ἀκούεις ὅπως τὸ τῆς μιαιφονίας αὐτοῖς εἰσκεκόμικεν ἔγκλημα, σιωπήσας τὰ ἕτερα τῶν πταισμάτων; καίτοι πολλοῖς αἰτιάμασιν ἐνόχους ὄντας εὑρήσομεν. Ἦκουον γάρ, «Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι». Ἐπειδὴ δὲ ἀπεκτόνασι τοὺς προφήτας, καὶ αὐτῷ τὰς ἀνοσίους ἐπήγαγον χεῖρας τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, ταύτῃ τοι, καὶ μάλα εἰκότως, τὸ παγχάλεπον ἔγκλημα καὶ τὸ εἰς πᾶσαν κατάκρισιν ἀρκοῦν αὐτοῖς ἐπιφέρει, λέγων· «Αἱ χεῖ-

43. Ἡσ. 1, 4.

χθῶ ἄλλο πιὰ τὶς ἁμαρτίες σας». Ἂν θέλεις ὅμως μπορεῖς νὰ προσεγγίσεις καὶ μὲ ἄλλο τρόποτὸ νόημα αὐτῶν ποὺ ἐξετάζομε. Οἱ Ἰσραηλῖτες πρόσφεραν θυσίες σύμφωνα μὲ τὸν παλαιὸ νόμο γιὰ τὰ πλημμελήματά τους. Θυσιαζόταν ἕνα ἐρίφιο καὶ ἕνα ἀρνὶ καὶ ὁ Θεὸς τὰ συγχωροῦσε. Δὲν ἦταν δηλαδὴ ὁ νόμος ἀνίκανος καὶ παλαιὰ νὰ βοηθεῖ τοὺς παλαιότερους, γιατὶ διατυπωνόταν σ' αὐτὸν τὸ μυστήριο τοῦ Χριστοῦ. Ὅταν ὅμως φάνηκε ὁ Χριστός, ἔπρεπε πιὰ νὰ ἀδρανήσει ἡ κάθαρση μὲ τοὺς τύπους, ἐπειδὴ ἦταν ἤδη παροῦσα ἡ ἀλήθεια. Ὅτι λοιπὸν δὲν εἶναι ἀρκετὴ γιὰ τὴ συγχώρησή τους ἡ σκιὰ τοῦ νόμου, μὴ ἀποδεχόμενοι τὴ λύτρωση μέσω τοῦ Χριστοῦ, τὸ διδάσκει λέγοντας· «Δὲν θ' ἀνεχθῶ πιὰ τὶς ἁμαρτίες σας». Ὅταν, λέγει, δὲν ἦταν ἀκόμα παροῦσα ἡ ἀλήθεια παραχώρησα στοὺς τύπους τὴ δυνατότητα νὰ ὠφελοῦν τοὺς ἔνοχους ἁμαρτιῶν, καὶ τὸ ἔκανα αὐτὸ ἀπὸ σεβασμὸ στὴν ἀλήθεια, ἐπειδὴ ὅμως αὐτὴ εἶναι πιὰ παροῦσα καὶ φανερή, ὁ τύπος ἔγινε ἀδρανὴς καὶ ἀνώφελη ἡ σκιά. Καὶ δὲν θὰ ἀνεχθῶ βέβαια πιὰ τὶς ἁμαρτίες σας, καὶ ὅταν σηκώνετε τὰ χέρια πρὸς ἐμένα θὰ γυρίσω ἀλλοῦ τὰ μάτια μου, καὶ ὁσεσδήποτε προσευχὲς θελήσετε νὰ κάνετε, δὲν θὰ τὶς δεχθῶ.

Ἆρα λοιπὸν ἔπαυσε νὰ εἶναι ἀγαθὸς ὁ δημιουργὸς τῶν ὅλων, ἢ μήπως λησμόνησε ὁ Θεὸς νὰ δείξει ἔλεος; Καθόλου, λέγει. Εἶμαι καλὸς καὶ ἀγαθὸς καὶ φιλεύσπλαχνος καὶ κατὰ κάποιο τρόπο χωρὶς νὰ τὸ θέλω στρέφω ἀλλοῦ τὰ μάτια. Γιατὶ τὰ χέρια σας εἶναι γεμᾶτα αἷμα. Ἄκουσε πῶς ἔφερε στὴ μέση τὸ ἔγκλημα τοῦ βδελυροῦ φόνου, ἀποσιωπώντας τὰ ἄλλα ἁμαρτήματα; Μολονότι βέβαια θὰ τοὺς βροῦμε ἔνοχους γιὰ πολλὲς αἰτίες. Γιατὶ ἄκουγαν νὰ τοὺς λέγει· «Ἀλλοίμονο σας, ἔθνος ἁμαρτωλό, λαὲ γεμᾶτε ἀπὸ ἁμαρτίες, σπέρμα πονηρό, παιδιὰ τῆς ἀνομίας»[43]. Ἐπειδὴ ὅμως σκότωσαν τοὺς προφῆτες καὶ σήκωσαν ἀνόσια τὰ χέρια τους ἐναντίον τοῦ Σωτῆρα ὅλων μας Χριστοῦ, γι' αὐτό, καὶ πολὺ εὔλογα, προσθέτει τὴ βαρύτατη κατηγορία ποὺ εἶναι ἀρκετὴ γιὰ κάθε κατάκρισή τους, λέγοντας· «Τὰ χέρια σας εἶναι γεμᾶτα αἷμα». Καὶ

ρες ὑμῶν αἵματος πλήρεις». Ἀποστρέφει δὲ τὸ πρόσωπον ὁ Θεὸς καὶ Πατήρ, ὡς ὁρᾶν οὐκ ἀνεχόμενος τῷ αἵματι τοῦ Υἱοῦ πεφοινιγμένας ἔτι τῶν μιαιφόνων τὰς χεῖρας.

Στίχ. 16. «Λούσασθε, καθαροὶ γίνεσθε».

Πάλιν αὐτοὺς εἰς ἀνάμνησιν τῶν ἠσεβημένων αὐτοῖς ἐνεγκὼν ἀπογινῶσκειν οὐκ ἐᾷ, ἐπιφέρει δὲ χρησίμως τὴν ἐξ ἡμερότητος χάριν, καὶ οὐκ ἐξείργει τῆς δωρεᾶς τῆς προτεθείσης διὰ Χριστοῦ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. «Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν». Καὶ ὑπόδικος γέγονεν ὁ κόσμος τῷ Θεῷ, τῶν μὲν ἐθνῶν τῇ κτίσει λελατρευκότων, τῶν γε μὴν ἐξ Ἰσραὴλ τὸν διὰ Μωσέως αὐτοῖς δοθέντα παραβεβηκότων νόμον. Ἀλλ' ἐπέλαμψεν ὁ Χριστὸς τοῖς ἔθνεσι, καὶ κέκληται πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς, καὶ ὁ ποτὲ οὐ λαός, γεγόνασι λαός. Ἰουδαῖοί γε μὴν οἱ τάλανες πεπαροινήκασιν εἰς Χριστόν, καὶ ἀρχηγὸν ὄντα τῆς ζωῆς ἀπεκτόνασιν ἀνοσίως, εἰ καὶ ἀνεβίω πάλιν ὡς Θεός. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἀνευρύνει καὶ αὐτὸς τὴν τῆς σωτηρίας ὁδὸν καὶ ἀποκρούεσθαι κελεύει τὰ ἐγκλήματα, δικαιουμένου δωρεὰν καὶ οὐκ ἐξ ἔργων νόμου, μᾶλλον δὲ διὰ τῆς πίστεως καὶ τοῦ ἁγίου βαπτίσματος, ταύτῃ τοι φησί· «Λούσασθε, καθαροὶ γένεσθε». Τοῦτο καὶ ὁ πάλαι νόμος αὐτοῖς ὡς ἐν σκιαῖς διετύπου, καὶ προανεκήρυττε τὴν χάριν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος. Ἔφη γάρ που Θεὸς πρὸς τὸν ἱεροφάντην Μωσέα· «Λάβε τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραήλ, καὶ ἁγνιεῖς αὐτούς, καὶ οὕτω ποιήσεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν. Περιρρανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ, καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν Καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται». Εἶτα ποῖον ἐστὶ τὸ ὕδωρ τοῦ ἁγνισμοῦ, διδάξει λέγων ὁ σοφώτατος Παῦλος· «Εἰ γὰρ τὸ αἷμα τράγων καὶ μόσχων

44. Ψαλμ. 13,3.

ἀποστρέφει τὸ πρόσωπό του ὁ Θεὸς καὶ Πατέρας, ἐπειδὴ δὲν μπορεῖ νὰ βλέπει τὰ δολοφονικὰ χέρια τους κόκκινα ἀπὸ τὸ αἷμα τοῦ Υἱοῦ του.

Στίχ. 16. «Λουσθεῖτε, γίνετε καθαροί».

Πάλι, μολονότι τοὺς ἔκανε νὰ θυμηθοῦν τὶς ἀσέβειές τους, δὲν τοὺς ἀφήνει νὰ πέσουν σὲ ἀπόγνωση, ἀλλὰ προσθέτει μὲ τρόπο χρήσιμο τὴ χάρη τῆς ἀγαθότητάς του, καὶ δὲν ἀποκλείει ἀπὸ τὴ δωρεὰ ποὺ προαναφέρθηκε μέσω του Χριστοῦ σὲ ὅλους τοὺς ἀνθρώπους τῆς οἰκουμένης. Γιατὶ λέγει· «Ὅλοι ἐξέκλιναν ἀπὸ τὸ δρόμο τους καὶ συγχρόνως ἐξαχρειώθηκαν»[44], καὶ ὅλος ὁ κόσμος ἔγινε ὑπόδικος ἔναντι τοῦ Θεοῦ, ἀφοῦ τὰ ἔθνη λάτρευσαν τὴν κτίση, ἐνῶ οἱ Ἰσραηλίτες εἶχαν παραβεῖ τὸ νόμο ποὺ τοὺς δόθηκε μέσω τοῦ Μωυσῆ. Ἀλλὰ ἔλαμψε ὁ Χριστὸς στὰ ἔθνη καὶ κλήθηκαν στὸ θαυμαστό του φῶς, καὶ ἐκεῖνοι ποὺ κάποτε δὲν ἦταν λαός του, ἔγιναν λαός του. Οἱ δυστυχεῖς ὅμως Ἑβραῖοι φέρθηκαν μὲ παραφροσύνη ἐναντίον τοῦ Χριστοῦ, καὶ ἐνῶ εἶναι ἀρχηγὸς τῆς ζωῆς, τὸν σκότωσαν ἀνόσια, μολονότι ἐπανῆλθε πάλι στὴ ζωὴ ὡς Θεός. Ἐπειδὴ ὅμως εἶναι ἀγαθὸς καὶ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια, πλαταίνει κι αὐτὸς τὴν ὁδὸ τῆς σωτηρίας καὶ τοὺς προστάζει νὰ ἀποβάλουν τὰ ἐγκλήματά τους, καὶ νὰ δικαιωθοῦν δωρεάν, καὶ ὄχι ἀπὸ τὰ ἔργα τοῦ νόμου, ἢ μᾶλλον μέσω τῆς πίστεως καὶ τοῦ ἁγίου βαπτίσματος· γι᾽ αὐτὸ καὶ λέγει· «Λουσθεῖτε, γίνετε καθαροί». Αὐτὸ τὸ διατύπωνε σ᾽ αὐτοὺς μὲ τὶς σκιὲς καὶ ὁ παλαιὸς νόμος καὶ κήρυττε ἀπὸ πρὶν τὴ χάρη μέσω τοῦ ἁγίου βαπτίσματος. Πράγματι εἶπε κάπου ὁ Θεὸς στὸν ἱεροφάντη Μωυσῆ· «Πάρε τοὺς Λευῖτες ἀνάμεσα ἀπὸ τοὺς Ἰσραηλίτες καὶ ἐξάγνισέ τους, κάνοντας τὸν ἐξαγνισμό τους ὡς ἑξῆς· Θὰ τοὺς ραντίσεις μὲ τὸ νερὸ τοῦ ἐξαγνισμοῦ καὶ θὰ ξυρίσουν ὅλο τὸ σῶμα τους. Ἀκόμα θὰ πλύνουν τὰ ἐνδύματά τους καὶ θὰ γίνουν καθαροί»[45]. Ποιὸ ὅμως εἶναι τὸ νερὸ τοῦ ἐξαγνισμοῦ θὰ τὸ διδάξει ὁ

45. Ἀριθμ. 8, 7 ἑ.

καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα Χριστοῦ;».

Οὐκοῦν σαρκικὴν μὲν ὁ νόμος ἐποιεῖτο τὴν κάθαρσιν διὰ τοῦ ὕδατος τοῦ ἁγνισμοῦ, διασμήχει δὲ ὁ Χριστὸς διὰ τοῦ ἁγίου βαπτίσματος πάντα ῥύπον ἡμῶν ψυχικόν. Βεβαπτίσμεθα γὰρ ἐν Πνεύματι ἁγίῳ καὶ πυρί, πᾶν εἶδος τῆς ἐν ἡμῖν φαυλότητος μονονουχὶ συντήκοντος, καὶ ὡς ἄχρηστον δαπανῶντός τινα συρφετὸν ὕλην· ἔργον γὰρ τοῦτο πυρός. Τοῦτό τοι καὶ ὁ μακάριος Παῦλος διασαφεῖ, λέγων· «Πίστει χρηματισθεὶς Νῶε κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ», «εἰς ἣν ὀλίγαι, τοῦτ' ἔστιν ὀκτὼ ψυχαὶ διεσώθησαν δι' ὕδατος. Ὃ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν». Ὃ δὴ καὶ αὐτοῖς ἑλέσθαι δρᾶν τοῖς Ἰουδαίων δήμοις συμβουλεύει, λέγων· «Λούσασθε, καθαροὶ γένεσθε»· τοῦτ' ἔστιν, ἀπονίψασθε τὴν κηλῖδα, δικαιοῦντος ἡμᾶς ἐξ ἡμερότητος καὶ φιλανθρωπίας τοῦ παρ' ὑμῶν ὑβρισμένου. Εὑρίσκομεν δὲ καὶ τὸν θεσπέσιον Πέτρον ἐπιπλήττοντα μὲν αὐτοῖς ὡς ἀπεκτονόσι τὸν τῆς ζωῆς ἀρχηγόν, καὶ αἰτήσασιν ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς, τοῦτ' ἔστι τὸν Βαραβάν. Πλὴν διανίστανται πρὸς μετάγνωσιν· ἔφη γάρ· «Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος Ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι καὶ τοῖς τέκνοις ὑμῶν».

Στίχ. 16. «Ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν».

Ἀπόχρη μὲν πρὸς ἀπόνιψιν ἁμαρτίας τὸ σωτήριον καὶ

---

46. Ἑβρ. 9, 13-14.

47. Ἑβρ. 11, 7.

σοφώτατος Παῦλος λέγοντας· «Γιατί, ἂν τὸ αἷμα τῶν τράγων καὶ τῶν μοσχαριῶν καὶ ἡ τέφρα ἀπὸ δαμάλι ραντίζοντας τοὺς μολυσμένους τοὺς ἁγιάζει, πόσο μᾶλλον τοῦ αἷμα τοῦ Χριστοῦ;»[46].

Ὁ νόμος λοιπὸν ἔκανε σαρκικὴ τὴν κάθαρση μὲ τὸ νερὸ τοῦ ἐξαγνισμοῦ, ὁ Χριστὸς ὅμως καθαρίζει μὲ τὸ ἅγιο βάπτισμα κάθε ψυχικό μας ρύπο. Γιατὶ ἔχομε βαπτισθεῖ μὲ Πνεῦμα ἅγιο καὶ φωτιά, ποὺ κατὰ κάποιο τρόπο καταλειώνουν κάθε εἶδος φαυλότητας ποὺ ὑπάρχει μέσα μας καὶ ἀφανίζουν σὰν ἄχρηστο τὸ συρφετὸ τῆς ὕλης· γιατὶ αὐτὸ εἶναι τὸ ἔργο τῆς φωτιᾶς. Αὐτὸ βέβαια τὸ διασαφηνίζει καὶ ὁ μακάριος Παῦλος λέγοντας· «Μὲ πίστη ὁ Νῶε μετὰ ἀπὸ προειδοποίηση τοῦ Θεοῦ κατασκεύασε τὴν κιβωτὸ γιὰ τὴ σωτηρία τῆς οἰκογένειάς του»[47], «στὴν ὁποία κιβωτὸ λίγες, δηλαδὴ ὀκτὼ ψυχές, σώθηκαν ἀπὸ τὸ νερό, τοῦ ὁποίου ἀντίτυπο, δηλαδὴ τὸ βάπτισμα, σώζει καὶ ἐμᾶς, ποὺ εἶναι ὄχι ἀποβολὴ τοῦ ρύπου τῆς σάρκας, ἀλλ' ἀφιέρωση ἀγαθῆς συνείδησης στὸν Θεό»[48]. Αὐτὸ συμβουλεύει νὰ κάνει καὶ ὁ λαὸς τῶν Ἰουδαίων, λέγοντάς τους· «Λουσθεῖτε, γίνετε καθαροί»· δηλαδή, πλύνετε τὴν κηλίδα σας, καὶ σᾶς χαρίζει τὴ δικαίωση ἀπὸ πραότητα καὶ φιλανθρωπία ἐκεῖνος ποὺ ὑβρίσατε. Βρίσκομε ὅμως καὶ τὸν θεσπέσιο Πέτρο νὰ τοὺς κατηγορεῖ ἐπειδὴ σκότωσαν τὸν ἀρχηγὸ τῆς ζωῆς καὶ ζήτησαν χάρη γιὰ τὴ ζωὴ ἄνδρα φονιᾶ, δηλαδὴ τοῦ Βαραβᾶ[49]. Ἀλλ' ὅμως προτρέπονται νὰ μετανοήσουν· γιατὶ τοὺς εἶπε· «Καὶ τώρα, ἀδελφοί μου, γνωρίζω ὅτι τὸ κάνατε αὐτὸ ἀπὸ ἄγνοια, ὅπως καὶ οἱ ἄρχοντές σας. Μετανοῆστε λοιπὸν κι ἂς βαπτισθεῖ καθένας σας στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, καὶ θὰ λάβετε τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος. Γιατὶ γιὰ σᾶς εἶναι οἱ ὑποσχέσεις καὶ γιὰ τοὺς ἀπογόνους σας»[50].

Στίχ. 16. «Ἀφαιρέσατε ἀπὸ τὶς ψυχές σας τὶς πονηρίες ποὺ κάνετε μπροστὰ ἀπὸ τὰ μάτια μου, σταματῆστε τὶς πονηρίες σας».

Εἶναι ἀρκετὸ βέβαια γιὰ νὰ πλυθεῖ ἡ ἁμαρτία τὸ σωτήριο

48. Α΄ Πέτρ. 3, 21. 49. Πράξ. 3, 14-15 50. Πράξ. 3,17 καὶ 2, 38-39.

ἅγιον βάπτισμα, καὶ τὴν τῶν ἤδη προεπταισμένων διασμήχει κηλῖδα. Χρῆναι δέ φημι τοὺς ἅπαξ ἡγιασμένους, καθαρὰς καὶ ἀμώμους, ὡς ἂν οἷοί τε εἶεν, τὰς ἑαυτῶν φυλάττειν ψυχὰς καὶ διαμεμνῆσθαι μὲν τοῦ λέγοντος· «Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν». Καὶ πάλιν· «Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας». Πλεῖσται μὲν ὅσαι πρὸς τἀ αἰσχίω βλέπουσαι τὴν τοῦ ἀνθρώπου ψυχὴν κατασείουσιν ἡδοναί, καὶ πρό γε τῶν ἄλλων, ὁ ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἔμφυτός τε καὶ ἀγριαίνων νόμος· εἶτα πρὸς τούτοις διαλογισμοὶ πονηροὶ πρὸς πᾶν εἶδος φαυλότητος οὐκ ἀγεννῶς καταβροχιζόμενοι τὸν ἐν ἡμῖν ὄντα νοῦν. Δεῖ δὴ οὖν τῶν τοιούτων ἁπάντων ἀπέχεσθαι κακῶν τοὺς βεβαπτισμένους, καὶ τὰς πονηρίας ἀφελεῖν ἀπὸ τῆς ἰδίας ψυχῆς, καὶ οὐτι μόνον ἐν ὀφθαλμοῖς ἀνθρώπων, ἀλλὰ καὶ ἐν ὀφθαλμοῖς μάλιστα τοῦ πάντα εἰδότος τε καὶ ἐφορῶντος Θεοῦ. Ὑποπλάττονται μὲν γὰρ ἔσθ' ὅτε τὸ εἶναι χρηστοί, καὶ τὴν τῆς ἐπιεικείας δόκησιν παρακλέπτοντες, «ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες», κατὰ τὸ γεγραμμένον. Καὶ περὶ παντός, οἶμαι, τοιούτου τὸν τῶν ὅλων Θεόν, διὰ φωνῆς Ἱερεμίου προφήτου λέγειν· «Τῷ στόματι αὐτοῦ λαλεῖ εἰρηνικά, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν». Καὶ μὴν καὶ φωνῆς τοῦ Δαβίδ· «Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες». Ἀλλ' εἰ καὶ πᾶσαν ποιοῖντο σπουδὴν εἴς γε τὸ δεῖν δύνασθαι λαθεῖν, ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Οἶδεν γάρ, οἶδεν καρδίαν καὶ νεφρούς. Ὁ δὲ ἀληθῶς ἀγαθὸς τοιοῦτος ἔσται μετὰ Θεοῦ καὶ ἀνθρώπων, ὡς γὰρ ὁ Παῦλός φησιν· «Προνοούμενοι καλὰ ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων».

Μέγα τοίνυν τὸ ἐξᾶραι τὰς πονηρίας ἀπέναντι τῶν

51. Παροιμ. 4, 23. 52. Ἐκκλ. 10, 4. 53. Ματθ. 7, 13.

καὶ ἅγιο βάπτισμα καὶ ἐξαλείφει τὶς κηλίδες ἀπὸ τὰ προηγούμενα ἁμαρτήματα. Πρέπει ὅμως, λέγω, ὅσοι μιὰ φορὰ ἁγιάσθηκαν, νὰ φυλάγουν καθαρὲς καὶ ἄμωμες, ὅσο εἶναι δυνατόν, τὶς ψυχές τους καὶ νὰ θυμοῦνται ἐκεῖνον ποὺ λέγει «Φύλαγε τὴν καρδιά σου μὲ κάθε δυνατὴ προφύλαξη»[51]. Καὶ ἀλλοῦ· «Ἂν τὸ πνεῦμα (ἡ ὀργὴ) τοῦ ἄρχοντα σηκωθεῖ ἐναντίον σου, μὴν ἀφήσεις τὸν τόπο σου· γιατὶ ἡ πραότητα σβήνει ἁμαρτίες μεγάλες»[52]. Πάρα πολλὲς ἡδονὲς ποὺ ἀποβλέπουν στὰ αἰσχρὰ συγκλονίζουν τὴν ψυχὴ τοῦ ἀνθρώπου, καὶ πρὶν ἀπὸ ὅλες, ὁ ἔμφυτος νόμος ποὺ ὑπάρχει μέσα στὰ μέλη τοῦ σώματος καὶ ἐνεργεῖ σὰν ἄγριο θηρίο. Ἐκτὸς ἀπὸ αὐτὸ σκέψεις πονηρὲς πρὸς κάθε εἶδος φαυλότητας καταπνίγουν ἄγρια τὸ νοῦ ποὺ ἔχομε μέσα μας. Πρέπει λοιπὸν ὅσοι βαφτίσθηκαν νὰ ἀπέχουν ἀπὸ ὅλα αὐτὰ τὰ κακὰ καὶ ν' ἀφαιρέσουν τὶς πονηρίες ἀπὸ τὴν ψυχή τους. Καὶ ὄχι μόνο μπροστὰ στὰ μάτια τῶν ἀνθρώπων, ἀλλὰ προπάντων μπροστὰ στὰ μάτια τοῦ Θεοῦ ποὺ γνωριζει καὶ βλέπει τὰ πάντα. Γιατὶ προσποιοῦνται πολλὲς φορὲς ὅτι εἶναι καλοὶ καὶ ὑποκλέπτουν τὴν ἐντύπωση ὅτι εἶναι γεμᾶτοι καλοσύνη, «μέσα τους ὅμως,» σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «εἶναι λύκοι ἅρπαγες»[53]. Καὶ νομίζω γιὰ κάθε ἕναν τέτοιο ἄνθρωπο λέγει ὁ Θεὸς τῶν ὅλων μὲ τὴ φωνὴ τοῦ προφήτη Ἱερεμία· «Μὲ τὸ στόμα μιλάει εἰρηνικά, μέσα του ὅμως ἔχει τὴν ἔχθρα»[54]. Ἀλλὰ καὶ μὲ τὴ φωνὴ τοῦ Δαβίδ· «Τὰ λόγια τους εἶναι ἁπαλὰ σὰν τὸ λάδι, ἐνῶ οἱ ἴδιοι εἶναι φαρμακερὰ βέλη»[55]. Ἀλλὰ κι ἂν ἀκόμα καταβάλουν κάθε βροντίδα γιὰ νὰ μπορέσουν νὰ διαφύγουν, αὐτὸς ποὺ ἔχει κατοικία του τὸν οὐρανὸ θὰ τοὺς περιγελάσει καὶ ὁ Κύριος θὰ τοὺς χλευάσει. Γιατὶ γνωρίζει, ναὶ γνωρίζει τὴν καρδιὰ καὶ τὰ νεφρά. Ὁ ἀληθινὰ ἀγαθὸς ὅμως εἶναι τέτοιος μὲ τὸν Θεὸ καὶ τοὺς ἀνθρώπους, ὅπως λέγει ὁ Παῦλος «Νὰ φροντίζετε νὰ κάνετε τὰ καλὰ μπροστὰ στὸν Κύριο, ἀλλὰ καὶ στοὺς ἀνθρώπους»[56].

Εἶναι πολὺ σπουδαῖο λοιπὸν τὸ νὰ ἀφαιρέσει κανεὶς τὶς

54. Ἱερ. 9, 8. 55. Ψαλμ. 54, 22. 56. Ρωμ. 12, 17.

ὀφθαλμῶν τοῦ Θεοῦ. Καὶ τάχα που τοιοῦτός τις ἦν ὁ Ναθαναήλ, περὶ οὗ φησιν ὁ Χριστός· «Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν». Παύσασθε, φησίν, ἀπὸ τῶν πονηριῶν ὑμῶν, τοῦτ' ἔστι καταλείπετε τῆς συντρόφου τε ὑμῖν καὶ ἐντριβοῦς δυστροπίας, μεταστήσατε πρὸς τὰ ἀμείνω τὴν ἑαυτῶν δυστροπίαν. Εἰ δὲ δὴ ταῦτα λέγοι Χριστός, καὶ καταιτιῷτο τοὺς Ἰουδαίους, ἐννοήσεις ὅσα πεπράχασιν ἐμπαροινοῦντες αὐτῷ, καὶ παγίδα ἱστάντες καὶ διορύττοντες βόθρους, καὶ τό γε ἦκον εἰς αὐτούς, καὶ εἰς δύναμιν ἐπιχειρημάτων πᾶν εἶδος σκαιότητος ἀρτύοντες ἐπ' αὐτῷ. Ποτὲ μὲν γὰρ ἀπεστάλκασί τινας τῶν ἰδίων μαθητῶν, μετὰ τῶν καλουμένων Ἡρωδιανῶν, ἐρομένους τε καὶ λέγοντας· «Ἔξεστι δοῦναι φόρους Καίσαρι, ἢ οὔ;», ποτὲ δὲ πάλιν προσίεσαν λέγοντες, «Εἰ ἔξεστι τῷ Σαββάτῳ θεραπεῦσαι; ἵνα κατηγορήσωσιν αὐτοῦ». Ἀκουέτωσαν τοίνυν λέγοντος, «Ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν».

Στίχ. 17-18. «Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ».

Τῆς ἐν νόμῳ λατρείας τὸ ἀδρανὲς καθορίσας, διά τε τοῦ φάναι, «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; Πλήρης εἰμί». Καὶ τούτοις ἐπενεγκών, «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;». Ἐπὶ καιροῦ πάλιν τῆς εὐαγγελικῆς πολιτείας ἐξηγεῖται τὴν ἀστειότητα, καὶ τῆς ἀληθῶς ἁγίας ζωῆς καταδείκνυσι τὴν ὁδόν, οὐκ ἐν τύποις ἔτι καὶ σκιαῖς, ἀλλ' ἐν αὐτοῖς πράγμασι καὶ τοῖς κατ' ἀρετὴν

57. Ἰω. 1, 47.
58. Μάρκ. 12, 14.

ἁμαρτίες του μπροστὰ στὰ μάτια τοῦ Θεοῦ. Κάπως τέτοιος ἦταν ὁ Ναθαναήλ, γιὰ τὸν ὁποῖο ὁ Χριστὸς λέγει· «Νὰ ἕνας ἀληθινὸς Ἰσραηλίτης, ποὺ δὲν ἔχει μέσα του δόλο»[57]. Σταματῆστε, λέγει, τὶς πονηρίες σας, δηλαδὴ ἀφῆστε κατὰ μέρος τὴ δυστροπία ποὺ σᾶς συνοδεύει στὴ ζωὴ καὶ ἀσχολεῖστε μ᾽ αὐτήν, καὶ στρέψτε τὴ δυστροπία σας στὰ καλύτερα. Ἂν ὅμως αὐτὰ ἔλεγε ὁ Χριστὸς καὶ κατηγοροῦσε τοὺς Ἰουδαίους, θὰ καταλάβεις ὅσα διέπραξαν ἐνεργώντας σὰν παρανοϊκοὶ ἐναντίον του, καὶ παγίδες στήνοντας καὶ ἀνοίγοντας λάκους, καὶ ὅσο ἦταν στὸ χέρι τους καὶ μὲ ὅση δύναμη μποροῦσαν νὰ δράσουν, μηχανεύονταν ἐναντίον του κάθε εἶδος κακότητας. Πράγματι κάποτε ἔστειλαν κάποιους μαθητές τους μαζὶ μὲ τοὺς λεγόμενους Ἡρωδιανοὺς γιὰ νὰ τὸν ἐρωτήσουν, καὶ τοῦ εἶπαν· «Εἶναι σωστὸ νὰ πληρώνουμε φόρους στὸν Καίσαρα, ἢ ὄχι;»[58]. Ἄλλοτε πάλι τὸν πλησίασαν καὶ τοῦ εἶπαν, «Ἐπιτρέπετα νὰ θεραπεύει κανεὶς τὸ Σάββατο; μὲ σκοπὸ νὰ τὸν κατηγορήσουν»[59]. Ἂς ἀκούσουν λοιπὸν νὰ τοὺς λέγει· «Ἀφαιρέστε τὶς πονηρίες ἀπὸ τὶς ψυχές σας ποὺ κάνετε μπροστὰ στὰ μάτια μου. Σταματῆστε τὶς πονηρίες σας».

> Στίχ. 17-18. «Μάθετε νὰ κάνετε τὸ καλό, ἐπιδιῶξτε τὴ δίκαια ἀπόφαση, σῶστε τὸν ἀδηκούμενο, ὑπερασπισθεῖτε τὸ ὀρφανό, ἀποδῶστε στὴ χήρα τὸ δίκαιό της, καὶ ἐλᾶτε νὰ συζητήσομε, λέγει ὁ Κύριος. Κι ἂν οἱ ψυχὲς σας εἶναι ἐρυθρὲς ἀπὸ τὶς ἁμαρτίες, θὰ τὶς κάνω ἄσπρες σὰν τὸ χιόνι. Κι ἂν εἶναι σὰν κόκκινο χρῶμα, θὰ τὶς λευκάνω σὰν λευκὸ μαλλί».

Ἀφοῦ καθόρισε ὁ Κύριος τὴν ἀδράνεια τῆς νομικῆς λατρείας μὲ τὸ λόγο του, «Τί τὸ θέλω τὸ πλῆθος τῶν θυσιῶν σας; λέγει ὁ Κύριος. Εἶμαι γεμάτος», καὶ προσθέτοντας, «Ποιός τὰ ζήτησε αὐτὰ ἀπὸ σᾶς;», τὴν κατάλληλη πάλι στιγμὴ ἐξηγεῖ τὴν ἐξαίρετη ὡραιότητα τῆς εὐαγγελικῆς πολιτείας καὶ δείχνει τὸ δρόμο τῆς ἀληθινῆς ἁγίας ζωῆς· ὄχι πιὰ μὲ τύπους καὶ σκιές, ἀλλὰ μὲ τὰ ἴδια τὰ πράγματα καὶ μὲ αὐτὰ ποὺ ἔχουν τὴν εὐδοκήμησή τους

59. Ματθ. 12, 10.

νοουμένοις αὐχήμασιν ἔχουσι τὸ εὐδόκιμον. Τί γάρ φησι· «Μάθετε καλὸν ποιεῖν». Ἆρ' οὖν, εἰπέ μοι, φαίη τις ἄν, ἐξίστησι παντελῶς τῆς νομικῆς ἐντολῆς; οὐκ ἐᾷ τοῖς διὰ Μωσέως τεθεσπισμένοις ἐνατενίζειν ὅλως; Εἶτα πῶς ἔφασκε Χριστός, «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι»; Πῶς δὲ καὶ ὁ Παῦλος ἔφασκεν, «Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή»; Πρὸς δὴ τὰ τοιάδε πάλιν ἐροῦμεν, ὅτι καλὸς ὁ νόμος, εἰ δὴ νοοῖτο πνευματικῶς· οὐκ ἐξίστησιν ἡμᾶς ὁλοτρόπως τοῦ νόμου Χριστός, ἀναβιβάζει δὲ μᾶλλον ἐπὶ τὸ προῦχον καὶ ἄμεινον, ὑποβάθραν ὥσπερ τινὰ προκαταθεὶς ἐν ἡμῖν τὴν διὰ νόμου παιδαγωγίαν καὶ τῆς ἀληθοῦς λατρείας οἱονεὶ προγύμνασμα προαναδείξας τοῖς ἀρχαιοτέροις τὰ ὡς ἐν σκιαῖς καὶ τύποις.

Ἄλλως τε κἀκεῖνο τούτοις ἀναγκαίως ἔστ' εἰπεῖν· Ὁ μὲν νόμος ὁ διὰ Μωσέως φαυλότητός τε καὶ ἁμαρτίας ἀποσχέσθαι διδάσκει καὶ τῶν αἰσχιόνων ἐστὶ παραδεικτικός. Καὶ γοῦν ὁ Παῦλός φησι· «Τὴν δὲ ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ τοῦ νόμου». Τὸ δὲ κήρυγμα τὸ εὐαγγελικὸν ἀρετῆς ἁπάσης ἡμᾶς ἐπιμελητὰς ἀποφαίνει. Ταύτῃ τοι καὶ ὀνομάζοιτο ἂν εἰκότως, κυρίως τε καὶ ἀληθῶς αὐτόχρημα τὸ καλόν. Τὸ γάρ, «Οὐ φονεύσεις, οὐ μοιχεύσεις», ἐξιστᾷν ἦν ἁμαρτίας τοὺς παιδευομένους, οὔπω γε μὴν ὅ τί ποτέ ἐστι τὸ καλὸν τελείως ἐκφαίνοντος, τὸ δὲ δεῖν ὅλως μήτε ὀργίζεσθαι τῷ ἀδελφῷ, μήτε μὴν ἐπιθυμεῖν, τοῖς τῆς ἀρετῆς αὐχήμασιν ἐμβιβάζοντος. Ἐξαίρετον γὰρ τὸ καταθλεῖν ὀργῆς, ἀξιάγαστον δὲ πρὸς τοῦτο τὸ ἀνασειράζειν δύνασθαι τὰς εἰς τὸ φαῦλον ἐπιθυμίας καὶ μὴ ἐπιτρέπειν τὸν νοῦν, κἂν γοῦν εἰς ἀρχὰς ἰέναι τῆς ἐκτόπου καὶ βδελυρωτάτης ἐπιθυμίας. Οὐκοῦν τὸ καλὸν ἀληθῶς εἴη ἂν τὸ μάθημα τὸ εὐαγ-

60. Ματθ. 5, 17. 61. Ρωμ. 7, 12. 62. Ρωμ. 7, 7.

στὰ ἄξια πρὸς καύχηση κατορθώματα τῆς ἀρετῆς. Τί δηλαδὴ λέγει; «Μάθετε νὰ κάνετε τὸ καλό». Ἄρα λοιπόν, πές μου, θὰ μποροῦσε νὰ πεῖ κάποιος, ἀπομακρύνι ἐντελῶς ἀπὸ τὴν ἐντολὴ τοῦ νόμου; Δὲν ἐπιτρέπει νὰ ἀτενίζομε καθόλου σὲ ὅσα ἔχουν θεσπιστεῖ μέσω τοῦ Μωυσῆ; Καὶ πῶς τότε ἔλεγε ὁ Χριστός, «Μὴ νομίσετε ὅτι ἦρθα νὰ καταργήσω τὸ νόμο ἢ τοὺς προφῆτες· δὲν ἦρθα νὰ τοὺς καταργήσω, ἀλλὰ νὰ τους συμπληρώσω»[60]; Πῶς ἐπίσης ἔλεγε καὶ ὁ Παῦλος, «Ὥστε ὁ νόμος εἶναι ἅγιος καὶ ἡ ἐντολὴ εἶναι ἁγία καὶ δίκαια καὶ εὐεργετική»[61]; Σ' αὐτὰ θὰ ποῦμε πάλι, ὅτι ὁ νόμος εἶναι καλός, ἂν βέβαια τὸν ἐννοήσομε πνευματικά· δὲν μᾶς ἀπομακρύνει καθόλου ὁ Χριστὸς ἀπὸ τὸ νόμο, ἀλλὰ μᾶλλον μᾶς ὑψώνει πρὸς τὸ ἀνώτερο καὶ καλύτερο, βάζοντάς μας ἀπὸ πρὶν σὰν κάποιο ὑπόβαθρο τὴν παιδαγωγία τοῦ νόμου καὶ προαναδεικνύοντας στοὺς παλαιότερους τὶς σκιὲς καὶ τοὺς τύπους σὰν κάποιο προγύμνασμα τῆς ἀληθινῆς λατρείας.

Εἶναι ἀνάγκη ὅμως νὰ λεχθεῖ μαζὶ μ' αὐτὰ καὶ ἐκεῖνο· Ὁ νόμος βέβαια τοῦ Μωυσῆ διδάσκει ν' ἀπέχει κανεὶς ἀπὸ τὴ φαυλότητα καὶ τὴν ἁμαρτία, καὶ δείχνει ποιὰ εἶναι τὰ αἰσχρά. Καὶ πράγματι ὁ Παῦλος λέγει· «Τὴν ἁμαρτία τὴν γνώρισα ὄχι μὲ ἄλλο τρόπο, παρὰ μέσω τοῦ νόμου»[62]. Τὸ κήρυγμα πάλι τοῦ Εὐαγγελίου μᾶς παρουσιάζει νὰ φροντίζομε νὰ ἀσκοῦμε κάθε ἀρετή, καὶ γι' αὐτὸ καὶ θὰ μποροῦσε νὰ ὀνομασθεῖ εὔλογα κυριολεκτικὰ καὶ ἀληθινὰ τὸ πραγματικὰ καλό. Γιατὶ τό, «δὲν θὰ φονεύσεις, δὲν θὰ μοιχεύσεις», ἦταν ἐντολὴ ποὺ ἐμπόδιζε ἀπὸ τὴν ἁμαρτία ἐκείνους ποὺ παιδαγωγοῦνταν, δὲν φανέρωνε ὅμως ἀκόμα τελείως ποιὸ εἶναι τὸ καλό, ἐνῶ τὸ ὅτι δὲν πρέπει νὰ ὀργίζεται κανεὶς καθόλου ἐναντίον τοῦ ἀδελφοῦ του, οὔτε νὰ ἐπιθυμεῖ τὰ αἰσχρά, αὐτὸ ὁδηγεῖ στὰ διάφορα κατορθώματα τῆς ἀρετῆς. Εἶναι πολὺ σπουδαῖο πρᾶγμα νὰ νικᾶ κανεὶς τὴν ὀργή, εἶναι ὅμως ἀξιοθαύμαστο κοντὰ σ' αὐτὸ νὰ μπορεῖ νὰ συγκρατεῖ τὶς ἐπιθυμίες πρὸς τὰ φαῦλα καὶ νὰ μὴν ἐπιτρέπει τὸ νοῦ νὰ φτάνει οὔτε κἂν στὴν ἀρχὴ τῆς ἄτοπης καὶ βδελυρότατης ἐπιθυμίας. Τὸ ἀληθινὸ λοιπὸν καλὸ εἶναι ἡ εὐ-

γελικὸν καὶ τῆς ἐν Χριστῷ πολιτείας ἡ δύναμις. Ἐπιφωνητέον δὴ οὖν τοῖς τοῦ γράμματος φίλοις, «Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν», τοῦτ' ἔστι τὸ κρίνειν ὀρθῶς. Πρὸς γὰρ τοῖς ἄλλοις ἀτοπήμασιν ἅπασιν νενοσήκασι καὶ τοῦτο τῆς Ἰουδαίων συναγωγῆς οἱ καθηγεῖσθαι λαχόντες, τὸ μὴ ὀρθάς, φημί, ποιεῖσθαι τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις, ψηφοφορεῖν δὲ μᾶλλον ἀδίκως καὶ δώρων ἥττᾶσθαι καὶ χρημάτων ἡδονῆς, καὶ τοῖς ἀδικεῖν ἐθέλουσι καταπωλεῖν τῆς ἑαυτῶν ἀνοσίου βουλῆς τὴν σύνεσιν. Ὡς γάρ φησιν ὁ προφήτης, «Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον».

Ἀναγκαία τοιγαροῦν ἡ ἐντολὴ καὶ τοῖς εὐαγγελικῶς ἐθέλουσι ζῆν οὐκ ἀσυντελὴς εἰς δικαιοσύνην τὸ κρίνειν ὀρθῶς, οὐκ ἔν γε μόνον τοῖς ἔξω πράγμασιν, ἀλλὰ καὶ τοῖς εἰς νοῦν καὶ καρδίαν. Οἷον δή τι φημι· Θεοῦ τὴν φαυλότητα κατεψέγοντος, ἐπαινεῖ ταύτην ὁ Σατανᾶς. Καὶ ὁ μὲν τοῦ Σωτῆρος ἡμᾶς ἀναπείθει νόμος ἀξιέραστον ποιεῖσθαι τὸ ἀγαθόν, ἀνθέλκει πρὸς τὸ ἐναντίον ἐκεῖνος. Τότε δή, τότε κριτὴς ὥσπερ τίς ἐστι καὶ δικαστὴς ἐν ἡμῖν ὁ νοῦς, καὶ ἐπαινέσας μὲν τὸ ἀγαθόν, καὶ αὐτῷ τὸ χρῆναι κρατεῖν ἀπονέμων, ἐξεζήτησε κρίσιν. Ἐπιδούς γε μὴν φαυλότητι τὸ νικᾷν, ἔξω γέγονε τοῦ κρίνειν ὀρθῶς καὶ ἀκούσεται δικαίως· «Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν· οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν, οἱ τιθέντες τὸ σκότος εἰς φῶς καὶ τὸ φῶς εἰς σκότος».

Αὔχημα τοίνυν εὐαγγελικὸν τὸ κρίνειν ὀρθῶς καὶ ἐπαμύνειν ἀδικουμένοις. Τοῦτο γάρ, οἶμαι, ἐστὶ τό, «Ῥύσασθε ἀδικούμενον». Ἐπιτηδεύειν δὲ χρὴ πρὸς τούτῳ τὸ συμπαθὲς καὶ τὸ ἀπροσωπόληπτον. «Κρίνατε ὀρφανῷ», φησί, «καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει

63. Ἡσ. 5, 23.

αγγελική διδασκαλία καὶ τὸ βαθύτερο νόημα τῆς πολιτείας τοῦ Χριστοῦ. Ἂς ποῦμε λοιπὸν στοὺς φίλους τοῦ γράμματος· «Μάθετε νὰ κάνετε τὸ καλό, ἐπιδιώξατε κρίση», δηλαδὴ τὸ νὰ κρίνετε ὀρθά. Γιατὶ ἐκτὸς ἀπὸ ὅλα τὰ ἄλλα ἀτοπήματα, πάσχουν καὶ ἀπὸ αὐτὴ τὴν ἀσθένεια οἱ προϊστάμενοι τῆς Ἰουδαϊκῆς συναγωγῆς, ἐννοῶ τὸ νὰ μὴ βγάζουν ὀρθὲς ἀποφάσεις γιὰ κάθε πρᾶγμα, ἀλλὰ νὰ ἀποφασίζουν μᾶλλον ἄδικα, νὰ ὑποκύπτουν στὴν ἀδυναμία νὰ λαμβάνουν δῶρα, νὰ εἶναι φιλοχρήματοι, καὶ νὰ πωλοῦν τὴ συμβουλὴ τῆς ἀνόσιας σκέψης τους σὲ ἐκείνους ποὺ θέλουν νὰ ἀδικοῦν. Γιατί, ὅπως λέγει ὁ προφήτης, «οἱ προϊστάμενοί τους ἔκριναν παίρνοντας δῶρα»[63].

Εἶναι λοιπὸν ἀναγκαία ἡ ἐντολή, καὶ γιὰ ὅσους θέλουν νὰ ζοῦν σύμφωνα μὲ τὸ Εὐαγγέλιο δὲν εἶναι ἀνώφελη γιὰ δίκαια καὶ ὀρθὴ κρίση, ὄχι μόνο στὰ ἐξωτερικὰ πράγματα, ἀλλὰ καὶ γιὰ τὶς σκέψεις καὶ τὰ συναισθήματα. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· Ἐνῶ ὁ Θεὸς κατηγορεῖ τὴ φαυλότητα, ὁ Σατανᾶς τὴν ἐπαινεῖ. Καὶ ὁ νόμος βέβαια τοῦ Σωτήρα μᾶς πείθει νὰ θεωροῦμε ἀξιέραστο τὸ ἀγαθό, ἐκεῖνος ὅμως μᾶς σύρει στὸ ἀντίθετο. Τότε λοιπόν, τότε σὰν κάποιος δικαστὴς εἶναι μέσα μας ὁ νοῦς, κι ἀφοῦ ἐπαινέσει τὸ ἀγαθὸ καὶ ἀποδώσει σ' αὐτὸ τὴν ὑπεροχή, τότε ἔχει ἐπιδιώξει (βγάλει) δίκαια ἀπόφαση. Ἂν ὅμως ἀποδώσει στὴ φαυλότητα τὴ νίκη, βρέθηκε ἔξω ἀπὸ τὴν ὀρθὴ κρίση καὶ δίκαια θ' ἀκούσει· «Ἀλλοίμονο σ' αὐτοὺς ποὺ λένε τὸ κακὸ καλὸ καὶ τὸ καλὸ κακό· ἀλλοίμονο σ' αὐτοὺς ποὺ λένε τὸ πικρὸ γλυκὸ καὶ τὸ γλυκὸ πικρό, σ' αὐτοὺς ποὺ παρουσιάζουν τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος»[64].

Καύχημα λοιπὸν εὐαγγελικὸ εἶναι ἡ ὀρθὴ κρίση καὶ ἡ ὑπεράσπιση αὐτῶν ποὺ ἀδικοῦνται. Γιατὶ αὐτό, νομίζω, σημαίνει τό, «Σώσατε τὸν ἀδικούμενο». Ἐκτὸς ἀπὸ αὐτὸ πρέπει νὰ ἐπιδεικνύομε συμπάθεια καὶ ἀπροσωπολημψία· γιατὶ λέγει· «Κρίνατε δίκαια τὸ ὀρφανὸ καὶ ἀποδῶστε τὸ δίκαιο στὴ χήρα, καὶ ἐλᾶτε νὰ

64. Ἡσ. 5,20.

Κύριος»· οὐχ ὡς κρινόμενοι τῷ Δεσπότῃ. «Δικαιωθήσεται» γάρ, φησί, «πάντως ἐν τοῖς λόγοις αὐτοῦ καὶ νικήσει κρινόμενος». Ἔσται γὰρ οὐδεὶς ἀπὸ ῥύπου καθαρός, ἀλλ' οὐδὲ καυχήσεταί τις ἁγνὴν ἔχειν τὴν καρδίαν, διελεγχόμενοι δὲ μᾶλλον καὶ οἱονεὶ καθ' ἑαυτοὺς δοκιμάζοντες, εἰ μὴ τῆς θείας φιλοτιμίας μέγεθος πολύ τέ ἐστι καὶ ἀξιόληπτον. Ὡς γε ὁ σοφὸς ἡμῖν γράφει Παῦλος· «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Ὑπισχνεῖται τοιγαροῦν τοῖς ἐκ νομικῆς ἀγωγῆς μεθορμιζομένοις τρόπον τινὰ διὰ τῆς πίστεως εἰς ἀστειότητα βίου τοῦ κατὰ Χριστόν, ἄφεσιν τῶν ἤδη προεπταισμένων. Αὕτη γὰρ ἡμῶν ἡ τῆς ἐλπίδος εἰσβολὴ καὶ τῆς θείας εἰς ἡμᾶς ἡμερότητος ἀπαρχή, θύρα τε ὥσπερ καὶ ὁδός. Ὅτι δὲ καὶ τοῖς εἰσάγαν μεμολυσμένοις, καίτοι ἐπ' ἔλαττον τοῦτο νενοσηκόσιν, ἀρκέσει πρὸς ἀποκάθαρσιν ἡ διὰ πίστεως χάρις, ἀναπείθει λέγων· «Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ». Δυσέκπλυτον γὰρ οὐδὲν Θεοῦ διασμήχοντος. Ὡς γὰρ ὁ Παῦλός φησιν, «Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις». Καὶ πάλιν· «Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;».

Στίχ. 19, 20. «Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα».

Προσπεφώνηκέ που τοῖς ἐξ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ πανσόφου Μωσέως· «Ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου». Τέθει-

---

65. Ψαλμ. 50, 6.
66. Ρωμ. 8, 18.
67. Ρωμ. 5, 20.
68. Ρωμ. 8, 33-34.

συζητήσομε, λέγει ὁ Κύριος»· ὄχι σὰν ἀντίδικοι τοῦ Κυρίου. Γιατὶ ὁπωσδήποτε, λέγει, «θὰ δικαιωθεῖ στοὺς λόγους του καὶ θὰ νικήσει ἐρχόμενος σὲ κρίση»[65]. Κανένας βέβαια δὲν θὰ βρεθεῖ καθαρὸς ἀπὸ ρύπο, ἀλλ' οὔτε καὶ θὰ καυχηθεῖ κανεὶς ὅτι ἔχει ἁγνὴ καρδιά, ἀλλὰ μᾶλλον θὰ ὑποβάλλονται σὲ ἔλεγχο καὶ κατὰ κάποιο τρόπο θὰ καταδικάζουν τὸν ἑαυτό τους, ἂν δὲν εἶναι πολὺ μεγάλη ἡ θεία γενναιοδωρία καὶ ἄξια νὰ τὴ λάβομε. Γιατί, ὅπως μᾶς γράφει ὁ σοφὸς Παῦλος· «Δὲν εἶναι ἄξια τὰ παθήματα τοῦ καιροῦ αὐτοῦ νὰ συγκριθοῦν μὲ τὴ δόξα ποὺ πρόκειται νὰ μᾶς ἀποκαλυφθεῖ»[66]. Ὑπόσχεται δηλαδὴ σ' αὐτοὺς ποὺ μετακινοῦνται κατὰ κάποιο τρόπο ἀπὸ τὴ ζωὴ σύμφωνα μὲ τὸ νόμο μέσω τῆς πίστεως στὴν ἀξιοθαύμαστη κατὰ Χριστὸν ζωή, ἄφεση τῶν παραπτωμάτων ποὺ ἔχουν ἤδη διαπράξει. Γιατὶ αὐτὴ εἶναι ἡ εἴσοδος τῆς ἐλπίδας καὶ ἡ ἀρχὴ τῆς θείας ἀγαθότητας πρὸς ἐμᾶς, σὰν θύρα καὶ ὁδός. Ὅτι ὅμως γιὰ τοὺς ὑπερβολικὰ μολυσμένους, μολονότι σ' αὐτὸ νοσοῦν λιγότερο, θὰ ἀρκέσει γιὰ τὴν ἀποκάθαρσή τους ἡ χάρη μέσω τῆς πίστεως, μᾶς πείθει λέγοντας· «Ἂν εἶναι οἱ ἁμαρτίες σας σὰν ἐρυθρὸ φόρεμα θὰ τὶς λευκάνω σὰν τὸ χιόνι, κι ἂν εἶναι σὰν κόκκινο ἔνδυμα θὰ τὶς λευκάνω σὰν τὸ λευκὸ μαλλί». Γιατὶ ὅταν καθαρίζει ὁ Θεὸς τίποτε δὲν ὑπάρχει ποὺ νὰ εἶναι δύσκολο νὰ πλυθεῖ. Γιατί, ὅπως λέγει ὁ Παῦλος, «Ὅπου πλεόνασε ἡ ἁμαρτία, ἐκεῖ ὑπερεπερίσσευσε ἡ χάρη»[67]. Καὶ πάλι· «Ποιὸς θὰ κατηγορήσει τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ; Ὁ Θεὸς τοὺς δικαιώνει, ποιὸς θὰ τοὺς καταδικάσει;»[68].

Στίχ. 19-20. «Κι ἂν θέλετε καὶ μὲ ἀκούσετε, θὰ ἔχετε καὶ θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς. Ἂν ὅμως δὲν θέλετε καὶ δὲν μὲ ἀκούσετε, θὰ κατασφαγεῖτε ἀπὸ μάχαιρα. Αὐτὰ τὰ διακήρυξε τὸ στόμα τοῦ Κυρίου».

Διακήρυξε κάπου στοὺς Ἰσραηλίτες ὁ Θεὸς τῶν ὅλων μέσω τοῦ πάνσοφου Μωυσῆ καὶ εἶπε· «Νά, ἔβαλα μπροστά σου τὴν ὁδὸ τῆς ζωῆς καὶ τὴν ὁδὸ τοῦ θανάτου»[69]. Ἔχει τοποθετηθεῖ

69. Δευτ. 30, 13.

ται γὰρ ἐν ἡμῖν ἡ ἐπ' ἄμφω τρίβος, καὶ τῶν ἑκάστου διανευμάτων, ἤγουν θεληματων, καρπὸς ἂν γένοιτο τὸ διαβιῶναι λαμπρῶς καὶ ἐννόμως, ἤγουν ἑτεροίως κατεψεγμένως. Ἀλλ' οὐκ ἂν ἐνδοιάσειέ τις, ὡς οἱ μὲν τὸν ἀγαθὸν καὶ ἀπόλεκτον καὶ Θεῷ φιλαίτατον βιοῦντες βίον, πάντῃ τε καὶ πάντως καταίρουσιν εἰς ζωήν. Οἵ γε μὴν ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς ἡττώμενοι, τὸ τέλος ἔχουσιν εἰς ὄλεθρον καὶ ἀπώλειαν. Εὐπειθείας οὖν ἄρα καρπὸς τὸ φαγεῖν ἔσται τὰ ἀγαθὰ τῆς γῆς τῆς τοῖς ἁγίοις ηὐτρεπισμένης, ἧς καὶ αὐτὸς διαμέμνηται λέγων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν», σκαιότητος δὲ καὶ βίου φιλαμαρτήμονος ἡ ἀνόνητος ὑστεροβουλία, καὶ τὰ ἐκ θείας ὀργῆς, μάχαιρά τε καὶ ὄλεθρος, ὡς ἔφην, καὶ τί γὰρ οὐχὶ τοιούτων κακῶν; Ἀξιόπιστον δὲ τὸν ἑαυτοῦ λόγον ὁ προφήτης ἀποφαίνει, προσεπάγων εὐθύς, ὅτι «Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα». Ἐπειδὴ δὲ ἀμήχανον τὸ ψεύσασθαι τὸν Θεὸν (μένει γὰρ ἀεὶ τοῦθ' ὅπερ ἐστίν, ἀλήθεια δὲ δηλονότι), πῶς οὐκ ἀνάγκη νοεῖν ὅτι πάντῃ τε καὶ πάντως εἰς πέρας ἐκβήσεται τὰ προηγγελμένα;

Πλὴν ἐκεῖνο περιαθρεῖν ἀναγκαῖον, ὡς ὀνίνησι πλουσίως ὁ προφητικὸς λόγος τάς τε τῶν ἀκεραιοτέρων ἔτι ψυχάς, καὶ μὴν καὶ τὰς τῶν ἤδη γνησίων καὶ ἱδρυμένων ἐν πίστει. Ἐπειδὴ γὰρ τέθεικεν ὁ τῶν ὅλων Θεὸς ἐν ταῖς τῶν παιδαγωγουμένων ῥοπαῖς τὸ ἑλέσθαι μὲν τὸ ἀγαθόν, ἀποφοιτᾷν δὲ τῶν φαύλων, πεπληροφόρηκεν ὅτι τὰς τῶν πρακτέων ἢ μὴ δέδωκεν ἑκάστῳ τῶν ἐπὶ γῆς ἡνίας, καὶ ἐφ' ὅπερ ἂν ἕλοιτό τις, ἐλάσει μετ' ἐξουσίας. Ἐπειδὴ δὲ τοῦτό ἐστιν ἀληθές, εἰκαῖον ἤδη καὶ ψυχρὸν καὶ ῥαψῴδημα τὸ διατείνεσθαί τε καὶ λέγειν, ὅτι φυσικὸν ἐν ἀνθρώπῳ τὸ κακόν· ἤγουν ὅτι τύχη τε καὶ εἱμαρμένη καὶ γένεσις πηδαλιουχοῦσι τὰ ἀνθρώ-

70. Ματθ. 5, 5.

μπροστὰ μας ἡ ὁδὸς καὶ πρὸς τὰ δύο, καὶ καρπὸς τῶν διανευμάτων, δηλαδὴ τῶν θελημάτων, τοῦ καθενὸς θὰ μποροῦσε νὰ εἶναι ἢ ἡ λαμπρὴ καὶ ἔννομη ζωή, ἢ ἀλλιῶς ἡ ἀξιοκατάκριτη ζωή. Ἀλλὰ δὲν θὰ μποροῦσε νὰ ἀμφβάλει κανείς, ὅτι ὅσοι ζοῦν τὸν ἀγαθὸ καὶ ξεχωριστὸ καὶ ἀγαπητὸ στὸν Θεὸ βίο, αὐτοὶ ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο ἀνυψώνονται πρὸς τὴ ζωή, ἐνῶ αὐτοὶ ποὺ ὑποκύπτουν στὶς φαῦλες ἡδονές, ἔχουν τέλος ποὺ ὁδηγεῖ στὸν ὄλεθρο καὶ τὴν ἀπώλεια. Ἄρα λοιπὸν εἶναι καρπὸς ὑπακοῆς τὸ νὰ μπορέσομε νὰ φάμε τὰ ἀγαθὰ τῆς γῆς ποὺ ἔχει προετοιμασθεῖ γιὰ τοὺς ἁγίους, τὴν ὁποία μνημονεύει καὶ ὁ ἴδιος ὁ Κύριός μας Ἰησοῦς Χριστός, λέγοντας· «Εἶναι μακάριοι οἱ πραεῖς, γιατὶ αὐτοὶ θὰ κληρονομήσουν τὴ γῆ»[70]. Ἀντίθετα καρπὸς βαναυσότητας καὶ ζωῆς δεμένης μὲ τὴν ἁμαρτία εἶναι ἡ ἀνώφελη μεταμέλεια καὶ οἱ ἐκδηλώσεις τῆς θείας ὀργῆς, ἡ μάχαιρα καὶ ὁ ὄλεθρος, ὅπως εἶπα, ἀλλὰ καὶ ποιὸ εἶναι ἐκεῖνο ποὺ ἀπουσιάζει ἀπὸ τὰ παρόμοια κακά; Καὶ ὁ προφήτης παρουσιάζει ἀξιόπιστο τὸ λόγο του προσθέτοντας ἀμέσως· «Τὸ στόμα τοῦ Κυρίου τὰ εἶπε αὐτά». Ἐπειδὴ ὅμως ὁ Θεὸς τῶν ὅλων εἶναι ἀδύνατο νὰ ψευσθεῖ (γιατὶ μένει πάντοτε αὐτὸ ποὺ εἶναι, δηλαδὴ ἀλήθεια), πῶς δὲν εἶναι ἀνάγκη νὰ σκεφθοῦμε, ὅτι ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο οἱ προαγγελίες θὰ πραγματοποιηθοῦν;

Εἶναι ὅμως ἀνάγκη νὰ ἐξετάσομε ἐκεῖνο, ὅτι εἶναι πλούσια ἡ ὠφέλεια τοῦ προφητικοῦ λόγου ἀκόμη καὶ γιὰ τὶς τελειότερες ψυχές, ἀλλὰ καὶ γιὰ τὶς ψυχὲς ἐκείνων ποὺ εἶναι γνήσιοι ἤδη καὶ ἑδραιωμένοι στὴν πίστη. Ἐπειδὴ δηλαδὴ ὁ Θεὸς τῶν ὅλων ἔβαλε μέσα στὶς ψυχὲς ὅσων παιδαγωγοῦνται τὴν ἐπιλογὴ τοῦ ἀγαθοῦ καὶ τὴν ἀπόρριψη τῶν φαύλων, διαβεβαίωσε ὅτι ἔδωσε στὸν κάθε ἄνθρωπο τὰ ἡνία ὅσων πρέπει νὰ πράξει καὶ ὅσων ὄχι, καὶ ὅποιο συμβεῖ νὰ θελήσει κανείς, ἔχει τὴ δυνατότητα νὰ προχωρήσει σ᾽ αὐτό. Ἐπειδὴ λοιπὸν αὐτὸ εἶναι ἀλήθεια, εἶναι ἀνυπόστατο καὶ ἄθλιο καὶ φλυαρία. τὸ νὰ ἰσχυρίζεται κανεὶς καὶ νὰ λέγει, ὅτι τὸ κακὸ εἶναι φυσικὸ στὸν ἄνθρωπο, ἢ ὅτι ἡ τύχη καὶ ἡ εἱμαρμένη

πινα, καὶ πρός γε τὸ ἑκάστῃ δοκοῦν, οὓς ἂν ἕλοιντο κατασφίγγουσαι φαυλότητός τε καὶ ἀρετῆς ἀποτελοῦσιν ἐργάτας, οὐκ ἐθελουσίοις ῥοπαῖς ἰόντας εἰς τοῦτο, κατεζευγμένους δὲ ὥσπερ ἀφύκτοις νεύμασι, κἂν δυσφορήτως ἔχοντας τῇ τῶν κρατούντων ἀνάγκῃ. Εἰ γὰρ φύσει τὸ κακὸν καὶ ἐνυπόστατόν ἐστιν, ὡς γοῦν ἐκεῖνοι ληροῦντές φασι, πῶς τοῖς ἑκάστου θελήμασι κρατύνεταί τε καὶ ἄσθενεῖ; εἰ γὰρ ἑλοίμην εἶναι χρηστός, τὸ κωλύον οὐδὲν ὁρᾶσθαι τοιοῦτον, εἰ δὲ δὴ καὶ πονηρός, ἀπείρξειεν ἂν οὐδὲν καὶ πρός γε τοῦτο κατολισθεῖν. Ποῦ δὲ δὴ τύχης καὶ εἱμαρμένης ἡ δύναμις, ἢ ποία τις γένεσις ἐπιφέρει τισὶ τὸν ἐξ ἀνάγκης ζυγόν, εἰ τοῖς ἑκάστου θελήμασιν ἀκολουθεῖ, καὶ τὸ φαγεῖν τἄ ἀγαθἄ τῆς γῆς πληροῦν ἑλομένους τὴν ὑπακοήν, καὶ μὴν καὶ τὸ ἔργον γενέσθαι τῆς μαχαίρας, εἰ τοῖς θείοις ἀντεξάγοιεν νόμοις τὸ ἀπειθὲς καὶ δυσήκοον;

Στίχ. 21. «Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών, πλήρης κρίσεως; Πρὶν ἡ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί».

Καταθαυμάζει τρόπον τινὰ τῆς Ἰουδαίων συναγωγῆς τὴν οὕτω σαθρὰν καὶ οὐκ εὐάφορμον μεταβολήν, τῆς εἴς γε τὰ χείρω, φημί, καὶ τὴν ἐκ τῶν ἀμεινόνων εἰς τὰ αἰσχίω μετάστασιν. Νόμῳ μὲν γὰρ τῷ διὰ Μωσέως τὴν τοῦ συμφέροντος γνῶσιν ἐπαιδεύετο, καὶ εἰς ἕκαστα τῶν πρακτέων διακομιστὴν ἔχουσαν τὸν τοῦ Θεοῦ λόγον, λαμπρὰ καὶ εὐδοκιμωτάτη καὶ ἀξιάγαστος ἦν, πλείστοις ὅσοις ἀνδράσι διαπρεπής, οἷς ὁ τῆς δικαιοσύνης καρπὸς ἐπήνθησε πλουσίως, καὶ ἀξιόληπτος ἦν τῷ Θεῷ. Ἦσαν μὲν γὰρ ἐν αὐτῇ προφῆταί τε καὶ ἱερεῖς, καὶ τῶν τῆς δικαιοσύνης ἔργων μελεδωνοί, καὶ λαῶν ἡγούμενοι φυλάττοντες κρίσιν, καὶ νόμον ἔχοντες ἐπὶ γλώττης, καὶ τρόπῳ παντὶ χρηστῷ τε καὶ ἀγαθῷ κατηγλαϊσμένοι. Εἶτα τῶν τοιούτων ἁπάντων ἐστερημένη, μᾶλλον τῆς ἀρχαίας ἐκείνης ἐπιεικείας ἀλογεῖν ἑλομένη, καὶ θε-

καὶ ἡ γένεση πηδαλιουχοῦν τὰ ἀνθρώπινα, καὶ σύμφωνα μὲ αὐτὸ ποὺ θέλει ἡ κάθε μιά, ὅποιους συμβεῖ νὰ διαλέξουν τοὺς ἀναγκάζουν νὰ γίνουν ἐργάτες τῆς φαυλότητας ἢ τῆς ἀρετῆς, ὄχι βαδίζοντας σ' αὐτὸ μὲ ἑκούσια κλίση, ἀλλὰ κάτω ἀπὸ τὸ ζυγὸ ἐντολῶν ποὺ δὲν μποροῦν ν' ἀποφύγουν, ἔστω κι ἂν δυσφοροῦν γιὰ τὸν ἐξαναγκασμό τους ἀπὸ τοὺς ἰσχυρούς; Γιατί, ἂν τὸ κακὸ εἶναι φυσικὸ καὶ ἐνυπόστατο, ὅπως βέβαια φλυαροῦν ἐκεῖνοι, πῶς μὲ τὴ θέληση τοῦ καθενὸς ἰσχυροποιεῖται ἢ ἐξασθενεῖ; Καθόσον ἂν ἐπιλέξω νὰ εἶμαι καλός, τίποτε δὲν μὲ ἐμποδίζει νὰ φαίνομαι τέτοιος, κι ἂν ἐπιλέξω νὰ εἶμαι πονηρός, δὲν θὰ μὲ ἐμποδίσει τίποτα νὰ ὀλισθήσω καὶ σ' αὐτό. Ποῦ εἶναι λοιπὸν ἡ δύναμη τῆς τύχης καὶ τῆς εἱμαρμένης, ἢ ποιὰ γένεση ἐπιβάλλει σὲ κάποιους τὸν ἀναγκαστικὸ ζυγό, ἂν στὰ θελήματα τοῦ καθενὸς ἀκολουθεῖ καὶ τὸ νὰ φᾶνε τὰ ἀγαθὰ τῆς γῆς ἐφόσον διαλέξουν νὰ ἐφαρμόσουν τὴν ὑπακοή, ἀλλὰ βέβαια καὶ τὸ νὰ γίνουν ἔργο τῆς μάχαιρας, ἂν ἀντιτάξουν στοὺς θείους νόμους τὴν ἀπείθεια καὶ τὴν ἀνυπακοή;

Στίχ. 21. «Πῶς ἔγινε πόρνη ἡ πιστὴ πόλη Σιών, ποὺ διακρινόταν γιὰ τὶς δίκαιες ἀποφάσεις; Σ' αὐτὴν προηγουμένως κατοικοῦσε ἡ δικαιοσύνη, ἐνῶ τώρα κατοικοῦν φονιάδες».

Ἀπορεῖ κατὰ κάποιο τρόπο γιὰ τὴν τόσο σαθρὴ καὶ ἀδικαιολόγητη μεταβολὴ τῆς Ἰουδαϊκῆς συναγωγῆς, τὴ μετατόπισή της ἐννοῶ στὰ χειρότερα καὶ ἀπὸ τὰ καλὰ στὰ αἰσχρά. Γιατὶ ἀπὸ τὸν νόμο τοῦ Μωυσῆ διδασκόταν τὴ γνώση τοῦ συμφέροντος καὶ ἔχοντας σὲ ὅλες τὶς πράξεις τους διαμεσολαβητὴ τὸν λόγο τοῦ Θεοῦ, ἦταν λαμπρὴ καὶ ἀκμαία καὶ ἄξια θαυμασμοῦ, διαπρεπὴς ἐξαιτίας τῶν πάρα πολλῶν ἀνδρῶν της, στοὺς ὁποίους ἄνθισε πλούσια ὁ καρπὸς τῆς δικαιοσύνης, καὶ εὐπρόσδεκτη ἀπὸ τὸν Θεό. Πραγματικὰ ὑπῆρχαν σ' αὐτὴν προφῆτες καὶ ἱερεῖς καὶ ἐπιμελητὲς τῶν ἔργων δικαιοσύνης, καθὼς καὶ ἡγέτες τοῦ λαοῦ, ποὺ ἔβγαζαν δίκαιες ἀποφάσεις, εἶχαν τὸ νόμο στὴ γλώσσα τους, καὶ ἦταν στολισμένοι μὲ κάθε τρόπο χρηστὸ καὶ ἀγαθό. Ἔπειτα ὅμως, ὅταν στερήθηκε ὅλα αὐτά, προτιμώντας τὸν παρα-

μένη παρ' οὐδὲν τὴν εἰς Θεὸν αἰδῶ καὶ ἀγάπησιν, πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας προσκεκύνηκε τοῖς μὴ φύσει θεοῖς, τὸν ἕνα τε καὶ ἀληθῶς Δεσπότην ταῖς εἰς τοῦτο πορνείαις ἐκτόπως περιυβρίζουσα, καὶ οἷά τις πολύκοινος καὶ σεσοβημένη γυνὴ κατὰ πολλοὺς ἠσέβησε τρόπους, ἄλλοτε ἄλλοις προσκειμένη καθηγηταῖς, πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχθημένων παρὰ Θεοῦ διακομίζειν εἰδόσιν.

Αἰτιᾶται γοῦν αὐτὴν διὰ φωνῆς Ἱερεμίου λέγων ὁ τῶν ὅλων Θεός· «Ἴδε ἃ ἐποίησέ μοι ἡ κατοικία τοῦ Ἰσραήλ, ἐπεπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλόν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσεν ἐκεῖ». Καὶ πάλιν ὡς πρὸς αὐτήν· «Ἐὰν ἐξαποστέλλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ καὶ ἀπελθοῦσα ἀπ' αὐτοῦ γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνακαλύπτουσα ἀνακαλύψει πρὸς αὐτὸν ἔτι; οὐ μιαινομένη μιανθήσεται γυνὴ ἐκείνη; Καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσι πολλοῖς, καὶ ἀνεκάλυπτες πρός με, λέγει Κύριος. Ἆρον τοὺς ὀφθαλμούς σου εἰς εὐθεῖαν, καὶ ἴδε, ποῦ οὐκ ἐξεφύρθης, ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς, ὡσεὶ κορώνη ἐν ἐρήμῳ μόνη. Καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου καὶ ἐν ταῖς κακίαις σου, καὶ ἔσχες ποιμένας πολλοὺς εἰς πρόσκομμα σεαυτῇ. Ὄψις πόρνης ἐγένετό σοι, ἀπηνῃσχύν[τ]ησας πρὸς πάντας». Καταφρονήσασα γάρ, ὡς ἔφην, τῆς ὑπὸ Θεῷ δουλείας, ἐτράπετο πρὸς ἀπόστασιν καὶ τοῖς ἀκαθάρτοις πνεύμασι καὶ τοῖς τῶν εἰδώλων θεραπευταῖς, ἐχρῆτο ποιμέσι καὶ διδασκάλοις. Καὶ ταυτὶ μέν, ὡς ἔφην, πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τῆς τῶν Ἰουδαίων Συναγωγῆς τὰ ἐγκλήματα.

Ἐπειδὴ δὲ τοῖς ἐπὶ τῆς γῆς ἐπέλαμψεν ὁ Χριστὸς (ἐπέφανε γὰρ ἡμῖν, κατὰ τὸ γεγραμμένον, Θεὸς Κύριος), οὐκ αὐτῷ μᾶλλον ἐχρῆτο παιδευτῇ, τετίμηκε δὲ διδασκαλίας, ἐντάλματα ἀνθρώπων, καὶ τὸν καλὸν ἀφεῖσα ποιμένα, τὸν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀποκομίζειν εἰδότα, προσεκολ-

71. Ἱερ. 3,6. 72. Ἱερ. 3,1-3.

λογισμὸ ἀντὶ τῆς ἀρχαίας ἐκείνης ἄριστης ζωῆς, καὶ περιφρονώντας τὸν σεβασμὸ καὶ τὴν ἀγάπη πρὸς τὸν Θεό, πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Σωτήρα μας προσκύνησε τοὺς μὴ ἀπὸ τὴ φύση τους θεούς, ἀτιμάζοντας μὲ τὶς πορνεῖες της κατὰ τρόπο παράδοξο τὸν ἕνα καὶ ἀληθινὸ Κύριο, καί σὰν μιὰ κοινὴ κι ἀκόλαστη γυναίκα ἔδειξε τὴν ἀσέβειά της μὲ πολλοὺς τρόπους, προσκολλώμενη διαρκῶς σὲ ἄλλους δασκάλους, ποὺ γνώριζαν νὰ μεταφέρουν κάθε τι ποὺ ἦταν μισητὸ ἀπὸ τὸν Θεό.

Τὴν κατηγορεῖ λοιπὸν μὲ τὸ στόμα τοῦ Ἱερεμία ὁ Θεὸς τῶν ὅλων λέγοντας· «Μάθε τί μοῦ ἔκανε ἡ κατοικία τοῦ Ἰσραήλ· ἀνέβηκε σὲ κάθε ψηλὸ βουνὸ καὶ κάτω ἀπὸ κάθε δένδρο τοῦ δάσους καὶ ἐκεῖ πραγματοποίησε τὴν πορνεία της»[71]. Καὶ πάλι λέγει σὰν πρὸς αὐτήν· «Ἂν κάποιος χωρίσει τὴ γυναίκα του κι αὐτὴ φύγει καὶ πάει μὲ ἄλλον ἄνδρα, μήπως μπορεῖ νά ἐπιστρέψει πιὰ σ' αὐτόν; Ἡ γυναίκα αὐτὴ δὲν θεωρεῖται ὅτι εἶναι μολυσμένη; Κι ἐσὺ διέπραξες πορνεία μὲ πολλοὺς ποιμένες, καὶ γύρισες σ' ἐμένα, λὲγει ὁ Κύριος. Σήκωσε τά μάτια σου καὶ κοίταξε εὐθεῖα μπροστά· ποῦ δὲν ἔχεις πορνευθεῖ; Κάθισες μαζί τους στοὺς δρόμους σάν ἔρημη καὶ μοναχικὴ κουρούνα. Μίανες τὴ γῆ μὲ τὶς πορνεῖες σου καὶ τὶς ἁμαρτίες σου. Εἶχες πολλοὺς ποιμένες (δασκάλους) ποὺ συντέλεσαν στὴν πτώση σου. Πῆρες τὴν ὄψη πόρνης καὶ ἔδειξες ἀδιαντροπιὰ σὲ ὅλους»[72]. Ἀφοῦ δηλαδὴ περιφρόνησε, ὅπως εἶπα, τὴν ὑποταγὴ στὸν Θεό, στράφηκε στὴν ἀποστασία καὶ χρησιμοποίησε ὡς ὁδηγοὺς καὶ δασκάλους τὰ ἀκάθαρτα πνεύματα καὶ τοὺς ὑπηρέτες τῶν εἰδώλων. Κι αὐτὰ βέβαια εἶναι, ὅπως εἶπα, τὰ ἐγκλήματα τῆς συναγωγῆς τῶν Ἰουδαίων πρὶν ἀπὸ τὴν ἔλευση τοῦ Σωτήρα μας.

Ὅταν ὅμως ἔλαμψε σὰν φῶς στοὺς ἀνθρώπους ὁ Χριστὸς (γιατί, σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει γραφεῖ, «φανερώθηκε σὲ μᾶς ὁ Θεὸς Κύριος»[73]), δὲν δέχθηκε αὐτὸν μᾶλλον διδάσκαλό της, ἀλλὰ προτίμησε διδασκαλίες ποὺ ἦταν ἐντολὲς ἀνθρώπων, καὶ ἀφήνοντας τὸν καλὸ ποιμένα, ποὺ γνωρίζει νὰ ὁδηγεῖ σὲ κάθε τι ἀπὸ τὰ

73. Ψαλμ. 117,27.

λήθη τοῖς ἀρχιερεῦσι καὶ Γραμματαίοις, καὶ μὴν δὲ καὶ Φαρισαίοις. Ἐκπεπόρνευκε δὲ κατὰ τοῦτον τὸν τρόπον. Καίτοι καὶ νόμον καὶ προφητῶν προαναπεκραγότων αὐτῇ τὸ Χριστοῦ μυστήριον, καὶ ὅτι παρέσται κατὰ καιροὺς προαπηγγελκότων. «Πῶς οὖν ἐγένετο», φησί, «πόρνη πόλις πιστὴ Σιὼν πλήρης κρίσεως;». Ὅμοιον ὡσεὶ λέγοι· Ποίας λαβοῦσα τὰς τοῦ νοσεῖν ἀφορμάς, μᾶλλον δὲ πῶς, ἀνάμεστος οὖσα πνευματικῶν ἐπικουρημάτων, κατώλισθεν εἰς ἀπόστασιν ἡ πάλαι πιστὴ καὶ δικαιοσύνης ἐργάτις, ἐν ᾗ κατέλυσεν ἡ δικαιοσύνη, τοῦτ' ἔστιν ἀνεπαύσατο νόμος; οἶκος γὰρ ὥσπερ τις αὐτοῦ γέγονεν ἡ τῶν παιδαγωγουμένων πληθύς, νῦν δὲ καταλελύκασι φονευταί; Ἀκούεις ὅτι πάντα παρεὶς τὰ ἕτερα, τὴν μιαιφονίαν αὐτοῖς ἐγκαλεῖ; Κατηντλήκασι γὰρ τῆς ἑαυτῶν κεφαλῆς τὸ τίμιον αἷμα Χριστοῦ, Πιλάτῳ λέγοντες· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν». Ἀνῃρήκασι δὲ καὶ προφήτας ἁγίους· καὶ τοῦτο αὐτοῖς ὁ μακάριος Στέφανος ὠνείδισε, λέγων· «Σκληροτράχηλοι καὶ ἀπειθεῖς τῇ καρδίᾳ, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε. Τίνα τῶν προφητῶν οὐκ ἀπέκτειναν οἱ πατέρες ὑμῶν; Ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς».

Στίχ. 22-23. «Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον. Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες».

Τῆς ἐπὶ τὰ χείρω μεταβολῆς τὰς αἰτίας ἀπαριθμεῖται σαφῶς. Καὶ ὥσπερ τις τῶν εὐτεχνεστάτων ἰατρῶν τοῖς ἠρρωστηκόσι λέγει τὰς τοῦ νοσεῖν ἀφορμάς, οὕτω καὶ αὐτὸς «ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», τοῖς ἐξ ἀμαθίας ἠρρωστηκόσι τοῦ πρέπον-

74. Ματθ. 27, 25.
75. Πράξ. 7, 51-52.

ἄριστα, προσκολλήθηκε στοὺς Ἀρχιερεῖς καὶ τοὺς Γραμματεῖς, καὶ βέβαια καὶ στοὺς Φαρισαίους. Μὲ αὐτὸν τὸν τρόπο ἐκπόρνευσε, μολονότι βέβαια καὶ ὁ νόμος καὶ οἱ προφῆτες εἶχαν διακηρύξει ἀπὸ πρὶν τὸ μυστήριο τοῦ Χριστοῦ καὶ εἶχαν προαναγγείλει ὅτι θὰ ἔρθει στὸν κατάλληλο καιρό. «Πῶς» λοιπόν, λέγει, «ἔγινε πόρνη ἡ πιστὴ πόλη Σιών, ἡ γεμάτη ἀπὸ δίκαιες ἀποφάσεις;». Εἶναι ὅμοιο σὰ νὰ λέγει· Ποιὲς ἀφορμὲς ἔλαβε γιὰ τὴν νόσο της, ἢ μᾶλλον πῶς, ἐνῶ ἦταν γεμάτη ἀπὸ πνευματικὰ βοηθήματα, γλίστρησε στὴν ἀποστασία, ἐκείνη ποὺ κατὰ τὸ παρελθὸν ἦταν πιστὴ καὶ ἔπραττε τὰ ἔργα δικαιοσύνης, στὴν ὁποία εἶχε τὸ κατάλυμά της ἡ δικαιοσύνη, δηλαδὴ ἀναπαύθηκε ὁ νόμος; Γιατὶ εἶχε γίνει κατὰ κάποιο τρόπο οἶκος αὐτοῦ τὸ πλῆθος ἐκείνων ποὺ παιδαγωγοῦνταν, καὶ τώρα τὴν ἔκαναν κατάλυμά τους φονιάδες; Ἄκοῦς ὅτι, ἀφήνοντας ὅλα τὰ ἄλλα, τοὺς κατηγορεῖ γιὰ τὸν ἀνόσιο φόνο; Γιατὶ ἔχυσαν τὸ τίμιο αἷμα τοῦ Χριστοῦ ἐπάνω στὸ κεφάλι τους λέγοντας στὸν Πιλάτο, «Τὸ αἷμα του ἂς πέσει σ' ἐμᾶς καὶ τὰ παιδιά μας»[74]. Σκότωσαν ὅμως καὶ ἅγιους προφῆτες, καὶ γι' αὐτὸ τοὺς κατηγόρησε ὁ μακάριος Στέφανος λέγοντας· «Σκληροτράχηλοι καὶ μὲ ἀνυπάκουη ψυχή, ἐσεῖς πάντοτε ἀντιτάσσεσθε στὸ ἅγιο Πνεῦμα. Ποιὸν ἀπὸ τοὺς προφῆτες δὲν σκότωσαν οἱ πατέρες σας; Ὅπως ἔπραξαν οἱ πατέρες σας, ἔτσι πράττετε καὶ ἐσεῖς»[75].

Στίχ. 22-23. «Τὸ ἀργύριό σας εἶναι κίβηλο. Οἱ κάπηλοί σου ἀναμιγνύουν τὸ κρασὶ μὲ νερό, οἱ ἄρχοντές σου δὲν ὑπακούουν στὸν Θεό, εἶναι συνένοχοι κλεφτῶν, ἀγαποῦν τὰ δῶρα, ἐπιδιώκουν τὶς ἀνταμοιβές, δὲν κρίνουν δίκαια τὰ ὀρφανά, καὶ ἀδιαφοροῦν γιὰ τὸ δίκαιο τῆς χήρας».

Ἀπαριθμεῖ μὲ σαφήνεια τὶς αἰτίες τῆς μεταβολῆς στὸ χειρότερο, καὶ ὅπως κάποιος ἀπὸ τοὺς πιὸ καταρτισμένους γιατροὺς ἐκθέτει στοὺς ἄρρωστους τὶς αἰτίες τῆς ἀρρώστιας τους, ἔτσι κι αὐτὸς ποὺ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια[76], σ' αὐτοὺς ποὺ ἀρρώστια τους εἶναι ἡ ἀμάθεια τοῦ

76. Α΄ Τιμ. 2, 4.

τος διατρανοῖ τὰς αἰτίας τῶν ἐν αὐτοῖς παθῶν καὶ πλημμελημάτων. «Ἀδόκιμον γὰρ τὸ ἀργύριον ὑμῶν», φησί. Καὶ ἀργύριον μὲν ἀδόκιμον ὀνομάζει τῶν παρ' αὐτοῖς διδασκάλων τὸν οὐκ εὐφυᾶ, μᾶλλον δὲ καὶ βδελυρίας ἁπάσης ἐπίμεστον λόγον, καὶ ἀδικῆσαι μᾶλλον, ἢπερ ὀνῆσαι δυνάμενον τοὺς ἀκροωμένους. Κατείθισται δέ πως ἡ θεόπνευστος Γραφὴ τοὺς τῆς κατηχήσεως λόγους, οὓς ἂν ποιοῖντό τινες τοῖς ὑπὸ χεῖρα λαοῖς, ἀργύριον ἀποκαλεῖν. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁμοιοῦσθαί φησι τὴν βασιλείαν τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς μέλλων ἀποδημεῖν ἐκάλεσε τοὺς ἑαυτοῦ δούλους, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, καὶ ἀπεδήμησεν. Πεπονηκόσι δὲ αὐτοῖς περ .... τοὺς ἐπαίνους ἀποδιδούς, «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ», φησί. Τῷ γε μὴν ἀποκρύψαντι τὸ τάλαντον, προσειργασμένῳ δὲ παντελῶς οὐδέν, «Πονηρὲ δοῦλε», φησί, «καὶ ὀκνηρέ, ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ». Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· «Τὰ λόγια Κυρίου, λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δόκιμον τῇ γῇ».

Κίβδηλον οὖν ἄρα καὶ ἀδόκιμον παντελῶς ἀργύριον τὸ παρὰ τοῖς Ἰουδαίοις, τοῦτ' ἔστιν ὁ παρὰ τῶν Γραμματέων καὶ Φαρισαίων λόγος, οἷα δὴ καὶ καπήλοις προσεοικότες ὕδατι τὸν οἶνον μίσγειν ἤθελον· τοῦτ' ἔστι νενοθευμένην καὶ οὐκ ἀκαπήλευτον ἐποιοῦντο τοῦ νόμου τὴν ἐξήγησιν· παραπλέκοντές τι καὶ ἰδίων αὐτοῖς θελημάτων καὶ ψυχρῶν καὶ ὑδαρεστέρων ἐννοιῶν παρεισκρίνοντες οὐκ ἀμιγεῖ τοῦ χείρονος, οὐδὲ ὡς ἂν εἴποι τις ἄκρατον ἐποιοῦντο τῆς τοῦ νομοθέτου βουλῆς τὴν ἀπόδοσιν. Καὶ γοῦν προσίεσαν μὲν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι τῷ Σωτῆρι λέγοντές ποτε· «Διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐ-

77. Ματθ. 25, 14-29.

ὀρθοῦ, διασαφηνίζει τὶς αἰτίες τῶν παθῶν καὶ τῶν πλημμελημάτων τους. «Τὸ ἀργύριο σας εἶναι κίβδηλο», λέγει. Καὶ ἄργυρο βέβαια κίβδηλο ὀνομάζει τὸν ὄχι ὀρθὸ λόγο τῶν δασκάλων τους, καὶ μᾶλλον αὐτὸν ποὺ εἶναι γεμᾶτος ἀπὸ κάθε βδελυρότητα, καὶ ποὺ μπορεῖ νὰ βλάψει μᾶλλον, παρὰ νὰ ὠφελήσει ἐκείνους ποὺ τὸν ἀκοῦνε. Εἶναι συνήθεια κατὰ κάποιο τρόπο τῆς θεόπνευστης Γραφῆς τοὺς λόγους ποὺ ἀπευθύνουν κάποιοι στοὺς ὑπηκόους τους νὰ τοὺς ἀποκαλοῦν ἀργύριο. Γι' αὐτὸ καὶ ὁ Κύριός μας Ἰησοῦς Χριστὸς λέγει, ὅτι ἡ Βασιλεία τῶν οὐρανῶν μοιάζει μὲ ἄνθρωπο οἰκοδεσπότη, ὁ ὁποῖος ἔχοντας σκοπὸ νὰ λείψει ἀπὸ τὸν τόπο του, κάλεσε τοὺς δούλους του, καὶ στὸν ἕνα ἔδωσε πέντε τάλαντα, στὸ δεύτερο δύο, καὶ στὸν ἄλλο ἕνα, καὶ ἀναχώρησε. Σ' αὐτοὺς ποὺ κοοπίασαν ἐργαζόμενοι ἀπέδωσε δίκαους ἐπαίνους· γιατὶ λέγει· «Εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ». Ἐνῶ σὲ ἐκεῖνον ποὺ ἔκρυψε τὸ τάλαντο καὶ δὲν κατέβαλε κανένα κόπο, λέγει· «Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἔπρεπε νὰ βάλεις τὰ χρήματά σου στοὺς τραπεζίτες, κι ἐγὼ ἐρχόμενος θὰ τὰ ἔπαιρνα μὲ τοὺς τόκους τους»[77]. Καὶ ὁ θεσπέσιος Δαβὶδ λέγει σ' ἕνα ψαλμό του· «Τὰ λόγια τοῦ Κυρίου, εἶναι λόγια ἁγνά, ἀργύριο ποὺ πυρακτώθηκε καὶ χωνεύθηκε στὴ γῆ»[78].

Κίβδηλο λοιπὸν καὶ τελείως ἀκατάλληλο εἶναι τὸ ἀργύριο τῶν Ἰουδαίων, δηλαδὴ ὁ λόγος τῶν Γραμματέων καὶ Φαρισαίων, οἱ ὁποῖοι μοιάζοντας μὲ κάπηλους, ἤθελαν νὰ ἀναμιγνύουν τὸ κρασὶ μὲ νερό, δηλαδὴ ἔδιναν ἐξήγηση τοῦ νόμου νοθευμένη καὶ ὄχι γνήσια, συνυφαίνοντας μ' αὐτὴν καὶ κάποιο δικό τους θέλημα, καὶ παρεμβάλλοντας κάποιες ἄθλιες καὶ νερωμένες ἔννοιες, ἔκαναν τὴν ἀπόδοση τῆς θέλησης τοῦ νομοθέτη ὄχι χωρὶς ἀνάμιξη τοῦ χειρότερου, οὔτε ὅπως θάλεγε κανεὶς σὰν ἀνέρωτο κρασί. Καὶ πράγματι πλησίασαν κάποτε οἱ Γραμματεῖς καὶ Φαρισαῖοι τὸν Σωτήρα καὶ τοῦ εἶπαν· «Γιατί οἱ μαθητές σου παραβιάζουν τὴν παράδοση τῶν πιὸ ἡλικιωμένων; Γιατὶ δὲν

78. Ψαλμ. 11, 7.

τῶν, ὅταν τὸν ἄρτον ἐσθίουσιν. Ὁ δὲ πρὸς αὐτούς· Διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; Ὁ γὰρ Θεὸς εἶπεν, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καί, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατέρι ἢ μητέρι, Δῶρον, ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα, καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράβασιν ὑμῶν».

Ὁρᾷς ἐν τούτοις τῆς Ἰουδαϊκῆς καπηλείας σαφῆ τὰ ἐγκλήματα; ταῖς γὰρ οἰκείαις παραδόσεσιν ἔπεσθαι δεῖν ἐθέλοντες, ἀκύρους ἀπέφαινον τοὺς τοῦ Θεοῦ νόμους, ὑποπλαττόμενοι μὲν ἐξηγεῖσθαι καὶ αὐτούς, συνεισφέροντες δὲ παραδόσεις ἑώλους καὶ ψυχράς. Αἰτιᾶται δὲ τοὺς ἄρχοντας, ὡς πολὺ νοσοῦντας τὸ ἐξήνιον, καὶ γαῦρον ὥσπερ ἀνατείνοντας τὸν αὐχένα καὶ ἀπειθεῖν ᾑρημένους. Οὐ γὰρ ἤθελον προσίεσθαι τὴν πίστιν, τὴν εἰς Χριστόν δηλονότι, καίτοι τοῦ νόμου διακεκραγότος αὐτοῖς ἄνω τε καὶ κάτω, τὸ ἐπ' αὐτῷ μυστήριον, καὶ κατὰ μυρίους ὅσους αὐτὸ δεικνύοντος τρόπους. Καὶ γοῦν ἔφη πρὸς αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· «Ἢ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα; Ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίσατε. Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν».

Ἀπειθεῖς οὖν ἄρα, μήτε τὴν τοῦ νόμου βούλησιν ἄκρατον ὥσπερ καὶ ἀνόθευτον διερμηνεύειν ἐθέλοντες τοῖς ἄλλοις, μήτε μὴν τὴν διὰ Μωσέως καὶ προφητῶν καὶ ἁγίων προκεκηρυγμένην τιμήσαντες πίστιν. Οὐ γὰρ ἤθελον ὑπακοῦσαι λέγοντι τῷ Χριστῷ· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς». Καὶ πρός γε τῷ εἶναι σκληροί τε

79. Ματθ. 15, 1-6.
80. Ἰω. 5, 45-46.

πλένουν τὰ χέρια τους ὅταν τρῶνε ψωμί. Κι ἐκεῖνος τοὺς ἀπάντησε· Γιατί κι ἐσεῖς παραβαίνετε τὴν ἐντολὴ τοῦ Θεοῦ ἐξαιτίας τῆς παράδοσής σας; Γιατὶ ὁ Θεὸς εἶπε, "Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου", καὶ "ὅποιος κακολογεῖ τὸν πατέρα ἢ τὴ μητέρα του νὰ θανατώνεται". Ἐσεῖς ὅμως λέτε· "Ὅποιος πεῖ στὸν πατέρα ἢ τὴ μητέρα του, θὰ δοθεῖ δῶρο στὸν Θεὸ αὐτὸ ποὺ δὲν θὰ λάβεις ἀπὸ ἐμένα, αὐτὸς δὲν θὰ τιμήσει τὸν πατέρα ἢ τὴ μητέρα του, καὶ ἀκυρώσατε τὴν ἐντολὴ τοῦ Θεοῦ ἐξαιτίας τῆς παράδοσής σας»[79].

Βλέπεις σ' αὐτὰ ὁλοφάνερα τὰ ἐγκλήματα τῆς Ἰουδαϊκῆς καπηλείας; Γιατί, θέλοντας νὰ ἀκολουθοῦν τὶς παραδόσεις τους, παρουσίαζαν ἄκυρους τοὺς νόμους τοῦ Θεοῦ, προσποιούμενοι βέβαια ὅτι ἐξηγοῦσαν κι αὐτούς, προσκόμιζοντας ὅμως παραδόσεις ἀνούσιες καὶ ἐλεεινές. Κατηγορεῖ λοιπὸν τοὺς ἄρχοντες ποὺ ἔπασχαν ἀπὸ μεγάλη ἀπειθαρχία, ποὺ σήκωναν ἀλαζονικὰ τὸ κεφάλι καὶ προτιμοῦσαν τὴν ἀνυπακοή. Γιατὶ δὲν ἤθελαν νὰ δεχθοῦν τὴν πίστη, δηλαδὴ τὴν πίστη στὸν Χριστό, μολονότι ὁ νόμος διακήρυττε σ' αὐτοὺς διαρκῶς τὸ σχετικὸ μ' αὐτὸν μυστήριο καὶ τὸ ἔδειχνε σ' αὐτοὺς μὲ μύριους τρόπους. Καὶ πράγματι εἶπε σ' αὐτοὺς ὁ Κύριός μας Ἰησοῦς Χριστός· «Ἢ νομίζετε ὅτι ἐγὼ θὰ σᾶς κατηγορήσω στὸν Πατέρα; Ὁ κατήγορός σας εἶναι ὁ Μωυσῆς, στὸν ὁποῖο στηρίξατε τὶς ἐλπίδες σας. Ἂν πιστεύατε στὸν Μωυσῆ, θὰ πιστεύατε καὶ σ' ἐμένα, γιατὶ γιὰ μένα ἔγραψε ἐκεῖνος»[80].

Ἦταν λοιπὸν ἀνυπάκουοι καὶ δὲν ἤθελαν οὔτε τὸ πνεῦμα τοῦ νόμου νὰ τὸ ἑρμηνεύουν καθαρὸ κι ἀνόθευτο στοὺς ἄλλους, οὔτε τίμησαν τὴν πίστη ποὺ εἶχαν κηρύξει ὁ Μωυσῆς καὶ οἱ προφῆτες καὶ οἱ ἅγιοι. Γιατὶ δὲν ἤθελαν νὰ ὑπακούσουν στὸν Χριστὸ ποὺ ἔλεγε· «Ἐλᾶτε σ' ἐμένα ὅλοι ὅσοι εἶστε κουρασμένοι καὶ φορτμένοι μὲ τὰ βάρη τῆς ζωῆς καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω. Σηκῶστε πάνω σας τὸ ζυγό μου»[81]. Καὶ μαζὶ μὲ τὸ ὅτι ἦταν σκλη-

81. Ματθ. 11, 28-29.

καὶ ἀπειθεῖς, κοινωνοὶ γεγόνασι κλεπτῶν· τοῦτο μὲν τοῖς δωροδοκοῦσι συγκαστάμενοι (sic), τοῦτο δὲ συνδεδραμηκότες ταῖς ἀνοσίοις βουλαῖς τοῦ προδόντος αὐτοῖς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, ὃς ἦν πονηρός τε ἅμα καὶ κλεπτίστατος μαθητής. Ἐρασιχρήματοι δὲ καὶ ἑτέρως οἱ τῶν Ἰουδαίων καθηγηταί, τὸ κύμινόν τε καὶ τὸ ἄνηθον καὶ πᾶν λάχανον ἀποδεκατοῦντες, καὶ ἀφιέντες τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸ ἔλεος καὶ τὴν πίστιν. Οὐ γὰρ ἔκρινον ὀρφανοῖς καὶ χήραις, ζητοῦντες δὲ μᾶλλον παρὰ τῶν προσαγόντων αὐτοῖς ἀνταπόδομα, κατεδίκαζον ἀνοσίως τῶν ἀδικουμένων ἔσθ' ὅτε, ψῆφον ἐπ' αὐτοῖς τὴν ἐκνομωτάτην ἐκφέροντες. Ἀπὸ δὴ τοῦ κρίνειν ἀδίκως καὶ αἰσχρῶς ἡττᾶσθαι λημμάτων, καὶ εἰς αὐτὸν πεπαρρησίακασι τὸν Χριστόν. Ἵνα γὰρ ἔχοιεν τὰς παρὰ τῶν λαῶν δωροφορίας, οὐ προσήκαντο τὸν τοῦ ἀμπελῶνος δεσπότην, ἴδιον ποιούμενοι κλῆρον τὸν αὐτῷ καὶ μόνῳ πρέποντά τε καὶ ὀφειλόμενον. Ἀπεκτόνασι γὰρ ἀθῷον ὄντα καὶ δίκαιον, καίτοι τοῦ νόμου λέγοντος· «Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς».

Στίχ. 24. «Διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης Κύριος Σαβαὼθ· Οὐαὶ οἱ ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω».

Τοῦ κατεφθάρθαι τὴν Ἱερουσαλὴμ ἀνατίθησι τὰς αἰτίας τοῖς καθηγεῖσθαι λαχοῦσι, καὶ μάλα εἰκότως. Ἕπεται γὰρ ἐπὶ πᾶν αὐτοῖς τὸ ὑπήκοον, καθάπερ ἀμέλει καὶ τοῖς ποιμέσι τὰ ὑπὸ χεῖρα θρέμματα. Εἰ γὰρ ἀποκομίζοιεν εἰς πιόνά τε αὐτὰ καὶ ἀμφιλαφῆ νομήν, εὔρωστά τε εἶεν ἂν καὶ εὐτραφῆ λίαν· εἰ δὲ εἰς γῆν ἁλμάδα καὶ ἀκανθῶν μητέρα, καταφθεροῦσι πάντως αὐτὰ ταῖς κακοσιτ[ε]ίαις. Τοιοῦτόν τι ἐφ' ἡμῶν αὐτῶν ἀληθὲς ὂν εὑρήσομεν. Εἰσηγήσεσι μὲν

ροὶ καὶ ἀνυπάκουοι, ἔγιναν συνένοχοι κλεφτῶν, ἀπὸ τὴ μιὰ γιατὶ συμφωνοῦσαν μὲ ὅσους ἔδιναν δῶρα, κι ἀπὸ τὴν ἄλλη γιατὶ βοήθησαν στοὺς ἀνόσιους σκοπούς του ἐκεῖνον ποὺ πρόδωσε τὸν Κύριό μας Ἰησοῦ Χριστό, ὁ ὁποῖος ἦταν μαθητὴς πονηρὸς καὶ συνάμα μεγάλος κλέφτης. Φιλοχρήματοι ἦταν καὶ ἀλλιῶς οἱ διδάσκαλοι τῶν Ἰουδαίων, γιατὶ ἔδιναν τὸ δέκατο ἀπὸ τὸ κύμινο καὶ τὸν ἄνηθο καὶ κάθε λαχανικό, καὶ παρέβλεπαν τὰ σημαντικότερα τοῦ νόμου, τὴ δικαιοσύνη, τὴν εὐσπλαγχνία καὶ τὴν πίστη. Γιατὶ δὲν ἔκριναν δίκαια τὰ ὀρφανὰ καὶ τὶς χῆρες, ἀντίθετα μάλιστα ζητοῦσαν δῶρο ἀπὸ ἐκείνους ποὺ τοὺς ὁδηγοῦσαν σ' αὐτούς, καταδίκαζαν πολλὲς φορὲς μὲ τρόπο ἀνίερο τοὺς ἀδικούμενους, βγάζοντας τὴν πιὸ παράνομη ἀπόφαση γι' αὐτούς. Ἐξαιτίας λοιπὸν τῶν ἄδικων κρίσεών τους καὶ τῆς αἰσχρῆς ὑποταγῆς τους στὶς δωρολειψίες παραφρόνησαν καὶ ἐναντίον τοῦ ἴδιου τοῦ Χριστοῦ. Γιὰ νὰ ἔχουν δηλαδὴ τὰ δῶρα τους ἀπὸ τὸν κόσμο, δὲν δέχθηκαν τὸν κύριο τοῦ ἀμπελιοῦ, κάνοντας κλῆρο δικό τους τὸν κλῆρο ποὺ σ' αὐτὸν μόνο ἔπρεπε καὶ ἀνῆκε. Γιατὶ τὸν θανάτωσαν ἐνῶ ἦταν ἀθῶος καὶ δίκαιος, μολονότι ὁ νόμος ὁρίζει· «Δὲν θὰ θανατώσεις ἀθῶο καὶ δίκαιο»[82].

Στίχ. 24. «Γι' αὐτὸ αὐτὰ λέγει ὁ ἐξουσιαστὴς καὶ Κύριος Σαβαώθ: Ἀλλοίμονο στοὺς ἰσχυροὺς τοῦ Ἰσραήλ. Δὲν θὰ παύσει ὁ θυμός μου ἐναντίον ἐκείνων ποὺ μὲ ἐχθρεύονται καὶ θὰ ἐκδικηθῶ τοὺς ἐχθρούς μου.

Τὶς αἰτίες τῆς διαφθορᾶς τοῦ Ἰσραὴλ τὶς ἀποδίδει σὲ ἐκείνους ποὺ τοὺς ἔλαχε ἡ ἡγεσία του, καὶ πολὺ εὔλογα. Γιατὶ οἱ ὑπήκοοί τους τοὺς ἀκολουθοῦν σὲ ὅλα, ὅπως βέβαια καὶ τὰ κοπάδια τοὺς ποιμένες τους. Ἂν λοιπὸν τὰ ὁδηγοῦν σὲ παχιὰ καὶ πλούσια βοσκή, θὰ εἶναι δυνατὰ καὶ καλοθρεμμένα, ἂν ὅμως τὰ πηγαίνουν σὲ τόπους μὲ ἁλμύρες καὶ ποὺ βγάζουν ἀγκάθια, θὰ τὰ καταστρέψουν ὁπωσδήποτε μὲ τὴν κακὴ διατροφή. Τὸ ἴδιο θὰ βροῦμε ν' ἀληθεύει καὶ στὴ δική μας περίπτωση. Ὁ νοῦς ὅσων

82. Ἔξ. 23, 7.

γὰρ ταῖς εἰς ὀρθότητά τε καὶ ἀρετὴν καὶ θεογνωσίαν ἀμώμητον ὁ τῶν παιδαγωγουμένων καταπιαίνεται νοῦς, ταῖς γε μὴν εἰς ἀνοσιότητα συμβουλίαις ἑτοιμότατα καταρρεῖ πρὸς τὴν τῶν αἰσχιόνων ἔφεσίν τε καὶ προθυμίαν. Τοιοῦτόν τι πεπονθότες οἱ ἐξ Ἰσραὴλ ταῖς τῶν Γραμματέων καὶ Φαρισαίων παραδόσεσι καὶ διδασκαλίαις οἱ τάλανες διολώλασιν. Οὐ γὰρ εἴων αὐτοὺς τὴν ἀληθῆ καὶ σωτήριον ἰέναι τρίβον, τὴν διὰ πίστεως λέγω τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ γοῦν τεθεράπευκε μὲν τὸν ἐκ γεννητῆς τυφλόν, καὶ τεθαυμάκασι μὲν οἱ κατὰ πᾶσαν τὴν Ἱερουσαλὴμ τῆς θεοσημείας τὸ μέγεθος, κηρύττοντι δὲ τὸν ἰατρὸν τῷ τοῦ πάθους ἀπηλλαγμένῳ διαρρήδην ἔφασκον οἱ παιδαγωγεῖν ὀφείλοντες εἰς ἀλήθειαν· «Δὸς δόξαν τῷ Θεῷ, ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν».

Ἐπιμαρτύρεται δέ τις τῶν ἁγίων εὐαγγελιστῶν, ὅτι ἤδη συνετέθειντο οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται. Ταύτῃ τοι καὶ τὴν εἰς ἀλλήλους αἰδῶ τῆς ἑαυτῶν σωτηρίας ἀβουλότατα προτετιμηκότες, ἀμέτοχοι παντελῶς τῆς παρὰ Θεοῦ μεμενήκασι δόξης. Καὶ τοῦτο αὐτοῖς ἔφασκεν ὁ Σωτήρ· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;». Καὶ μὴν καὶ ἑτέρωθι· «Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν». Σκάνδαλον τοίνυν γεγόνασι τοῖς λαοῖς, καὶ τῇ δόξῃ Χριστοῦ πολεμοῦντες οὐ διαλιμπάνουσιν. Ταύτῃ τοι περὶ αὐτῶν φησιν· «Οὐαὶ οἱ ἰσχύοντες Οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐκ τῶν ὑπεναντίων, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω». Ὁρᾷς ὅπως ἐναντίους τε αὐτοὺς καὶ μὴν καὶ ἐχθροὺς ὀνομάζει; Καὶ ἐπ' αὐτοὺς δὴ μάλιστα τὰ ἐκ τῆς θεί-

83. Ἰω. 9, 24. 84. Ἰω. 5, 44.

παιδαγωγοῦνται πλουτίζει μὲ διδασκαλίες ποὺ ὁδηγοῦν στὴν ὀρθότητα, τὴν ἀρετὴ καὶ τὴ γνήσια θεογνωσία, ἐνῶ μὲ τὶς συμβουλὲς ποὺ σκοπεύουν στὴν ἀνοσιότητα καταπίπτει μὲ εὐκολία στὴν ἐπιθυμία καὶ τὴν προθυμία τῶν αἰσχρῶν. Κάτι τέτοιο ἀφοῦ ἔπαθαν καὶ οἱ Ἰσραηλίτες μὲ τὶς παραδόσεις καὶ τὶς διδασκαλίες τῶν Γραμματέων καὶ τῶν Φαρισαίων, ὁδηγήθηκαν οἱ δυστυχεῖς στὴν καταστροφή. Γιατὶ δὲν τοὺς ἄφησαν νὰ βαδίσουν τὴν ἀληθινὴ καὶ σωτήρια ὁδό, ἐννοῶ τὴν ὁδὸ τῆς πίστεως στὸν Κύριό μας Ἰησοῦ Χριστό. Καὶ βέβαια θεράπευσε τὸν ἐκ γενετῆς τυφλὸ καὶ θαύμασαν ὅλοι οἱ κάτοικοι τῆς Ἰερουσαλὴμ γιὰ τὸ μέγεθος τοῦ θαύματος, καὶ ἐνῶ ὁ ἀπαλλαγμένος ἀπὸ τὴν ἀναπηρία του ἀνακήρυττε τὸν ἰατρό του, αὐτοὶ ποὺ ὄφειλαν νὰ καθοδηγοῦν στὴν ἀλήθεια, τὸν συμβούλευαν ἀπερίφραστα· «Δόξασε τὸν Θεό· ἐμεῖς γνωρίζομε ὅτι αὐτὸς ὁ ἄνθρωπος εἶναι ἁμαρτωλός»[83].

Καὶ κάποιος ἀπὸ τοὺς ἁγίους εὐαγγελιστὲς ἐπιβεβαιώνει, ὅτι εἶχαν ἤδη συμφωνήσει οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἂν κάποιος ὁμολογήσει ὅτι εἶναι ὁ Χριστός, νὰ ἀπομακρυνθεῖ ἀπὸ τὴ συναγωγή. Γι᾽ αὐτὸ λοιπὸν καὶ ἐπειδὴ προτίμησαν ἀπερίσκεπτα τὸν ἀλληλοδοξασμό τους ἀντὶ τῆς σωτηρίας τους, ἔμειναν τελείως ἀμέτοχοι τῆς δόξας ἐκ μέρους τοῦ Θεοῦ. Καὶ αὐτὸ τοὺς ἔλεγε ὁ Σωτήρας· «Πῶς μπορεῖτε νὰ πιστεύετε τὴ στιγμὴ ποὺ δέχεσθε δόξα ὁ ἕνας ἀπὸ τὸν ἄλλο, καὶ δὲν ἐπιδιώκετε τὴ δόξα ποὺ προέρχεται ἀπὸ τὸν Θεό;»[84]. Ἀλλὰ καὶ ἀλλοῦ λέγει· «Ἀλλοίμονό σας, Γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριτές, γιατὶ κλείνετε τὴ θύρα ποὺ ὁδηγεῖ στὴ βασιλεία τῶν οὐρανῶν»[85]. Ἔχουν γίνει λοιπὸν σκάνδαλο γιὰ τὸν κόσμο καὶ δὲν σταματοῦν νὰ πολεμοῦν τὴ δόξα τοῦ Χριστοῦ. Γι᾽ αὐτὸ βέβαια λέγει γι᾽ αὐτούς· «Ἀλλοίμονό σας, σεῖς οἱ ἰσχυροί. Δὲν θὰ παύσει ὁ θυμός μου ἐναντίον ἐκείνων ποὺ μὲ ἐχθρεύονται καὶ θὰ ἐκδικηθῶ τοὺς ἐχθρούς μου». Βλέπεις πῶς αὐτὸς τοὺς ὀνομάζει ἐναντίους καὶ ἐχθρούς; Καὶ σ᾽ αὐτοὺς ἀκριβῶς θὰ πέσουν κατεξοχὴν τὰ ξεσπάσματα τῆς θείας

85. Ματθ. 23, 13.

ας ὀργῆς δραμεῖσθαί φησιν. Ἔδει γάρ, ἔδει μειζόνως κολάζεσθαι, καὶ τοὺς ὑπὲρ τῆς τῶν ἄλλων ἀπωλείας ὑποσχεῖν τῷ κρίνοντι λόγους Οὓς ἦν εἰκὸς δύνασθαι καὶ διασώζειν αὐτούς, εἴπερ ἤθελον ὀρθά τε φρονεῖν αὐτοὶ καὶ τοῖς ἄλλοις ἅπασιν τὴν εἰς τοῦτο διακομίζουσαν καταδεῖξαι τρίβον. Ἐπεφώνει καὶ ὁ θεσπέσιος Ἰωάννης αὐτοῖς ἐπὶ τὸ τῆς μετανοίας ἰοῦσι βάπτισμα· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;».

Γέγονε τοίνυν ἐκδίκησις παρὰ Θεοῦ κατὰ τῶν ἰσχυόντων μάλιστα, τοῦτ' ἔστι τῶν παρ' αὐτοῖς δυνατῶν, ἡγουν ἡγουμένων, καταδηωθείσης αὐτῶν τῆς χώρας καὶ παραδοθείσης τοῖς Ῥωμαίων γενναιοτάτοις στρατεύμασι. Καὶ τοῦτο αὐτοῖς προμεμήνυκεν ὁ Σωτήρ· «Ὅταν ἴδετε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε ἐρεῖτε τοῖς ὄρεσι, Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς, Πέσατε ἐφ' ἡμᾶς». Φοβερὸν οὖν ἄρα τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· οὐχ ὅτι σκληρὸς καὶ ἀμείλικτος (χρηστὸς γὰρ μᾶλλον καὶ ἀγαθός ἐστιν), ἀλλ' ὅτι λυπεῖται καταφρονούμενος, ὅταν ἑαυτοὺς μάλιστα τῶν παρ' αὐτοῦ χαρισμάτων ἀποστεροῦμεν ἡμεῖς, καίτοι παρὸν ἔλεῖν τε πλουσίως καὶ ἐντρυφᾷν αὐτοῖς ἑλομένοις εἶκειν τοῖς παρ' αὐτοῦ νόμοις. Ἀποσειομένοις τε τοὺς πονηροὺς καὶ ἀνοσίους τῶν ἐν τῷδε τῷ βίῳ διδασκάλους, οἳ καὶ τῆς πίστεως τὴν ὀρθότητα τοῖς ἑαυτῶν ῥήμασι παραλύειν ἐπείγονται, καὶ ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς τῆς ἑαυτῶν δυστροπίας τὸν ἰὸν ἐχχέοντες, παρατρέπουσιν αὐτὰς εἰς τὸ δεῖν ἑλέσθαι τὰ πονηρά.

Στίχ. 25-28. «Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ πάντας ὑπερηφάνους ταπεινώσω· καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπαρχῆς. Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δι-

86. Ματθ. 3, 7. 87. Λουκᾶ 21, 20 καὶ 23, 30.

ὀργῆς. Γιατὶ ἔπρεπε, ναὶ ἔπρεπε νὰ τιμωρηθοῦν αὐστηρότερα καὶ νὰ δώσουν λόγο στὸν Κριτὴ γιὰ τὴν ἀπώλεια τῶν ἄλλων, τοὺς ὁποίους μποροῦσαν καὶ σώσουν, ἂν ἤθελαν οἱ ἴδιοι νὰ πιστεύουν τά ὀρθὰ καὶ σ' ὅλους τοὺς ἄλλους νὰ δείξουν τὸ δρόμο ποὺ ὁδηγεῖ στὴν ὀρθοφροσύνη. Διακήρυττε καὶ ὁ θεσπέσιος Ἰωάννης σὲ ἐκείνους ποὺ πήγαιναν νὰ λάβουν τὸ βάπτισμα τῆς μετάνοιας· «Γεννήματα ἐχιδνῶν, ποιὸς σᾶς ὑπέδειξε ν' ἀποφύγετε τὴ μέλλουσα ὀργή;»[86].

Ἐκδικήθηκε λοιπὸν ὁ Θεὸς τοὺς ἰσχυροὺς κυρίως, δηλαδὴ τοὺς δυνατοὺς ἀνάμεσά τους, ἤτοι τοὺς ἡγέτες τους, μὲ τὸ νὰ καταλεηλατηθεῖ ἡ χώρα τους καὶ νὰ παραδοθεῖ στὰ ἀνδρεῖα στρατεύματα τῶν Ρωμαίων. Καὶ αὐτὸ τοὺς τὸ προανήγγειλε ὁ Σωτήρας· «Ὅταν δεῖτε νὰ περικλώνεται ἡ Ἱερουσαλὴμ ἀπὸ στρατεύματα, τότε θὰ πεῖτε στὰ βουνά, Σκεπᾶστε μας, καὶ στὰ βυνά, Πέσετε πάνω μας»[87]. Εἶναι λοιπὸν φοβερὸ νὰ πέσει κανεὶς στὰ χέρια τοῦ ζωντανοῦ Θεοῦ[88]· ὄχι γιατὶ εἶναι σκληρὸς κι ἄσπλαχνος (γιατὶ εἶναι καλὸς καὶ ἀγαθός), ἀλλ' ἐπειδὴ δυσαρεστεῖται ὅταν περιφρονεῖται, ὅταν ἐμεῖς κυρίως ἀποστεροῦμε τὸν ἑαυτό μας ἀπὸ τὰ χαρίσματα ποὺ μᾶς ἔχει δώσει, μολονότι εἶναι δυνατὸν νὰ τὰ λάβομε ἄφθονα καὶ νὰ ἐντρυφοῦμε μὲ αὐτά, ἂν θέλομε νὰ ὑποκούομε στοὺς νόμους του, ἀπομακρύνοντας τοὺς πονηροὺς καὶ ἀνόσιους διδασκάλους αὐτῆς τῆς ζωῆς, οἱ ὁποῖοι καὶ τὴν ὀρθότητα τῆς πίστης σπεύδουν νὰ διαλύσουν, καὶ χύνοντας στὶς ψυχὲς τῶν εὐσεβέστερων τὸ δηλητήριο τῆς κακοτροπίας τους τοὺς παρασύρουν στὸ νὰ προτιμοῦν τὰ κακά.

Στίχ. 25-28. «Θ' ἁπλώσω ἐπάνω σου τὸ χέρι μου καὶ θὰ σὲ περάσω ἀπὸ τὴ φωτιὰ τῶν θλίψεων γιὰ νὰ γίνεις καθαρή, ὅσοι ὅμως δὲν ὑπακούουν θὰ τοὺς καταστρέψω καὶ ὅλους τοὺς ὑπερήφανους θὰ τοὺς ταπεινώσω· θὰ ἐπαναφέρω τοὺς δικαστές σου στὴν προηγούμενη θέση τους καὶ τοὺς συμβούλους σου ὅπως ἦταν ἀρχικά. Καὶ μετὰ ἀπὸ αὐτὰ θὰ ὀνομα-

88. Ἑβρ. 10, 31.

καιοσύνης, μητρόπολις πιστὴ Σιών. Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης Καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλείποντες τὸν Κύριον συντελεσθήσονται».

Ἐπάγει τὴν χεῖρα αὐτοῦ Θεός, ὡς πλήττουσαν· τοιοῦτον γάρ πως ἀεὶ τῶν τυπτόντων τὸ σχῆμα. Ὅτι οὐκ ἀνόνητος ἔσται παντελῶς αὐτοῖς ἡ τῆς χειρὸς ἐπαγωγή, τοῦτ' ἔστιν ἡ τῶν δεινῶν ἔφοδός τε καὶ πεῖρα, οὔτε μὴν ἀδιακρίτως ἅπασι τὰ ἐξ ὀργῆς συμβήσεται, φροντίδος δὲ καὶ φειδοῦς ἀξιώσει τοὺς πεπιστευκότας, καὶ τοῖς γνησίοις ἀπονεμεῖν τὴν ἐπὶ τῷ γε δεῖν διασώζεσθαι χάριν διδάσκει σαφῶς. Πάλαι μὲν γὰρ ἡ θεομάχος Ἱερουσαλὴμ ἐκπεπόρνευκε πολυτρόπως διὰ τοῦ λατρεῦσαι θεοῖς ἑτέροις, ἐπήγαγε δὲ αὐτῇ τὴν χεῖρα Θεός, καὶ ὥσπερ τινὶ πυρὶ ταῖς ἐκ τοῦ πολέμου παρεδίδου συμφοραῖς Ἐπειδὴ δὲ πέπομφεν ἐξ οὐρανοῦ τὸν Υἱὸν ὁ Πατὴρ Σωτῆρα καὶ Λυτρωτήν, εἶτα πεπαρώνηκεν εἰς αὐτόν, καὶ τὰ ἐξ ἀκράτου πέπραχεν ἀπονοίας Οὐ διαλέλοιπέ τε ταῖς ἀπειθείαις ἀγρίως περιυβρίζουσα, καίτοι δικαιοῦντα τὸν ἀσεβῆ, καὶ τῶν ἀρχαίων πλημμεληµάτων ἀπαλλάττοντα διὰ τῆς πίστεως. Ἐπήγαγε δὲ αὐτῇ τὴν χεῖρα πάλιν, καὶ οἷόν τις τεχνίτης διέκρινεν ἐν πυρί, καὶ ἅπαν μὲν ὅσον ἦν ἐν αὐτῇ δοκιμώτατόν τε καὶ ἀπόλεκτον γένος τῶν πεπιστευκότων τοῦτο τετήρηκεν ἐν ἑαυτῷ, τό γε μὴν κίβδηλον καὶ ἀδόκιμον παραδέδωκεν εἰς ὄλεθρον καὶ ἀφανισμόν.

Ὥσπερ οὖν οἱ πυρὶ κατατήκοντες ἢ χαλκὸν ἢ ἄργυρον, διακαθαίρουσι τὰς ὕλας, οὕτω κἀγώ, φησί, πυρώσω εἰς καθαρόν. Γέγραπται δέ, ὅτι «Ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως». Εἴρηται δὲ καὶ διὰ φωνῆς ἑνὸς τῶν ἁγίων προφητῶν,

89. Ἡσ. 4, 4.

σθεῖς πόλη δικαιοσύνης, σὺ ἡ Σιών, ἡ πιστὴ μητρόπολη. Μὲ δίκαια δοκιμασία θὰ σωθοῦν οἱ βρισκόμενοι στὴν αἰχμαλωσία καὶ μὲ ἐλεημοσύνη, οἱ ἄνομοι ὅμως θὰ συντριβοῦν καὶ μαζὶ καὶ οἱ ἁμαρτωλοί, καὶ ὅσοι ἐγκαταλείπουν τὸν Κύριο θὰ ἐξολοθρευθοῦν.

Ἁπλώνει ἐπάνω τους ὁ Θεὸς τὸ χέρι, σὰν χέρι ποὺ χτυπᾶ· γιατὶ αὐτὴ εἶναι πάντοτε ἡ κίνηση ἐκείνων ποὺ χτυποῦν. Ὅτι δὲν θὰ εἶναι τελείως ἀνώφελο γι᾽ αὐτοὺς τὸ χτύπημά τους μὲ τὸ χέρι τοῦ Θεοῦ, δηλαδὴ ἡ ἔφοδος καὶ ἡ πεῖρα τῶν δεινῶν, σύτε βέβαια ἡ ὀργὴ θὰ πέσει σ᾽ ὅλους ἀδιακρίτως, ἀλλὰ θὰ φροντίσει καὶ θὰ προσέξει ἐκείνους ποὺ πίστεψαν καὶ στοὺς γνήσιους θ᾽ ἀπονείμει τὴ χάρη τῆς διάσωσης, αὐτὰ τὰ διδάσκει μὲ σαφήνεια. Γιατὶ παλαιὰ ἡ θεομάχος Ἱερουσαλὴμ ἐκπορνεύθηκε μὲ πολλοὺς τρόπους, μὲ τὸ νὰ ἔχει λατρεύσει ἄλλους θεούς, καὶ ὁ Θεὸς κατάφερε τὸ χέρι του ἐπάνω της καὶ τὴν παρέδωσε σὰν στὴ φωτιὰ στὶς συμφορὲς τοῦ πολέμου. Ὅταν ὅμως ἔστειλε ἀπὸ τὸν οὐρανὸ ὁ Πατέρας τὸν Υἱό του ὡς Σωτήρα καὶ Λυτρωτή, τότε παραφρόνησε ἐναντίον του κι ἔπραξε ὅσα τοῦ ὑπαγόρευε ἡ ἄκρατη ἀνοησία της. Καὶ δὲν ἔπαυσε νὰ τὸν ἀτιμάζει ἄγρια μὲ τὶς ἀνυπακοές της, μολονότι δικαίωνε τὸν ἀσεβῆ καὶ μέσω τῆς πίστης τὸν ἀπάλλαττε ἀπὸ τὰ παλαιὰ ἁμαρτήματα. Κατάφερε πάνω της πάλι τὸ χέρι του καὶ σὰν κάποιος τεχνίτης τὴ διαχώρισε μὲ τὴ φωτιά, καὶ ὅσο μέρος τῶν πιστῶν ἦταν σ᾽ αὐτὴν γνησιότατο καὶ ἐκλεκτό, αὐτὸ τὸ κράτησε γιὰ τὸν ἑαυτό του, ὅποιο ὅμως ἦταν κίβδηλο καὶ ὄχι γνήσιο, τὸ παρέδωσε στὸν ὄλεθρο καὶ τὸν ἀφανισμό.

Ὅπως λοιπὸν αὐτοὶ ποὺ λειώνουν στὴ φωτιὰ ἢ χαλκὸ ἢ ἄργυρο, κάνουν τὴν κάθαρση ξεχωρίζοντας τὶς ξένες ὕλες, ἔτσι κι ἐγώ, λέγει, θὰ σὲ περάσω ἀπὸ τὴ φωτιὰ τῆς δοκιμασίας γιὰ νὰ γίνεις καθαρή. Καὶ πράγματι ἔχει γραφεῖ· «Θὰ ξεπλύνει ὁ Κύριος τὸν ρύπο τῶν υἱῶν καὶ τῶν κοριτσιῶν τῆς Σιὼν καὶ θὰ καθαρίσει τὸ αἷμα ἀπὸ ἀνάμεσά τους μὲ ἀπόφαση δίκαιας καταδίκης καὶ μὲ δύναμη φωτιᾶς»[89]. Εἶπε καὶ μέσω ἑνὸς ἄλλου προφήτη· «Ξαφνικὰ

ὅτι «Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ, ὅτι αὐτὸς εἰσπεπόρευται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον». Ἑτεροτρόπως δὲ τοῦτο καὶ ὁ σοφὸς ἡμῖν Ματθαῖος διασαφεῖ λέγων περὶ Χριστοῦ· «Ἐγὼ μὲν γὰρ ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ».

Οὐκοῦν συλλέγεται ὁ μὲν σῖτος εἰς ἀποθήκην, τὸ δὲ ἄχρηστον ἅπαν, τοῦτ' ἔστι τὸ ἄχυρον, πυρὸς εἵρηκεν ἔσεσθαι τροφήν. Καὶ πῶς, εἴ τις ἔλοιτο μαθεῖν, ἡ τῶν προκειμένων σαφηνιεῖ δύναμις Ἔφη γὰρ εὐθύς· «Τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω». Διόλωλε μὲν γὰρ τῶν ἐξ Ἰσραὴλ ἡ πάλαι πληθύς, καὶ εἰς Χριστὸν ἀσεβήσασα καὶ ἀρνησαμένη τὸν λυτρωτήν, ἐξήρηνται δὲ πάντες οἱ ὑπερήφανοι καὶ ζῶντες ἀνόμως, τοῦτ' ἔστιν οἱ τῆς Ἰουδαίων Συναγωγῆς ἡγεμονεύειν λαχόντες, οἱ ἀρχιερεῖς καὶ Φαρισαῖοι. Πῶς γὰρ οὐκ ἂν ἄνομοί τε καὶ ἀλαζόνες, οἱ μήτε τὴν εἰς τὸν νόμον αἰδῶ κἂν γοῦν ὀλίγα τε πεφροντικότες, ἐπαίροντες δὲ καὶ τὸ κέρας εἰς ὕψος καὶ λαλοῦντες κατὰ τοῦ Θεοῦ ἀδικίαν; Εἰρήκασι γάρ, «Ἆρε, ἆρε, σταύρωσον αὐτόν». Ἐξήρηνται δὲ τοῦ καθηγεῖσθαι λαῶν, ἀναδεδειγμένων τῶν ἁγίων ἀποστόλων, περὶ ὧν φησιν, «Ἐπιστήσω

90. Μαλαχ. 3, 1-2.
91. Ματθ. 3, 11-12.
92. Ἰω. 19, 15.

θὰ φτάσει στὸ ναό του ὁ Κύριος, τὸν ὁποῖο ἐσεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, τὸν ὁποῖο σεῖς θέλετε. Νά, ἔρχεται, λέγει ὁ Κύριός, καὶ ποιὸς θὰ ἀντέξει τὴν ἡμέρα τῆς εἰσόδου του; Ἢ ποιὸς θὰ τὸν ὑπομείνει βλέποντάς τον, ἀφοῦ αὐτὸς ἔρχεται σὰν τὴ φωτιὰ τοῦ χωνευτηρίου καὶ σὰν τὸ σταχτόνερο ποὺ χρησιμοποιεῖται γιὰ τὸ πλύσιμο, καὶ θὰ κατεβεῖ γιὰ νὰ χωνεύσει καὶ νὰ καθαρίσει ὅπως τὸ ἀσήμι καὶ τὸ χρυσάφι»[90]. Ἀλλὰ καὶ ὁ σοφὸς Ματθαῖος μᾶς τὸ διαφηνίζει αὐτὸ μὲ ἄλλο τρόπο λέγοντας γιὰ τὸν Χριστό· «Ἐγὼ σᾶς βαπτίζω μὲ νερὸ πρὸς μετάνοια, ἐκεῖνος ὅμως ποὺ ἔρχεται πίσω ἀπὸ ἐμένα εἶναι πιὸ δυνατὸς ἀπὸ μένα, τοῦ ὁποίου ἐγὼ δὲν εἶμαι ἱκανὸς νὰ κρατήσω τὰ ὑποδήματά του· αὐτὸς θὰ σᾶς βαπτίσει μὲ Πνεῦμα ἅγιο καὶ φωτιά. Τὸ φτυάρι βρίσκεται στὸ χέρι του καὶ θὰ καθαρίσει τὸ ἁλώνι του. Θὰ συνάξει τὸ σιτάρι του στὴν ἀποθήκη καὶ τὸ ἄχυρο θὰ τὸ κατακάψει σὲ φωτιὰ ἄσβεστη»[91].

Συλλέγεται λοιπὸν τὸ σιτάρι στὴν ἀποθήκη, ἐνῶ ὅλο τὸ ἄχρηστο, δηλαδὴ τὸ ἄχυρο, εἶπε ὅτι θὰ γίνει τροφὴ τῆς φωτιᾶς. Καὶ πῶς θὰ γίνει αὐτό, ἂν θελήσει νὰ τὸ μάθει κανείς, θὰ τὸ διασαφηνίσει τὸ νόημα αὐτῶν ποὺ ἐξετάζομε. Γιατὶ εἶπε ἀμέσως· «Τοὺς ἀνυπάκοους ὅμως θὰ τοὺς καταστρέψω καὶ θὰ ἐξαφανίσω ὅλους τοὺς ἄνομους ἀπὸ κοντά σου καὶ θὰ ταπεινώσω ὅλους τοὺς ὑπερήφανους». Πράγματι τὸ παλαιὸ πλῆθος τῶν Ἰσραηλιτῶν, ποὺ ἔδειξε ἀσέβεια στὸν Χριστὸ καὶ ἀρνήθηκε τὸν Λυτρωτὴ χάθηκε, ἐνῶ ὅλοι οἱ ὑπερήφανοι καὶ οἱ ἄνομοι, δηλαδὴ ὅσοι ἔλαχε νὰ εἶναι ἡγέτες τῆς Ἰουδαϊκῆς Συναγωγῆς, οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, ἐξολοθρεύθηκαν. Πῶς δηλαδὴ δὲν ἦταν ἄνομοι καὶ ἀλαζόνες ἐκεῖνοι ποὺ οὔτε κἂν ἐνδιαφέρθηκαν ἔστω καὶ λίγο γιὰ τὸ σεβασμὸ τοῦ νόμου, ἀπεναντίας μάλιστα μεγάλωναν τὴν ἀλαζονεία τους καὶ μιλοῦσαν μὲ τρόπο ἄδικο ἐναντίον τοῦ Θεοῦ; Πράγματι ἔλεγαν· «Πάρε τον, πάρε τον, σταύρωσε τον»[92]. Ἐξαιρέθηκαν ὅμως ἀπὸ τὴν ἡγεσία τοῦ λαοῦ καὶ ἀναδείχθηκαν ἡγέτες οἱ ἅγιοι ἀπόστολοι, γιὰ τοὺς ὁποίους λέγει· «Θὰ ἐγκαταστήσω

τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπαρχῆς». Γεγόνασι δὲ κατ' οὐδὲν ἐλάττους τῶν ἀρχαιοτέρων ἁγίων οἱ θεσπέσιοι μαθηταί, οὓς καὶ κριτὰς ὀνομάζει, καὶ συμβούλους ἀποκαλεῖ.

Δεδράκασι γὰρ ἀμφότερα, τοῖς ἁμαρτάνουσιν ἐπιπλήττοντες ὡς κριταί, συμβουλεύοντες δὲ τοῖς ἠσθενηκόσι τὰ πρὸς εὐρωστίαν αὐτοῖς χρήσιμα τὴν πνευματικήν. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος τὸν ἐν Κορίνθῳ πεπορνευκότα παραδίδου μὲν τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ Πνεῦμα σωθῇ, βουλὰς δὲ δίδωσιν ἀγαθάς, καὶ φησιν· «Ἐὰν δέ τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν». Περὶ τῶν ἐνθάδε λεγομένων κριτῶν ἤτοι συμβούλων καὶ ὁ μακάριος Δαβὶδ ἐν Πνεύματι ἁγίῳ πρὸς αὐτὴν ἔφη τὴν Ἱερουσαλήμ, «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου», τοῦτ' ἔστιν, Ἐν τάξει πατέρων γεγόνασί σοι τὰ τέκνα· καὶ γὰρ ἦσαν Ἰουδαῖοι καὶ υἱοὶ τῆς τὸ τηνικάδε Συναγωγῆς οἱ θεσπέσιοι μαθηταί. Ὅτι δὲ πατέρες γεγόνασι τῶν πεπιστευκότων, ἄκουε Παύλου λέγοντος, «Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα». Καὶ πάλιν· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Διαμέμνηται δὲ καὶ ἕτερος ἡμῖν τῶν ἁγίων προφητῶν αὐτοῦ, περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ καὶ τῆς ἀναδείξεως τῶν ἁγίων αὐτοῦ μαθητῶν, καί φησιν· «Ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν».

Οἱ μὲν γὰρ τῆς Ἰουδαίων Συναγωγῆς ἡγούμενοι, καὶ ζωῆς εἶχοντο τῆς ἐκνομωτάτης, καὶ τὸ μετὰ κρίσεως, τοῦτ' ἔστι δικαιοσύνης, ἄρχειν οὐκ ἤδεσαν. Βασιλεύσαντος δὲ Χριστοῦ τῆς ὑπ' οὐρανόν, δίκαιοί τε καὶ ἀγαθοί, καὶ μετὰ κρίσεως ἄρχοντες, οἱ θεσπέσιοι γεγόνασι μαθηταί, ὧν ἀναδεδειγμένων, κέκληται πάλιν πόλις δικαιοσύνης καὶ μη-

93. Α' Κορ. 5, 5, 11. 94. Ψαλμ. 44, 17.

τοὺς κριτές σου ὅπως ἦταν πρῶτα, καὶ τοὺς συμβούλους σου ὅπως ἦταν στὴν ἀρχή». Καὶ οἱ θεσπέσιοι μαθητὲς δὲν ἔγιναν καθόλου κατώτεροι ἀπὸ τοὺς ἀρχαίους ἁγίους, τοὺς ὁποίους ὀνομάζει καὶ κριτὲς καὶ τοὺς ἀποκαλεῖ συμβούλους.

Πραγματικὰ ἀσκοῦσαν καὶ τὰ δύο ἔργα· καὶ ἐπέπληττταν ὡς κριτές, καὶ συμβούλευαν ἐκείνους ποὺ ἦταν ἀσθενεῖς τὰ χρήσιμα γιὰ τὴν πνευματική τους εὐρωστία. Καὶ πράγματι ὁ σοφώτατος Παῦλος ἐκεῖνον ποὺ εἶχε πορνεύσει στὴν Κόρινθο τὸν παρέδωσε βέβαια στὸν Σατανὰ πρὸς ὄλεθρο τῆς σάρκας, γιὰ νὰ σωθεῖ τὸ Πνεῦμα, διατυπώνει ὅμως ἀγαθὲς συμβουλὲς καὶ λέγει· «Ἂν κάποιος, ποὺ ὀνομάζεται ἀδελφός, εἶναι ἢ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ ὑβριστὴς ἢ μέθυσος ἢ ἅρπαγας, μὲ αὐτὸν νὰ μὴ συντρώγετε»[93]. Γιὰ τοὺς κριτὲς ποὺ ἀναφέρονται ἐδῶ ἢ τοὺς συμβούλους εἶπε καὶ ὁ μακάριος Δαβὶδ γιὰ τὴν Ἱερουσαλὴμ ἐμπνευσμένος ἀπὸ τὸ ἅγιο Πνεῦμα· «Ἀντὶ τῶν πατέρων σου ἔγιναν οἱ υἱοί σου»[94], δηλαδή, Τὴ θέση τῶν πατέρων σου τὴν πῆραν τὰ παιδιά σου. Γιατὶ οἱ θεσπέσιοι μαθητὲς ἦταν Ἰουδαῖοι καὶ τέκνα τῆς τότε Συναγωγῆς. Ὅτι βέβαια ἔγιναν πατέρες ἐκείνων ποὺ εἶχαν πιστέψει, ἄκουσε τί λέγει ὁ Παῦλος· «Ἐγὼ σᾶς γέννησα μέσω τοῦ Εὐαγγελίου στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ»[95]. Καὶ πάλι· «Παιδιά μου, γιὰ τὰ ὁποῖα πάλι νοιώθω τοὺς πόνους τῆς γέννας, μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[96]. Ἀλλὰ καὶ κάποιος ἄλλος ἀπὸ τοὺς ἁγίους προφῆτες του κάνει λόγο γιὰ τὸν Σωτήρα ὅλων μας Χριστὸ καὶ τὴν ἀνάδειξη τῶν ἁγίων μαθητῶν του, καὶ λέγει· «Νά, θὰ βασιλεύσει βασιλιὰς δίκαιος καὶ θὰ κυβερνήσουν ἄρχοντες μὲ δικαιοσύνη»[97].

Οἱ προϊστάμενοι λοιπὸν τῆς Ἰουδαϊκῆς Συναγωγῆς καὶ ζωὴ ἔκαναν τελείως παράνομη, καὶ δὲν γνώριζαν νὰ ἀσκοῦν τὴν ἐξουσία μὲ κρίση, δηλαδὴ μὲ δικαιοσύνη. Ὅταν ὅμως ἔγινε ὁ Χριστὸς βασιλιὰς τῆς ὑφηλίου, τότε ἄρχοντες ἔγιναν οἱ θεσπέσιοι μαθητές, δίκαιοι καὶ ἀγαθοὶ καὶ μὲ δικαιοσύνη, μετὰ τὴν ἀνάδειξη τῶν ὁποίων ὀνομάσθηκε πάλι πόλη δικαιοσύνης καὶ μητρό-

95. Α΄ Κορ. 4, 15. 96. Γαλ. 4, 19. 97. Ἡσ. 32, 1.

τρόπολις πιστὴ Σιών, τοῦτ' ἔστιν ἡ Ἐκκλησία. Ὅτι δὲ οὐκ ἀδιακρίτως, ὡς ἔφην, ἀλλ' ἐν φροντίδι καὶ λόγῳ τῷ μετὰ δικαιοσύνης ἡ παρὰ Θεοῦ γέγονε πύρωσις, ἤτοι δοκιμασία, φανερὸν καθίστησι τὸ εὐδοκιμῆσαν γένος διὰ τῆς πίστεως· προσεπάγει λέγων, «Ὅτι μετὰ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης, καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν Κύριον συντελεσθήσονται». Διακεκριμένων γὰρ ἤδη τῶν γενῶν, καὶ τοῦ μὲν πεπιστευκότος εὐδοκιμοῦντος, ὡς ἔφην, θατέρου γε μὴν οὐ μετρίως προσκεκρουκότος, σέσωσται μὲν τὸ ἀπόλεκτον, ὠλόθρευτο δὲ πᾶν ὅσον ἦν ἐν αὐτοῖς βδελυρὸν καὶ ἀπηχθημένον καὶ ἀπονοίας σύντροφον, καὶ βεβιωκὸς ἀνοσίως, καὶ Χριστοῦ μὴ πεφροντικὸς τοῦ σώζειν εἰδότος, καὶ ἀνιέντος ἐγκλήματα καὶ δικαιοῦντος τῇ χάριτι.

Στίχ 29-30. «Διότι καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν ἐπὶ τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν. Ἔσονται γὰρ ὡς τερέβινθος, ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων».

Ἔφην ὅτι διττὴν ἐν τούτοις ὁ τοῦ προφήτου λόγος ποιεῖται τὴν πρόφασιν τῆς Ἰουδαίων ἀποβολῆς. Διττὰ γὰρ αὐτῶν τὰ ἐγκλήματα. Πάλαι μὲν γὰρ Θεὸν ἀφέντες, τὸν ἕνα καὶ φύσει καὶ λυτρωτήν, λελατρεύκασιν εἰδώλοις, καὶ τεθύκασι θυσίας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν τὸ σέβας ἀνάπτοντες, δεδυσσεβήκασιν οὐ μετρίως. Ἐπειδὴ δὲ Θεὸς Κύριος ἐπέφανεν ἡμῖν, κατὰ τὰς Γραφάς, ἠρνήσαντο καὶ αὐτὸν καὶ πεπαρῳνήκασιν οὐ μετρίως εἰς τὸν τῆς ζωῆς ἀρχηγόν. Οὐκοῦν ἀδελφὰ τὰ ἐγκλήματα, καὶ τῆς ἀπονοίας ὁ τρόπος οὐκ ἀπεοικὼς τῷ πρώτῳ, μᾶλλον δὲ καὶ ἐν αἰτίᾳ ἀπονοίας μείζονι. Καὶ ἐκολάζοντο

πολη πιστὴ ἡ Σιών, δηλαδὴ ἡ Ἐκκλησία. Ὅτι ὅμως ἡ πύρωση, δηλαδὴ ἡ δοκιμασία, ἔγινε, ὅπως εἶπα, ἀπὸ τὸν Θεὸ ὄχι χωρὶς διάκριση, ἀλλὰ μὲ φροντίδα καὶ μὲ λόγο δικαιοσύνης, τὸ κάνει φανερὸ τὸ γένος ποὺ εὐδοκίμησε μὲ τὴν πίστη· γιατὶ προσθέτει τὰ ἑξῆς· «Μὲ δίκαια δοκιμασία καὶ ἀπόφαση θὰ σωθοῦν οἱ βρισκόμενοι στὴν αἰχμαλωσία καὶ μὲ ἐλεημοσύνη, οἱ ἄνομοι ὅμως θὰ συντριβοῦν καὶ μαζὶ καὶ οἱ ἁμαρτωλοί, καὶ ὅσοι ἐγκαταλείπουν τὸν Κύριο θὰ ἐξολοθρευθοῦν». Εἶχαν δηλαδὴ χωρισθεῖ ἤδη τὰ γένη, καὶ ἐκεῖνοι βέβαια ποὺ πίστεψαν ἐυδοκιμοῦσαν, ὅπως εἶπα, ἐνῶ οἱ ἄλλοι, ἐπειδὴ εἶχαν προσκρούσει στὸν Θεὸ ὄχι καὶ λίγο, τὸ ἐκλεγμένο βέβαια μέρος σώθηκε, ἀφανίσθηκαν ὅμως ὅλοι ὅσοι ἀπὸ αὐτοὺς ἦταν βδελυροὶ καὶ μισητοὶ καὶ σύντροφοι τῆς παραφροσύνης, καὶ ζοῦσαν ἀνόσια ζωή, ἀδιαφορώντας γιὰ τὸν Χριστὸ ποὺ γνωρίζει νὰ σώζει, νὰ συγχωρεῖ τὰ ἐγκλήματα, καὶ νὰ χαρίζει τὴ δικαίωση μὲ τὴ χάρη του.

> Στίχ. 29-30. «Γιατὶ θὰ καταντροπιασθοῦν γιὰ τὰ εἴδωλά τους ποὺ αὐτοὶ οἱ ἴδιοι ἤθελαν, καὶ θὰ νοιώσουν αἰσχύνη γιὰ τὰ λατρευτικὰ ἄλση τους ποὺ ἐπιθύμησαν. Γιατὶ θὰ γίνουν σὰν τὸ δένδρο τερέβινθος ποὺ ἔπεσαν τὰ φύλλα του, καὶ σὰν κῆπος ποὺ δὲν ἔχει νερό».

Εἶπα ὅτι ὁ προφητικὸς λόγος παρουσιάζει μὲ αὐτὰ διπλῆ τὴν αἰτία τῆς ἀποβολῆς τῶν Ἰουδαίων. Γιατὶ ἦταν διπλὰ καὶ τὰ ἐγκλήματά τους. Παλαιὰ δηλαδή, ἀφήνοντας τὸν ἕνα καὶ ἀπὸ τὴ φύση του Θεὸ καὶ λυτρωτή, λάτρευσαν τὰ εἴδωλα καὶ πρόσφεραν θυσίες στὴν οὐράνια στρατιὰ τῶν δαιμόνων, καὶ ἀποδίδοντας τὸ σεβασμό τους στὰ ἔργα τῶν ἴδιων τους τῶν χεριῶν, διέπραξαν ἀσέβεια ὄχι μικρή. Ὅταν ὅμως ὁ Κύριος καὶ Θεός μας φανερώθηκε σ᾽ ἐμᾶς, σύμφωνα μὲ τὶς Γραφές, τὸν ἀρνήθηκαν κι αὐτὸν καὶ φέρθηκαν μὲ ὄχι μικρὴ παραφροσύνη ἐναντίον τοῦ ἀρχηγοῦ τῆς ζωῆς. Εἶναι λοιπὸν τὰ ἐγκλήματα ἀδελφικὰ καὶ ὁ τρόπος τῆς παραφροσύνης δὲν ἦταν διάφορος ἀπὸ τὸν πρῶτο, καὶ μᾶλλον ὁ παραλογισμός τους ἦταν πολὺ πιὸ ἀξιοκατάκριτος. Καὶ τιμω-

μὲν κατά γε τοὺς πρὸ τῆς ἐπιδημίας καιροὺς ταῖς τῶν πολεμίων ἐφόδοις, πόλεων ἐμπρησμοῖς, οἴκων ἀνατροπαῖς ..... Ταῦτα γὰρ ἔδρων ἐφιέντος Θεοῦ, Πέρσαι τε καὶ Μῆδοι, Μωαβῖται καὶ Ἰδουμαῖοι καὶ τὰ περίοικα τῶν ἐθνῶν. Ἐπειδὴ δέ, ὡς ἔφην, καὶ εἰς αὐτὸν ἠσέβησαν τὸν Χριστόν, οὐκ ἐν μείοσι τῶν ἀρχαιοτέρων γεγόνασι κακῶν. Περιπεπτώκασι γὰρ ταῖς Ῥωμαίων στρατιαῖς, οἳ καὶ πᾶσαν ἄρδην ὠλόθρευσαν Ἰουδαίαν, ἐπαμύνοντος οὐδενός, ἦγουν ἐξελέσθαι δυναμένου καὶ τῆς οὕτω πικρᾶς ἐξελέσθαι συμφορᾶς Ταύτῃ τοί φησιν, ὅτι «Καταισχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν ἐν τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν». Ἄλση μὲν γὰρ καὶ δρυμοὺς καταλαμβάνοντες, εἶτα τοῖς εὐμηκεστέροις τῶν φυτῶν εἴδωλα περιιδρύσαντες, ἐγείροντές τε βωμούς, σωτῆρας ἐπεκάλουν, τοὺς ψευδωνύμους θεούς, καὶ ἐπ' αὐτοῖς τοῖς ἔργοις τῶν ἰδίων χειρῶν πᾶσαν ἔθεντο τὴν ἐλπίδα, τὴν τοῦ δύνασθαι κατευμεγεθεῖν ἐχθρῶν καὶ καταγωνίζεσθαι ῥᾳδίως τοὺς ἀνθεστηκότας Ἐπειδὴ δὲ οἱ μὲν πολέμιοι παρῆσαν, καὶ δεδράκασι τὰ ἐχθρῶν, ἀπομεμένηκε δὲ παρὰ τῶν ἰδίων θεῶν ἀνεπικούρητος Ἰσραήλ, κατῃσχύνθησαν ἐπὶ τοῖς εἰδώλοις αὐτῶν. Τεθέανται γὰρ αὐτοὺς καὶ πρό γε τῶν ἄλλων ἐμπιπραμένους ὁμοῦ τοῖς κήποις, ἦγουν τοῖς ἄλσεσι, καὶ αὐτοῖς τεμένεσι καὶ βωμοῖς

Οὐκοῦν διημαρτήκασι τῆς ἐλπίδος, ὅτε παθόντας τεθέανται τοὺς ἑαυτῶν θεούς, τότε συνέντες μόλις τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς εἰρημένον παρὰ Θεοῦ· «Καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; εἰ ἀναστήσονται καὶ σώσουσί σε ἐν καιρῷ τῆς κακώσεώς σου;». Παθόντες τοίνυν τὴν ἐντροπὴν τὴν ἐπί γε τοῖς ἰδίοις θεοῖς, οὓς ἐπεθύμησαν αὐτοί, καὶ μέντοι τοῖς κήποις, ἔσονται ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων· τοῦτ' ἔστι γυμνοί τε καὶ ἀτιμότατοι καὶ πολὺ νο-

98. Ἰερ. 2, 28.

ροῦνταν βέβαια κατὰ τοὺς καιροὺς πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Κυρίου μὲ ἐπιθέσεις τῶν ἐχθρῶν, μὲ ἐμπρησμοὺς τῶν πόλεων, μὲ γκρέμισμα τῶν σπιτιῶν... Αὐτὰ ἀσφαλῶς τὰ ἔκαναν κατὰ παραχώρηση τοῦ Θεοῦ, Πέρσες καὶ Μῆδοι, Μωαβῖτες καὶ Ἰδουμαῖοι καὶ τὰ γειτονικὰ ἔθνη. Ἐπειδὴ ὅμως, ὅπως εἶπα, ἔδειξαν ἀσέβεια καὶ πρὸς τὸν ἴδιο τὸν Χριστό, δὲν ἔπαθαν συμφορὲς μικρότερες ἀπὸ τὶς παλαιότερες. Πράγματι περιέπεσαν στὴ βία τῶν Ρωμαϊκῶν στρατευμάτων, τὰ ὁποῖα ἐξολόθρευσαν ἐκ θεμελίων ὅλη τὴν Ἰουδαία, χωρὶς νὰ τὴν ὑπερασπισθεῖ κανένας, δηλαδὴ χωρὶς νὰ μπορεῖ νὰ τὴ σώσει καὶ νὰ τὴν ἀπαλλάξει ἀπὸ τὴν τόσο πικρὴ συμφορά. Γι' αὐτὸ λέγει, «θὰ καταντροπιασθοῦν γιὰ τὰ εἴδωλά τους, τὰ ὁποῖα οἱ ἴδιοι ἤθελαν, καὶ ἔνοιωσαν αἰσχύνη γιὰ τὰ λατρευτικά τους ἄλση ποὺ ἐπιθύμησαν». Γιατὶ πηγαίνοντας σὲ ἄλση καὶ δρυμούς, ἀφοῦ ἔστησαν τὰ εἴδωλά τους κάτω ἀπὸ τὰ πανύψηλα δένδρα καὶ ἔχτισαν βωμούς, καλοῦσαν σωτῆρες τους τοὺς ψευδώνυμους θεούς, καὶ στήριξαν ὅλη τους τὴν ἐλπίδα στὰ ἔργα τῶν χεριῶν τους, τὴν ἐλπίδα ὅτι θὰ ὑπερισχύσουν τῶν ἐχθρῶν τους καὶ θὰ νικήσουν εὔκολα ποὺς ἀντιπάλους τους. Ὅταν ὅμως τοὺς ἐπιτέθηκαν οἱ ἐχθροὶ καὶ ἔκαναν αὐτὰ ποὺ κάνουν οἱ ἐχθροὶ καὶ ἔμεινε ὁ Ἰσραὴλ ἀβοήθητος ἀπὸ τοὺς ἴδιους του τοὺς θεούς, τότε καταντροπιάσθηκαν γιὰ τὰ εἴδωλά τους. Γιατὶ τοὺς εἶδαν καὶ πρὶν ἀπὸ τὰ ἄλλα νὰ τοὺς πυρπολοῦν μαζὶ μὲ τοὺς κήπους, δηλαδὴ τὰ ἄλση, καὶ μαζὶ μὲ τὰ τεμένη καὶ τοὺς βωμούς.

Διαψεύσθηκαν λοιπὸν στὴν ἐλπίδα τους, ὅταν εἶδαν τί ἔπαθαν οἱ θεοί τους, καὶ τότε μόλις κατάλαβαν ἐκεῖνο ποὺ εἶπε ὁ Θεὸς μέσω τοῦ προφήτη· «Καὶ ποῦ εἶναι οἱ θεοί σου τοὺς ὁποίους ἔφτιαξες γιὰ τὸν ἑαυτό σου; Μήπως θ' ἀναστηθοῦν γιὰ νὰ σὲ σώσουν τὸν καιρὸ τῆς κακοπάθειάς σου;»[98]. Ἀφοῦ λοιπὸν δοκίμασαν τὴ ντροπὴ γιὰ τοὺς θεούς τους, ποὺ οἱ ἴδιοι ἐπιθύμησαν, καὶ βέβαια καὶ γιὰ τὰ ἄλση τους, θὰ γίνουν σὰν τὸ φυτὸ τερέβινθος ποὺ ἔπεσαν τὰ φύλλα του, καὶ σὰν κῆπος ποὺ δὲν ἔχει νερό, δηλαδὴ γυμνοὶ καὶ περιφρονημένοι, καὶ ὑποφέροντας ἀπὸ μεγά-

σοῦντες τὴν ἀκαρπίαν, δῆλον δὲ ὅτι τὴν νοητὴν τὴν ἐν πράξεσιν ἀγαθαῖς Ἡ μὲν γὰρ τερέβινθος, ἤγουν ἕτερόν τι τῶν φυτῶν, ἕως μὲν ταῖς ἰδίαις ἄνθαις ὁρᾶται κατάκομον, τὴν αὐτῷ πρέπουσαν ἀποσώζει δόξαν, ἀποβεβληκὸς δὲ τὰ φύλλα, ξηρὸν ἔσται καὶ ἀκαλλὲς καὶ οἷον ἠτιμασμένον. Παράδεισος δὲ πάλιν, εἰ μὲν ἔχοι πηγάς, εὐδενδρότατος ἔσται τις καὶ ταῖς τῶν καρπῶν ἀφθονίαις πολυειδῶς ἐναβρύνεται, ξηρὸς δὲ καὶ ἄνυδρος ὤν, ἔσται που πάντως ἐν ἀκαρπίᾳ, μᾶλλον δὲ καὶ αὐτῶν νοσήσει τὴν ἐρημίαν.

Ἄτιμος τοίνυν καὶ ἄκαρπος ἀπομεμένηκεν ὁ Ἰσραήλ. Ποῖος γάρ ἐστι καρπὸς ἀρετῆς ἐν τοῖς τῶν εἰδώλων θεραπευταῖς; Ἢ πῶς οὐχ ἁπάσης ἀτιμίας ἔμπλεως, ὁ Θεὸν ἀφεὶς τὸν ἕνα καὶ φύσει, «καὶ λέγων τῷ ξύλῳ, Πατήρ μου εἶ σύ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με»; Ἔσται δὲ καὶ ἑτέρως Ἰσραὴλ ὡς τερέβινθος, ἀποβεβληκυῖα τὰ φύλλα. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, τὴν τοῦ νόμου τηροῦντες σκιάν, προσεοίκεσαν φυτοῖς, καρπὸν μὲν οὐκ ἔχουσι, πλὴν εὖ μάλα περιηνθισμένοις ταῖς τῶν φύλλων ἐκβολαῖς, ἐπειδὴ δὲ προσκεκρούκασι τῷ Χριστῷ, καὶ αὐτὴν ἀποβεβλήκασι τὴν τῆς σκιᾶς τήρησιν. Οὐ γὰρ ἔτι τηροῦσι τὰς κατὰ νόμον θυσίας, οὔτε μὴν τοῖς νομικοῖς αὐχήμασιν ἐπισεμνύνονταί ποθεν, ὀλίγιστα δὲ κατὰ πόλεις τῶν ἀρχαίων τηροῦντες ἐθῶν, ἄκαρποί εἰσιν καὶ ἠτιμωμένοι· καὶ μάλα εἰκότως Ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ

Στίχ. 31. «Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ ἡ ἐργασία αὐτῶν ὡς σπινθῆρες πυρός, καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων».

Ὁ σοφὸς εἴρηκεν Σολομών, ὅτι «Σειραῖς τῶν ἑαυτοῦ

99. Ἱερ. 2, 27.

λη ἀκαρπία, ἐννοεῖται πνευματική, ἀκαρπία σέ πράξεις ἀγαθές. Γιατί ἡ Τερέβινθος, ἢ κάποιο ἄλλο φυτό, ὅσον καιρὸ φαίνεται κατάμεστο ἀπὸ τὰ ἴδια του τὰ ἄνθη, διατηρεῖ τὴ λαμπρότητα ποὺ τοῦ πρέπει, ὅταν ὅμως ρίξει τὰ φύλλα του, μένει ξερὸ καὶ ἄσχημο καὶ σὰν περιφρονημένο. Ὁ κῆπος πάλι, ἂν βέβαια ἔχει πηγές, εἶναι γεμᾶτος ἀπὸ ὡραῖα δένδρα καὶ καμαρώνει γιὰ τοὺς ἄφθονους καὶ ποικίλους καρπούς, ὅταν ὅμως εἶναι ξηρὸς καὶ χωρὶς νερό, μαστίζεται ὁπωσδήποτε ἀπὸ ἀκαρπία, καὶ μᾶλλον θὰ ἐρμωθεῖ καὶ ἀπὸ αὐτὰ τὰ ἴδια τὰ δένδρα.

Ἔμεινε λοιπὸν περιφρονημένος καὶ ἄκαρπος ὁ Ἰσραήλ. Γιατὶ ποιὸς καρπὸς ἀρετῆς ὑπάρχει στοὺς λατρευτὲς τῶν εἰδώλων; Ἢ πῶς δὲν εἶναι γεμᾶτος ἀπὸ περιφρόνηση αὐτὸς ποὺ ἄφησε τὸν ἕνα καὶ ἀπὸ τὴ φύση του Θεὸ «καὶ λέγει στὸ ξύλο, Πατέρας μου εἶσαι ἐσύ, καὶ στὴν πέτρα, «Ἐσὺ μὲ γέννησες»[99]; Θὰ εἶναι καὶ μ᾽ ἄλλο τρόπο ὁ Ἰσραὴλ σὰν τὴν τερέβινθο ποὺ ἔπεσαν τὰ φύλλα της. Πρὶν δηλαδὴ ἀπὸ τὸν ἐρχομὸ τοῦ Σωτήρα, τηρώντας τὴ σκιὰ τοῦ νόμου, ἔμοιαζαν μὲ φυτά, ποὺ δὲν ἔχουν βέβαια καρπό, ἀλλ᾽ εἶναι ὁλόγυρα στολισμένα μὲ πλούσια φυλλωσιά. Ὅταν ὅμως προσέκρουσαν στὸν Χριστό, ἀπέβαλαν καὶ αὐτὴν τὴν ἴδια τὴ διατήρηση τῆς σκιᾶς. Γιατὶ δὲν τηροῦν πιὰ τὶς θυσίες τοῦ νόμου, οὔτε καυχῶνται κατὰ κάποιο τρόπο γιὰ τὶς τιμὲς ποὺ παρέχει ὁ νόμος, ἀλλὰ τηρώντας ἐλάχιστα ἀπὸ τὰ ἀρχαῖα ἔθιμα στὶς πόλεις, εἶναι ἄκαρποι καὶ περιφρονημένοι, καὶ πολὺ εὔλογα. Γιατὶ σκότωσαν τὸν ἀρχηγὸ τῆς ζωῆς, τὸν ὁποῖο ὁ Θεὸς ἀνέστησε ἀπὸ τοὺς νεκροὺς[100] καταργώντας τοὺς πόνους τοῦ θανάτου, ἐπειδὴ δὲν ἦταν δυνατὸ νὰ κρατηθεῖ αὐτὸς ἀπὸ τὸν θάνατο.

Στίχ. 31. Ἡ δύναμή τους θὰ εἶναι σὰν κοπανισμένη καλαμιὰ λιναριοῦ καὶ τὰ ἔργα τους σὰν σπίθες φωτιᾶς, καὶ θὰ κατακαοῦν οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ μαζί, καὶ δὲν θὰ ὑπάρχει αὐτὸς ποὺ θὰ σβήσει τὴ φωτιά.

Ὁ σοφὸς Σολομὼν εἶπε, ὅτι «Καθένας σφίγγεται ἀπὸ τὴν

100. Πράξ. 3, 15.

ἁμαρτιῶν ἕκαστος σφίγγεται»· καὶ ἀληθὴς ὁ λόγος. Ἑκάστῳ γὰρ ἡμῶν τὰ ἴδια πλημμελήματα προξενεῖ τὸν ὄλεθρον, καὶ τὰς ἐκ θείας ὀργῆς ἐπιφέρει δίκας, ὁποῖόν τι πεπόνθασιν οἱ ἐξ Ἰσραήλ. Εἰργάσαντο μὲν γὰρ ἑαυτοῖς τοὺς ψευδωνύμους θεούς, καὶ ἐπ' αὐτοῖς ἐσχήκασι τὴν ἐλπίδα τοῦ δύνασθαι κατακρατεῖν ἐχθρῶν. Ἀλλ' αὐτὸ δὴ τοῦτο γέγονεν αὐτοῖς μονονουχὶ πῦρ τε καὶ ξύλα. Διὰ γὰρ ταύτην τὴν πλημμέλειαν δέδονται πυρί, καὶ τοῦτο ἀσβέστῳ, τοῦτ' ἔστι δειναῖς τε καὶ ἀκαταλήκτοις συμφοραῖς, ἐπαμύνοντος οὐδενός. Καὶ τοῦτο ἡμῖν σαφὲς καθίστησι, λέγων· «Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ ἡ ἐργασία αὐτῶν ὡς σπινθῆρες πυρός». Ἡ προσδοκηθεῖσα, φησίν, ἔσεσθαι δύναμις αὐτοῖς, ἔσται ὡς καλάμη στιππύου, τοῦτ' ἔστι τροφὴ πυρὸς καὶ ὑπέκκαυμα, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν ὡς πυρὸς σπινθῆρες ἀκοντιζόμενοι κατ' αὐτῶν. «Καυθήσονται οὖν οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα». Παραιτητέον τοίνυν τὸ προσκρούειν Θεῷ, καὶ τὸ δρᾶν ἐκεῖνα .... Αὐτὰ γὰρ ἡμῶν τὰ ἔργα, καὶ πῦρ ἡμῖν ἔσται καὶ τροφὴ πυρός, καθάπερ ἀμέλει καὶ τὰ ἐκ πράξεων ἀγαθῶν αὐχήματα, καὶ ζωῆς καὶ δόξης ἐμποιητικὰ τοῖς κατορθοῦσιν εὑρίσκεται.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΕΦ. 2, στίχ. 1. «Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἡσαΐαν, υἱὸν Ἀμώς, περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ».

Συγγενῆ τοῖς φθάσασι τὰ προκείμενα καὶ διὰ τῶν ἴσων ἐννοιῶν ἐρχόμενα κατίδοι τις ἂν αὐτά, λεπτὸν ἐπιστήσας τοῖς θεωρήμασι τῆς διανοίας τὸν νοῦν. Γεγόνασι γὰρ οἱ

1. Παροιμ. 5, 22. 2. Τὸ χάσμα συμπληρώνεται ἀπὸ τὸ λατινικὸ κείμενο.

ἁλυσίδα τῶν ἁμαρτιῶν του»[1], καὶ ὁ λόγος του εἶναι ἀληθής. Γιὰ στὸν καθένα μας τὰ ἴδια του τὰ πλημμελήματα προκαλοῦν τὸν ὄλεθρό του καὶ τοῦ προξενοῦν τὴν τιμωρία τὴν προερχόμενη ἀπὸ τὴ θεία ὀργή, πρᾶγμα ποὺ ἔπαθαν οἱ Ἰσραηλίτες. Ἔφτιαξαν δηλαδὴ τοὺς ψευδώνυμους θεούς τους καὶ πάνω σ' αὐτοὺς στήριξαν τὴν ἐλπίδα τους νὰ μπορέσουν νὰ νικήσουν τοὺς ἐχθρούς τους. Αὐτὸ ὅμως τὸ πρᾶγμα ἔγινε γι' αὐτοὺς κατὰ κάποιο τρόπο φωτιὰ καὶ ξύλα. Γιατὶ ἐξαιτίας αὐτοῦ τοῦ πλημμελήματος παραδόθηκαν στὴ φωτιά, καὶ μάλιστα ἄσβεστη, δηλαδὴ σὲ φοβερὲς καὶ ἀτελείωτες συμφορές, μὴ ἔχοντας κανένα ὑπεράσπιστή. Καὶ αὐτὸ μᾶς τὸ κάνει σαφὲς λέγοντας· «Καὶ ἡ δύναμή τους θὰ εἶναι σὰν κοπανισμένη καλαμιὰ λιναριοῦ καὶ τὰ ἔργα τους σὰν σπίθες φωτιᾶς». Ἡ δύναμη, λέγει, ποὺ περίμεναν νὰ ἀποκτήσουν θὰ εἶναι σὰν κοπανισμένη καλαμιὰ λιναριοῦ, δηλαδὴ τροφὴ καὶ προσάναμμα τῆς φωτιᾶς, καὶ τὰ ἔργα τῶν χεριῶν τους σὰν σπίθες ποὺ ἐξακονίζονται ἀπὸ τὴ φωτιά. «Θὰ κατακαοῦν λοιπὸν οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ μαζί». Πρέπει λοιπὸν νὰ ἀποφεύγομε νὰ προσκρούομε στὸν Θεὸ καὶ νὰ κάνομε ἀνόητα ἐκεῖνα ποὺ ἐρεθίζουν εἰς βάρος μας τὸν παντοδύναμο[2]. Γιατὶ αὐτὰ τὰ ἔργα μας καὶ φωτιὰ θὰ εἶναι γιὰ μᾶς καὶ τροφὴ τῆς φωτιᾶς, ὅπως βέβαια καὶ τὰ καυχήματα ἀπὸ τὶς ἀγαθὲς πράξεις συμβαίνει νὰ παρέχουν ζωὴ καὶ δόξα σ' αὐτοὺς ποὺ τὰ κατορθώνουν.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΕΦ. 2, στίχ. 1. «Ὁ λόγος ποὺ εἶπε ὁ Κύριος στὸν Ἡσαΐα, υἱὸ τοῦ Ἀμώς, γιὰ τὴν Ἰουδαία καὶ τὴν Ἱερουσαλήμ».

Αὐτὰ ποὺ ἐξετάζομε ἐδῶ εἶναι συγγενικὰ μὲ τὰ προηγούμενα καὶ μπορεῖ νὰ διαπιστώσει κανεὶς ὅτι διατυπώνονται μὲ ἀντίστοιχες ἔννοιες, ἐὰν προσέξει μὲ λεπτομέρεια τὰ θεωρήματα. Γιατὶ

πάλαι παρὰ Θεοῦ λόγοι πρὸς τὸν θεσπέσιον προφήτην περὶ τῆς Ἰουδαίας καὶ περὶ τῆς Ἱερουσαλήμ. Δοκεῖ δέ πως, μέσην τινὰ καὶ οὐ σφόδρα σαφῆ τῆς ὁράσεως τὴν ἀπόδοσιν ἔχειν τοῦ φάναι περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ. Πλὴν ὡς ἔνι σαφηνιοῦμεν αὐτὴν τὴν τῆς ὁράσεως δύναμιν, οἱονεί πως ἐν βραχεῖ συνενεγκόντες εἰς νοῦν. Ἐπειδὴ γὰρ τῆς μὲν αἰσθητῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ τὴν δήωσιν πειρᾶται λέγειν, τῆς γε μὴν ἐν Χριστῷ καὶ νοητῆς τὴν ἀνάδειξιν καὶ τὴν ἐν τῷδε τῷ κόσμῳ φανέρωσιν, ταύτης ἕνεκα τῆς αἰτίας, οὐχ ὑπέρ γε τῆς Ἰουδαίας, οὔτε μὴν κατὰ τῆς Ἱερουσαλήμ, ἀλλὰ περὶ τῆς Ἰουδαίας καὶ περὶ τῆς Ἱερουσαλήμ τε θεᾶσθαί φησι τὴν ὅρασιν. Αἰσθητὴν δέ φαμεν τὴν Ἰουδαίαν, καὶ μέντοι καὶ Ἱερουσαλήμ, αὐτὴν μὲν τὴν χώραν ἐν ᾗ κατῴκησεν ὁ Ἰσραήλ, καὶ αὐτὸ τὸ σύστημα τῆς Ἰουδαίων συναγωγῆς Νοητὴν δὲ πάλιν Ἱερουσαλήμ, ἤγουν Ἰουδαίαν, τὴν Ἐκκλησίαν εἶναι νομιοῦμεν, ἤτοι τὴν ἐν πνεύματι περιτομήν, τοῦτ' ἔστι τοὺς ἐν Χριστῷ τὴν ἀχειροποίητον περιτομὴν εἰς νοῦν ἔχοντας καὶ καρδίαν. Καί γοῦν Ἰουδαίοις ἐπεφώνησέ τις τῶν ἁγίων προφητῶν· «Περιτμήθητε τῷ Θεῷ, καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ἡμῶν, ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ». Οἶδεν δὲ ὁ θεσπέσιος Παῦλος Ἰουδαῖον ἕτερον, οὐ τὸν κατὰ σάρκα μᾶλλον, ἀλλὰ τὸν ἐν πνεύματι. Γράφει γὰρ οὕτως· «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ». Χρὴ τοιγαροῦν νηφαλίως ἐπιτηρεῖν, πηνίκα μὲν ὁ προφήτης κατὰ τῆς Ἱερουσαλήμ, ἤγουν Ἰουδαίας, ποιεῖται λόγους, πηνίκα δὲ περὶ τῆς ἐν Χριστῷ καὶ νοητῆς, ἣ καὶ ἀληθῶς ἐστι τελεία καὶ ἄμωμος. Τί τοίνυν φησίν;

3. Ἱερ. 4, 4.

οἱ παλαιοὶ λόγοι ἔγιναν ἀπὸ τὸν Θεὸ στὸν θεσπέσιο προφήτη γιὰ τὴν Ἰουδαία καὶ τὴν Ἱερουσαλήμ. Φαίνεται ὅμως ὅτι ὁ λόγος γιὰ τὴν Ἰουδαία καὶ τὴν Ἱερουσαλὴμ ἔχει σχετικὴ καὶ ὄχι πολὺ σαφῆ ἐξήγηση τοῦ δράματος. Ὡστόσο, ὅσο γίνεται, θὰ διασαφηνίσομε αὐτὸ τὸ νόημα τοῦ δράματος συνοψίζοντας τὸ νόημα σὲ λίγα λόγια. Ἐπειδὴ δηλαδὴ ἐπιχειρεῖ νὰ ἐξιστορήσει τὴ λεηλασία τῆς αἰσθητῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τὴν ἀνάδειξη τῆς νοητῆς στὸ ὄνομα τοῦ Χριστοῦ καὶ τὴ φανέρωσή της στὸν κόσμο αὐτόν, γι᾽ αὐτὸ τὸ λόγο δὲν λέγει ὅτι τὸ ὅραμα ἔγινε ὑπὲρ τῆς Ἰουδαίας, οὔτε βέβαια καὶ τῆς Ἱερουσαλήμ, ἀλλὰ περὶ Ἰουδαίας καὶ περὶ τῆς Ἱερουσαλήμ. Αἰσθητὴ βέβαια Ἰουδαία, ἀλλὰ καὶ Ἱερουσαλήμ, λέμε τὴ χώρα ποὺ κατοίκησε ὁ Ἰσραηλιτικὸς λαὸς καὶ τὴν ἴδια τὴ συγκρότηση τῆς Ἰουδαϊκῆς Συναγωγῆς. Νοητὴ πάλι Ἱερουσαλὴμ ἢ Ἰουδαία θεωροῦμε τὴν Ἐκκλησία ἢ τὴν πνευματικὴ περιτομή, δηλαδὴ ἐκείνους ποὺ στὸ ὄνομα τοῦ Χριστοῦ ἔχουν στὸ νοῦ καὶ στὴν καρδιὰ τὴν ἀχειροποίητη περιτομή. Καὶ πράγματι κάποιος ἀπὸ τοὺς ἁγίους προφῆτες διεκήρυξε τὰ ἑξῆς στοὺς Ἰουδαίους· «Περιτμηθεῖτε στὸ ὄνομα τοῦ Θεοῦ, περιτμηθεῖτε ἀποβάλλοντας τὴν σκληροκαρδία σας, ἄνδρες Ἰουδαῖοι καὶ οἱ κάτοικοι τῆς Ἱερουσαλήμ»[3]. Γνωρίζει ὅμως καὶ ὁ θεσπέσιος Παῦλος ἕναν ἄλλο Ἰουδαῖο, ὄχι τὸν σαρκικό, ἀλλὰ μᾶλλον τὸν πνευματικό. Γιατὶ γράφει τὰ ἑξῆς· «Δὲν εἶναι Ἰουδαῖος αὐτὸς ποὺ φαίνεται, οὔτε περιτομὴ ἡ ἐξωτερικὴ ποὺ γίνεται στὴ σάρκα, ἀλλὰ Ἰουδαῖος εἶναι αὐτὸς ποὺ εἶναι τέτοιος ἐσωτερικά, καὶ πραγματικὴ περιτομὴ εἶναι τῆς καρδιᾶς, ποὺ γίνεται πνευματικά, καὶ ὄχι σύμφωνα μὲ τὸ γράμμα, ἡ περιτομὴ ποὺ ἔχει τὸν ἔπαινο ὄχι τῶν ἀνθρώπων, ἀλλὰ τοῦ Θεοῦ»[4]. Πρέπει λοιπὸν νὰ ἐξετάζομε μὲ μεγάλη προσοχὴ πότε ὁ προφήτης μιλάει ἐναντίον τῆς Ἰερουσαλὴμ ἢ τῆς Ἰουδαίας, καὶ πότε γιὰ τὴν στὸ ὄνομα τοῦ Χριστοῦ καὶ πνευματική, ἡ ὁποία καὶ εἶναι ἀληθινὰ τέλεια καὶ ἄμεμπτη. Τί λέγει λοιπόν;

4. Ρωμ. 2, 28-29.

Στίχ. 25. «Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων Καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. Καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσιν· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ καὶ πορευσόμεθα ἐν αὐτῇ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ».

Κατέληξε μὲν γὰρ ἡ ὅρασις αὐτῷ καὶ τῆς ἤδη φθασάσης προαγορεύσεως τὸ τέλος ἦν. Διότι καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπησχύνθησαν ἐπὶ τοῖς κήποις αὐτῶν, ὧν αὐτοὶ ἐπεθύμησαν. Καὶ τίνα μὲν τρόπον κατησχύνθησαν οἱ ἐξ Ἰσραὴλ ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, διαρκῶς εἰρήκαμεν. Ἐπειδὴ δὲ μνήμη γέγονε τῆς ἐπ' αὐτοῖς προφητείας, ἀρχόμενος ὁ προφήτης γείτονος ἐφεξῆς καὶ δευτέρας ὁράσεως, κατασημαίνει τὸν χρόνον, καθ' ὃν οὐκ εἰς μέρος τι τῆς γῆς, οὐδὲ ἐν μιᾷ χώρᾳ τε καὶ πόλει τὸ τοῦ διαβόλου πεσεῖται κράτος, καθηρημένης εἰς ἅπαν τῆς τῶν εἰδώλων λατρείας καὶ βεβήλου κατασκευῆς, ἀλλ' ἐξ ἁπάσης ληφθήσεται τῆς ὑπ' οὐρανὸν ἡ τοιάδε νόσος, καὶ τῶν ἀκαθάρτων δαιμονίων ἡ τυραννίς Κατώρθωται δὲ καὶ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἐν ἐσχάταις ἡμέραις, τοῦτ' ἔστιν ἐν τελευταίοις τοῦ παρόντος αἰῶνος καιροῖς, καθ' οὓς ἐπέλαμψεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, γενόμενος ἐκ γυναικός Ὅτε καὶ αὐτὸς ἑαυτῷ παρέστησε τὴν νοητὴν Ἰουδαίαν, ἤγουν Ἱερουσαλήμ, τοῦτ' ἔστιν τὴν Ἐκκλησίαν, «παρθένον ἁγνήν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων», κατὰ τὸ γεγραμμένον, «ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον». Καὶ περὶ αὐτῆς φησιν, ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ Ἰακὼβ ἐπ' ἄκρων τῶν ὀρέων. Καὶ ἡμῖν μὲν Σιὼν ἡ κατά γε τὴν Ἰουδαίαν, ἐν ὄρει κεῖσθαί τε καὶ οἰκοδομεῖσθαι λέγεται.

5. Β' Κορ. 11,2. Ἐφ. 5,27.

Στίχ. 2-3. «Κατὰ τὶς τελευταῖες ἡμέρες θὰ γίνει φανερὸ τὸ ὄρος τοῦ Κυρίου καὶ ὁ ναὸς τοῦ Θεοῦ στὶς κορυφὲς τῶν βουνῶν, καὶ θὰ ὑψωθεῖ πάνω ἀπὸ τὰ βουνά, καὶ θὰ τρέξουν σ' αὐτὸν ὅλοι οἱ λαοί. Θὰ προσέλθουν ἔθνη πολλὰ καὶ θὰ ποῦν· Ἐλᾶτε ν' ἀνεβοῦμε στὸ ὄρος τοῦ Κυρίου καὶ στὸ ναὸ τοῦ Θεοῦ τοῦ Ἰακώβ, γιὰ νὰ μᾶς γνωρίσει τὴν ὁδό του καὶ νὰ βαδίσομε σ' αὐτήν. Γιατὶ ἀπὸ τὴ Σιὼν θὰ ἐξαγγελθεῖ ὁ νόμος καὶ ὁ λόγος τοῦ Κυρίου ἀπὸ τὴν Ἱερουσαλήμ».

Ἔτσι λοιπὸν τελείωσε τὸ ὅραμά του, καὶ αὐτὸ ἦταν τὸ τέλος τῆς προαγγελίας ποὺ εἶχε γίνει. Γιατὶ θὰ καταντροπιασθοῦν γιὰ τὰ εἴδωλά τους τὰ ὁποῖα ἤθελαν αὐτοὶ νὰ λατρεύουν, καὶ δοκίμασαν αἰσχύνη γιὰ τὰ ἄλση λατρείας ποὺ ἐπιθύμησαν. Καὶ μὲ ποιὸ τρόπο καταντροπιάσθηκαν οἱ ἀπόγονοι τῶν Ἰσραηλιτῶν ἐξαιτίας τῶν εἰδώλων τους τὸ εἴπαμε ἐπανειλημμένα. Ἐπειδὴ ὅμως μνημονεύθηκε ἡ προφητεία σχετικὰ μ' αὐτούς, ἀρχίζοντας ὁ προφήτης τὸ ἀμέσως ἑπόμενο δεύτερο ὅραμα, καταδηλώνει τὸν χρόνο κατὰ τὸν ὁποῖο ὄχι μόνο σὲ ἕνα μέρος τῆς γῆς, οὔτε σὲ μιὰ χώρα καὶ μιὰ πόλη θὰ πέσει τὸ κράτος τοῦ διαβόλου, ἀνατρεπόμενη ὁλοσχερῶς ἡ λατρεία τῶν εἰδώλων καὶ τὸ ἀνόσιο διαβολικὸ ἐφεύρημα, ἀλλὰ θὰ ἐξαφανισθεῖ ἀπὸ ὅλη τὴν ὑφήλιο ἡ νόσος αὐτὴ καὶ ἡ τυραννία τῶν ἀκάθαρτων δαιμόνων. Καὶ πράγματι πραγματοποιήθηκε καὶ αὐτὸ στοὺς ἀνθρώπους τὶς ἔσχατες ἡμέρες, δηλαδὴ τοὺς τελευταίους καιροὺς τοῦ αἰώνα αὐτοῦ, κατὰ τοὺς ὁποίους ἔλαμψε σὰν φῶς ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ, ποὺ γεννήθηκε ἀπὸ γυναίκα. Ὅταν καὶ αὐτὸς πῆρε καὶ τοποθέτησε δίπλα του τὴ νοητὴ Ἰουδαία ἢ Ἱερουσαλήμ, δηλαδὴ τὴν Ἐκκλησία, «παρθένο ἁγνή, μὴ ἔχοντας κηλίδα ἢ ρυτίδα ἢ κάτι παρόμοιο», σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «ἀλλ' ἦταν ἁγία καὶ ἀμόλυντη»[5]. Καὶ γι' αὐτὴν λέγει, ὅτι θὰ εἶναι τὶς ἔσχατες ἡμέρες ὁρατὸ τὸ ὄρος τοῦ Κυρίου καὶ ὁ ναὸς τοῦ Θεοῦ τοῦ Ἰακὼβ στὶς κορυφὲς τῶν βουνῶν. Καὶ Σιὼν βέβαια τῆς Ἰουδαίας λέμε ὅτι εἶναι αὐτὴ ποὺ βρίσκεται καὶ εἶναι χτισμένη σὲ ὄρος.

Νοηθείη δ' ἂν οὐκ αἰσθητῶς μᾶλλον, ἀλλὰ πνευματικῶς ἐν τούτοις ἡ Ἐκκλησία, ᾗ καὶ ὄρει παρεικάζεται. Καὶ γὰρ ἔστιν ἀληθῶς ὑψηλὴ καὶ περίοπτος καὶ γνωριμωτάτη τοῖς ἁπανταχοῦ. Ὑψηλὴ δὲ καὶ ἑτέρως· φρονεῖν γὰρ τῶν ἐπιγείων οὐδέν, ἀλλ' ὑψοῦ τῶν ἐπιγείων ἔστιν, καὶ τὴν τοῦ Θεοῦ δόξαν, ὡς ἔνι, περιαθρεῖ τοῖς τῆς διανοίας ὄμμασι, καὶ ὑψηλοῖς ἄγαν τοῖς περὶ αὐτοῦ δόγμασιν ἐπαυχεῖ. Ἑλλήνων μὲν γὰρ οἱ λογάδες, καίτοι μεγάλην ἐπὶ σοφίᾳ τὴν ὀφρὺν ἀνασπῶντες, θεοποιοῦσι τὴν κτίσιν καὶ τοῖς τοῦ κόσμου στοιχείοις τὸ σέβας ἀνάπτουσι. Χθαμαλὸν γὰρ ἔχουσι τὸν νοῦν καὶ χαμαιριφῆ τὰ θεωρήματα καὶ τὴν καρδίαν ἐσκοτισμένην· «φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν», κατὰ τὸ γεγραμμένον. Ἡ δέ γε νοητὴ Σιών, τοῦτ' ἔστιν ἡ Ἐκκλησία, πᾶσαν μὲν ὑπερίπταται κτίσιν ὁρατήν τε καὶ ἀόρατον, ἀφικνεῖται δὲ πρὸς αὐτὴν τὴν τῶν ὅλων ἐπέκεινα φύσιν. Φωτὸς γὰρ τοῦ θείου μεμέστωται, καὶ αὐτὴν ἐπιγινώσκουσα καὶ δημιουργὸν καὶ τεχνίτην τῶν ὅλων αὐτῇ τε καὶ μόνῃ τὸ κατὰ πάντων ἀπονέμει κράτος, καὶ τῇ τοιᾷδε δόξῃ στεφανοῖ τὸν τῶν ὅλων παμβασιλέα καὶ Θεὸν καὶ Κύριον.

Ὄρος τοιγαροῦν νοητὸν ὁ οἶκος τοῦ Θεοῦ δικαίως ἂν λέγοιτο, καὶ ἔστι διαφανής, ὡς ἐπὶ βουνῶν ἠρμένος. Φαίη δ' ἄν τις ἐπ' αὐτοῦ, καὶ μάλα εἰκότως, τὸ διὰ τῆς τοῦ Σωτῆρος φωνῆς, ὡς ἐκ παραδείγματος ἐναργοῦς εἰρημένον· «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη». Καὶ πλεῖστα μὲν ἄν τις συλλέξαιτο, καὶ μάλα ῥᾳδίως, τὰ δι' ὧν ἔστιν ἰδεῖν παρὰ ταῖς θεοπνεύστοις Γραφαῖς, ὅτι καὶ βουνοῖς καὶ ὄρεσι παρεικάζεται τῆς νοητῆς Ἱερουσαλὴμ τὸ ἀνάστημα, τοῦτ' ἔστι τῆς Ἐκκλησίας τὸ ὕψος. Βαδιούμεθα δὲ πρὸς τὰ ἐφ' ἑξῆς, τοῖς φιλομαθέσιν ἀφέντες τὰ τοιάδε συλλέγειν, εἴπερ ἔλοιντο τοῦτο δρᾶν. Ἴδωμεν δὲ τί τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἐπὶ τῆς γῆς ἀπό γε τοῦ τὸν οἶκον τοῦ Θεοῦ περίοπτον

6. Ρωμ. 1, 22.

Πρέπει ὅμως νὰ νοηθεῖ μὲ αὐτὰ ὄχι αἰσθητῶς ἀλλὰ πνευματικῶς ἡ Ἐκκλησία, ἡ ὁποία καὶ παρομοιάζεται μὲ ὄρος. Γιατὶ εἶναι ἀληθινὰ ὑψηλὴ καὶ περίοπτη καὶ γνωστὴ σὲ ὅλους. Ὑψηλὴ ὅμως εἶναι καὶ ἀπὸ ἄλλη ἄποψη. Γιατὶ δὲν φρονεῖ τίποτε ἀπὸ τὰ ἐπίγεια, ἀλλὰ βρίσκεται πάνω ἀπὸ τὰ ἐπίγεια καὶ ὅσο εἶναι δυνατὸ βλέπει μὲ τὰ νοερὰ μάτια καὶ περισκοπεῖ τὴ δόξα τοῦ Θεοῦ καὶ καυχιέται γιὰ τὴν πολὺ ὑψηλὴ διδασκαλία της γι᾽ αὐτόν. Οἱ λόγιοι ὅμως τῶν Ἑλλήνων, μολονότι ἀλαζονεύονται πολὺ γιὰ τὴ σοφία τους, θεοποιοῦν τὴν κτίση καὶ ἀποδίδουν σεβασμὸ στὰ στοιχεῖα τοῦ κόσμου. Γιατὶ ὁ νοῦς τους εἶναι κολλημένος στὰ χαμηλά, τὰ διανοήματά τους γήινα, καὶ ἡ καρδιά τους καλυμμένη ἀπὸ σκότος. Γιατί, σύμφωνα μ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ, «Ἐνῶ λένε ὅτι εἶναι σοφοί, ἀποδείχθηκαν ἀνόητοι»[6]. Ἡ νοητὴ ὅμως Σιών, δηλαδὴ ἡ Ἐκκλησία, πετᾶ πάνω ἀπὸ κάθε ὁρατὴ καὶ ἀόρατη δημιουργία καὶ φτάνει σ᾽ αὐτὴ τὴν πέρα ἀπὸ ὅλα φύση. Γιατὶ εἶναι γεμάτη ἀπὸ τὸ θεῖο φῶς καὶ ἀναγνωρίζοντας αὐτὴν καὶ δημιουργὸ καὶ τεχνίτη τῶν ὅλων, ἀπονέμει σ᾽ αὐτὴν καὶ μόνη τὴν ἐξουσία ἐπάνω σὲ ὅλα, καὶ μὲ αὐτὴ τὴ δόξα στεφανώνει τὸν παμβασιλέα τοῦ σύμπαντος καὶ Θεὸ καὶ Κύριο.

Δίκαια λοιπὸν θὰ μποροῦσε νὰ ὀνομασθεῖ ὁ οἶκος τοῦ Θεοῦ νοητὸ ὄρος, καὶ εἶναι ὁλοφάνερος καθὼς εἶναι ἐγκατεστημένος στὰ βουνά. Θὰ μποροῦσε βέβαια νὰ πεῖ κανεὶς γι᾽ αὐτόν, καὶ πολὺ εὔλογα, σὰν παράδειγμα ζωηρό, ἐκεῖνο ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸν ἴδιο τὸν Σωτήρα· «Δὲν μπορεῖ νὰ κρυφθεῖ πόλη ποὺ εἶναι κτισμένη πάνω σὲ ὄρος»[7]. Καὶ πολλὰ χωρία θὰ μποροῦσε νὰ συλλέξει κανείς, καὶ πολὺ εὔκολα, ἀπὸ τὰ ὁποῖα μπορεῖ νὰ διαπιστώσει ὅτι τὸ ἀνάστημα τῆς νοητῆς Ἱερουσαλήμ, δηλαδὴ τὸ ὕψος τῆς Ἐκκλησίας, παρομοιάζεται στὶς θεόπνευστες Γραφὲς καὶ μὲ βουνά καὶ μὲ ὄρη. Ἂς προχωρήσομε ὅμως στὰ ἑπόμενα, ἀφήνοντας τὴ συλλογὴ αὐτῶν τῶν χωρίων στοὺς φιλομαθεῖς, ἂν βέβαια θέλουν νὰ τὸ κάνουν αὐτό. Ἂς δοῦμε λοιπὸν ποιὰ θὰ εἶναι ἡ ὠφέλεια στοὺς ἀνθρώπους ἀπὸ τὸ ὅτι θὰ γίνει τόσο περίοπτος ὁ

7. Ματθ. 5, 14.

οὕτω γενέσθαι τοῖς ἀπανταχοῦ, ὡς δοκεῖν ἤδη πως ὑψοῦσθαί τε ἐπὶ βουνούς, καὶ ἐπ' ἄκρων κεῖσθαι τῶν ὀρέων. Οὐκοῦν πληροφορήσει λέγων εὐθὺς ὁ προφήτης «Καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσιν· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ».

Ὅτι μὲν οὖν συνηθροίσθη πάντα τὰ ἔθνη καὶ συνδεδραμήκασι διὰ τῆς πίστεως εἰς τὴν Ἐκκλησίαν, οὐ μακρῶν ἡμῖν δεήσει πρὸς ἀπόδειξιν λόγων. Αὐτὴ δὲ τῶν πραγμάτων ἡ ἔκβασις αὐτόμαρτυς ἔσται καὶ ἀληθής Πλὴν ἐκεῖνο καταθαυμάζειν ἄξιον. Κέκληται γὰρ τῶν ἐθνῶν ἡ πληθύς, οὐ διά τῆς τοῦ νόμου παιδαγωγίας, οὐ διὰ προφητῶν ἁγίων, ἀγείρει δὲ μᾶλλον αὐτὰ θεία τις καὶ ἀπόρρητος χάρις νοητῶς ἐλλάμπουσα, καὶ τῆς διὰ Χριστοῦ σωτηρίας ἐντιθεῖσα τὴν ἔφεσιν. Θέα γὰρ ὅπως διακηρύξαντος αὐτοῖς οὐδενὸς ἀλλήλοις ἐπιφωνεῖ· «Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ». Πρῶτον ἀναβαίνουσιν, εἶθ' οὕτω ζητοῦσιν ἐπαγγέλλεσθαί τε τὸν τοῦ Θεοῦ λόγον αὐτοῖς. Ὑπισχνοῦνται δὲ καὶ βαδίζειν τὴν ὁδὸν τοῦ Κυρίου, δῆλον δὲ ὅτι τὴν εὐαγγελικήν, προεισβολὴν ἔχουσαν τὴν διὰ πίστεως κάθαρσιν. Ἐοίκασι δὲ τὴν ὁδὸν Κυρίου ζητοῦντες μαθεῖν, τῆς ἀρχαίας ἐκείνης καὶ βεβήλου πλάνης προεισδέξασθαι τὴν κατάγνωσιν. Ἔσται γὰρ οὐχὶ ἑτέρως ἐν ἡμῖν τῶν βελτιόνων ἡ ἔφεσις, μὴ οὐχὶ δὴ πρῶτον προκατεγνωκότων τῶν πάλαι. Τίς οὖν ἄρα γέγονεν αὐτοῖς ὁ μυσταγωγός; Τίς ὁ ἀναφέρων εἰς ἐπίγνωσιν ἀληθείας καὶ ἀναπείθων αὐτοὺς καταγέλαστα μὲν ἡγεῖσθαι τὰ πρῶτα, προστρέχειν δὲ τοῖς δευτέροις; ἢ δηλονότι Θεός, ὁ καὶ ἐλλάμψας αὐτοῖς, ὡς ἔφην, εἰς νοῦν καὶ καρδίαν, καὶ

οἶκος (ναὸς) τοῦ Θεοῦ σὲ ὅλο τὸν κόσμο, ὥστε νὰ φαίνεται κατὰ κάποιο τρόπο ὅτι ἤδη εἶναι ὑψωμένος στὰ βουνὰ καὶ βρίσκεται στὶς κορυφὲς τῶν βουνῶν. Θὰ μᾶς πληροφορήσει λοιπὸν ἀμέσως ὁ προφήτης λέγοντας· «Καὶ θὰ προσέλθουν σ᾽ αὐτὸν ὅλοι οἱ λαοί, θὰ πορευθοῦν ἐκεῖ ἔθνη πολλὰ καί θὰ ποῦν· Ἐλᾶτε ν᾽ ἀνεβοῦμε στὸ ὄρος τοῦ Κυρίου καὶ στὸν ναὸ τοῦ Θεοῦ τοῦ Ἰακώβ, ὁ ὁποῖος θὰ μᾶς δείξει τὸν δρόμο του καὶ θὰ βαδίσομε σ᾽ αὐτόν».

Ὅτι λοιπὸν μαζεύθηκαν ὅλα τὰ ἔθνη καὶ συνέτρεξαν μὲ πίστη στὴν Ἐκκλησία δὲν θὰ χρειασθοῦν πολλοὶ λόγοι πρὸς ἀπόδειξη αὐτοῦ. Αὐτὴ ἡ ἴδια ἡ ἔκβαση τῶν πραγμάτων εἶναι αὐτόκλητος μάρτυρας καὶ ἀληθινός. Ὡστόσο εἶναι ἄξιο μεγάλου θαυμασμοῦ ἐκεῖνο. Ὅτι δηλαδὴ ἔχει κληθεῖ τὸ πλῆθος τῶν λαῶν ὄχι μὲ τὴν παιδαγώγηση τοῦ νόμου, ὄχι μὲ τὸ λόγο τῶν ἁγίων προφητῶν, ἀλλὰ συναθροίζει αὐτοὺς μία θεία μᾶλλον καὶ ἀπόρρητη χάρη ποὺ λάμπει νοητὰ καὶ ἐμβάλλει σ᾽ αὐτοὺς τὴν ἐπιθυμία τῆς σωτηρίας μέσω τοῦ Χριστοῦ. Πρόσεχε πῶς, χωρὶς νὰ διακηρύξει σ᾽ αὐτοὺς κανένας, ἀναφωνεῖ ὁ ἕνας στὸν ἄλλο· «Ἐλᾶτε ν᾽ ἀνεβοῦμε στὸ ὄρος τοῦ Κυρίου καὶ στὸν οἶκο τοῦ Θεοῦ τοῦ Ἰακώβ, καὶ ἐκεῖ αὐτὸς θὰ μᾶς δείξει τὸ δρόμο του καὶ θὰ βαδίσομε σ᾽ αὐτόν». Πρῶτα ἀνεβαίνουν, κι ἔπειτα ζητοῦν ν᾽ ἀναγγελθεῖ σ᾽ αὐτοὺς ὁ λόγος τοῦ Θεοῦ. Ταυτόχρονα ὑπόσχονται καὶ ὅτι θὰ βαδίσουν τὸ δρόμο τοῦ Κυρίου, δηλαδὴ τὸν εὐαγγελικό, ποὺ ὡς προείσοδο ἔχει τὴν κάθαρση μέσω τῆς πίστεως. Καὶ φαίνονται ὅτι, ζητώντας νὰ μάθουν τὸν δρόμο τοῦ Κυρίου, δέχονται προκαταβολικὰ τὴν καταδίκη τῆς ἀρχαίας καὶ βέβηλης ἐκείνης πλάνης. Γιατὶ σ᾽ ἐμᾶς δὲν θὰ συμβεῖ διαφορετικὰ ὁ πόθος γιὰ τὰ καλύτερα, ἂν δὲν καταδικάσομε προηγουμένως τὰ παλαιά. Ποιὸς λοιπὸν ἔγινε σ᾽ αὐτοὺς ὁ μυσταγωγός. Ποιὸς τοὺς ὁδηγεῖ στὴ συνειδητὴ γνώση τῆς ἀλήθειας καὶ ποιὸς τοῦ μεταπείθει νὰ θεωροῦν γελοιωδέστατα τὰ πρῶτα καὶ νὰ προστρέχουν στὰ δεύτερα; Δὲν εἶναι ὁλοφάνερα ὁ Θεός, ὁ ὁποῖος καὶ ἔλαμψε, ὅπως εἶπα, στὸ νοῦ καὶ τὴν καρδιά τους καὶ τοὺς ἔπεισε νὰ διακηρύ-

ἀναπείσας εἰπεῖν τε ἅμα καὶ φρονεῖν, ὅτι «Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ»;

Ὠδίνει δὲ τοῦτο διπλῆν ἐφ' ἑαυτῷ τὴν ἔννοιαν. Ἢ γὰρ ἐκεῖνό φασιν, ὅτι Ληψόμεθα λόγον ἐκ τοῦ οἴκου τοῦ Θεοῦ, καὶ τὸν τοῦ Θεοῦ λόγον ἐκεῖ γεγονότες εἰσόμεθα, ἢ ὅτι καταλέλοιπε τὴν Σιών, καὶ οἷον ἐκβέβηκεν ἀπ' αὐτῆς ὁ νόμος, καὶ ἀπὸ τῆς Ἰερουσαλὴμ ἀποπεφοίτηκεν ὁ τοῦ Θεοῦ Λόγος. Ἐπειδὴ γὰρ πεπαρῳνήκασιν εἰς Χριστόν, ἠρνήσαντό τε τὴν βασιλείαν αὐτοῦ, καταλέλοιπεν αὐτοὺς καὶ ἀφῆκεν ὀρφανούς. Καὶ τοῦτο ἦν τὸ διὰ τοῦ προφήτου λεγόμενον· «Καὶ εἶπα, οὐ μὴ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτω ἄνθρωπος ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ». Ἐξῆλθεν τοίνυν νόμος ἐκ τῆς Σιών, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ. Ἐσφραγίσθη γὰρ ὅρασις καὶ προφητεία μετὰ τὸν τοῦ Σωτῆρος σταυρόν, καὶ οὐκέτι παρ' αὐτοῖς ὁ τοῦ Θεοῦ νόμος τε καὶ λόγος. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος μονονουχὶ καὶ ἀπειρηκὼς καὶ ἀνουθέτητον βλέπων τὴν τῶν Ἰουδαίων πληθύν, «Ὑμῖν», φησίν, «ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου, ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη· οὕτω γὰρ ἐντέταλκεν ἡμῖν ὁ Κύριος». Σύνες οὖν ὅπως ἐπὶ τῇ τοῦ Χριστοῦ χάριτι μεγαλαυχοῦνται τὰ ἔθνη. Ἀπὸ γὰρ τῆς Σιὼν καὶ τῆς Ἰερουσαλὴμ ἐκβεβηκέναι φασὶ νόμον τε καὶ λόγον τοῦ Κυρίου, μεταφοιτῆσαι δὲ πάντως εἰς αὐτά. Μεταβέβηκε γὰρ ἡ χάρις ἐκ τῶν ἀπειθεῖν ἑλομένων εἰς τοὺς διὰ τῆς πίστεως κεκλημένους.

Στίχ. 4. «Καὶ κρινεῖ ἀναμέσον τῶν ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν, καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς τὰ δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπὶ ἔθνος μάχαιραν καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν».

Προειρηκὼς ὅτι πεσεῖταί τε καὶ οἰχήσεται πρὸς τὸ μη-

ξουν καὶ νὰ φρονοῦν ὅτι, «Ἀπὸ τὴ Σιὼν θὰ προέλθει ὁ νόμος καὶ ἀπὸ τὴν Ἱερουσαλὴμ θὰ κηρυχθεῖ ὁ λόγος τοῦ Κυρίου»;

Αὐτὸ βέβαια περικλείει μέσα του διπλῆ ἔννοια. Ἢ δηλαδὴ λένε ἐκεῖνο ὅτι, θὰ λάβομε λόγο ἀπὸ τὸν οἶκο τοῦ Θεοῦ καὶ θὰ μάθομε τὸ λόγο τοῦ Θεοῦ ὅταν φτάσομε ἐκεῖ, ἢ ὅτι ἐγκατέλειψε ὁ νόμος τὴ Σιὼν καὶ ἔφυγε κατὰ κάποιο τρόπο ἀπὸ αὐτὴν καὶ ἀπομακρύνθηκε ἀπὸ τὴν Ἱερουσαλὴμ ὁ λόγος τοῦ Θεοῦ. Ἐπειδὴ δηλαδὴ φέρθηκαν μὲ παραφρόνηση ἐναντίον τοῦ Χριστοῦ καὶ ἀρνήθηκαν τὴ βασιλεία του, τοὺς ἐγκατέλειψε καὶ τοὺς ἄφησε ὀρφανούς. Κι αὐτὸ ἦταν ἐκεῖνο ποὺ ἔλεγε ὁ προφήτης· «Καὶ εἶπα ὅτι δὲν θὰ γίνω ποιμένας σας· αὐτὸ ποὺ πεθαίνει ἂς πεθάνει, καὶ αὐτὸ ποὺ χάνεται ἂς χαθεῖ, καὶ τὰ ὑπόλοιπα ἂς τὰ καταφάγει ὁ ἄνθρωπος, ὁ καθένας τὶς σάρκες τοῦ πλησίον»[8]. Βγῆκε λοιπὸν ὁ νόμος ἀπὸ τὴ Σιὼν καὶ ὁ λόγος τοῦ Κυρίου ἀπὸ τὴν Ἱερουσαλήμ. Γιατὶ μετὰ τὸ σταυρὸ τοῦ Σωτήρα σφραγίσθηκε κάθε ὅραμα καὶ κάθε προφητεία, καὶ δὲν ὑπάρχει πιὰ σ' αὐτοὺς ὁ νόμος καὶ ὁ λόγος τοῦ Θεοῦ. Γι' αὐτὸ ὁ θεῖος Παῦλος, ἔχοντας ἀπαυδήσει κατὰ κάποιο τρόπο καὶ βλέποντας χωρὶς νουθεσίες τὸ πλῆθος τῶν Ἰουδαίων, λέγει· «Ἔπρεπε νὰ κηρυχθεῖ σ' ἐσᾶς ὁ λόγος τοῦ Κυρίου, ἐπειδὴ ὅμως τὸν ἀπορρίπτετε καὶ δὲν κρίνετε τοὺς ἑαυτούς σας ἄξιους γιὰ τὴν αἰώνια ζωή, νά, στρεφόμαστε στὰ ἔθνη· γιατὶ ἔτσι μᾶς διέταξε ὁ Κύριος»[9]. Κατανόησε λοιπὸν πῶς καυχῶνται τὰ ἔθνη γιὰ τὴ χάρη τοῦ Χριστοῦ. Γιατὶ λένε, ὅτι ἀπὸ τὴ Σιὼν καὶ τὴν Ἱερουσαλὴμ βγῆκε ὁ νόμος καὶ ὁ λόγος τοῦ Κυρίου καὶ ὅτι ἐγκαταστάθηκε σίγουρα σ' αὐτά. Γιατὶ μεταπήδησε ἡ χάρη ἀπ' αὐτοὺς ποὺ προτίμησαν τὴν ἀνυπακοή, σ' αὐτοὺς ποὺ ἔχουν κληθεῖ μέσω τῆς πίστης.

Στίχ. 4. «Καὶ θὰ κρίνει μεταξὺ τῶν ἐθνῶν καὶ θὰ ἐλέγξει πολὺ κόσμο. Θὰ μετατρέψουν τότε τὰ μαχαίρια σὲ ἄροτρα καὶ τὰ κοντάρια τους σὲ δρεπάνια, καὶ δὲν θὰ σηκώσει μαχαίρι ἕνα ἔθνος ἐναντίον ἄλλου καὶ δὲν θὰ μαθαίνουν πιὰ νὰ πολεμοῦν».

Ἀφοῦ εἶπε προηγουμένως ὅτι θὰ διαλυθεῖ καὶ θὰ ἐξαφα-

8. Ζαχ. 11, 9.

9. Πράξ. 13, 46-47.

δὲν τὸ τοῦ διαβόλου κράτος, ἀργήσει δὲ καὶ ἡ τῶν εἰδώλων ποίησις, προτροπάδην ἀλλήλων ἐπιφωνούντων ἐθνῶν· «Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ», καθίστησι τοῖς ἀκροωμένοις ἐναργῆ τὸν καιρόν, καθ' ὃν εἰς πέρας ἥξει τὰ προειρημένα, καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων καταστάσεως ποιεῖται γνωριμώτατον. Πάλαι μὲν γάρ, οὐκ οὔσης τῆς γῆς ὑπὸ ζυγὸν ἕνα, διωρισμένων δὲ κατά τε χώρας καὶ πόλεις τῶν ἐθνῶν καὶ ἰδικῶς ἑκάστης ἐχούσης τὸν ἡγούμενον, ἀμιξία τε ἦν καὶ μάχαι καὶ πόλεμοι, πανταχῇ καταδηούντων ἀλλήλων τῶν ἐπὶ τῆς γῆς καὶ διαρπαζόντων ἀεὶ τὰ ἑτέρων, καὶ τὴν καθ' ὧν ἂν δύναιντο ἕκαστοι πλεονεξίαν καὶ ἀγριότητα, δόξαν ἡγούμενοι τὴν ἀνωτάτω. Οὐκοῦν οὐδὲ ἀσφαλῆ τὴν οἴκησιν εἶχον, ἀεὶ μεθιστάμενοι πρός ἑτέραν, καὶ ὑπὸ τῶν δυνατωτέρων τῆς εἰλημμένης ἐξωθούμενοι.

Ἐπειδὴ δὲ ὁ τῶν ὅλων Θεὸς τοῖς Ῥωμαίων σκήπτροις ὑπήγαγε τὴν ὑπ' οὐρανόν, μία τε λοιπόν, ἡ κατὰ πάντων, ἐκτέταται βασιλεία, κατέληξαν μὲν οἱ πόλεμοι, πέπαυται δὲ μάχη καὶ διχόνοια, καὶ κεκράτηκεν ἡ δικαιοσύνη καὶ τῆς εὐνομίας τὸ ἀσφαλές, οὐδενὸς ἁρπάζοντος, οὐ καταδηοῦντος ἔτι, καὶ πόλεων ἢ χωρῶν κατατρέχοντος, οὐκ ἀνεπίπληκτον ἔχοντος τὸ πλεονεκτεῖν. Καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ δὲ δίδοται μὲν ἡ τῶν ὅπλων χρεία μόνοις τοῖς μαχιμωτάτοις, καὶ τὴν στρατεύσιμον ἔχουσι τάξιν, ὑπὸ χεῖρά τε οὖσι τὴν βασιλέως Ἠλέγχθησαν δὲ καὶ ἀσθενῆ τὰ πολλὰ τῶν ἐθνῶν, ὅσα τῆς Ῥωμαίων ἀρχῆς ἀποσεισάμενα τὸν ζυγόν, πόλεσί τε καὶ χώραις ἀγρίως ἐπιφοιτᾷ. Οὐ γάρ ἔστιν αὐτοῖς ἐλευθέρως, ὡς ἂν βούλοιντο, κατατρέχειν. Ἀντανίστανται γὰρ τὰ Ῥωμαίων ὅπλα, καὶ ἠρεμεῖν ἀναγκάζουσι, καὶ καταπτοοῦσιν ὡς θῆρας, καὶ ταῖς παρὰ σφῶν εὐσθενείαις ἀνάνδρους ὄντας ἐλέγχουσιν. Ὁρίζεται τοίνυν τὸν καιρόν, ὡς ἔφην, ὁ μακάριος προφήτης τῆς τῶν ἐθνῶν κλήσεως καὶ ἐπιστροφῆς·

νισθεῖι τὸ κράτος τοῦ διαβόλου καὶ θὰ σταματήσει ἡ κατασκευὴ τῶν εἰδώλων καθὼς θὰ φωνὰζουν τρέχοντας τὰ ἔθνη τὸ ἕνα στὸ ἄλλο, «Ἐλᾶτε ν' ἀνεβοῦμε στὸ ὄρος τοῦ Κυρίου καὶ στὸν ναὸ τοῦ Θεοῦ τοῦ Ἰακώβ, γιὰ νὰ μᾶς ἀναγγείλει τὸ δρόμο του καὶ νὰ βαδίσομε σ' αὐτόν», κάνει φανερὸ στοὺς ἀκροατὲς τὸν καιρὸ ποὺ θὰ πραγματοποιηθοῦν ὅσα εἴπαμε προηγουμένως, καὶ τὸν κάνει γνωστότατο ἀπὸ τὴν ἴδια τὴν κατάσταση τῶν πραγμάτων. Παλαιὰ δηλαδὴ ἐπειδὴ ἡ γῆ δὲν ἦταν κάτω ἀπὸ ἕνα ζυγὸ καὶ τὰ ἔθνη ἦταν χωρισμένα σὲ χῶρες καὶ πόλεις καὶ χωριστὰ κάθε μία εἶχε τὸν ἄρχοντὰ της, ἐπικρατοῦσε ἐχθρότητα καὶ μάχες καὶ πόλεμοι, καὶ παντοῦ οἱ ἄνθρωποι λεηλατοῦσαν ὁ ἕνας τὸν ἄλλο, ἅρπαζαν πὰντοτε τὰ πράγματα τῶν ἄλλων, καὶ τὴν πλεονεξία ἐναντίον ὅποιων μποροῦσαν καὶ τὴν ἀγριότητα τὰ θεωροῦσαν ὡς τὴν ἀνώτερη δόξα. Οὔτε βέβαια εἶχαν ἀσφαλῆ κατοικία καὶ διαρκῶς μετέβαιναν σὲ ἄλλη, καὶ ἀπὸ ἐκείνην ποὺ κατελάμβαναν διώχνονταν ἀπὸ τοὺς δυνατότερούς τους.

Ὅταν ὅμως ὁ Θεὸς τῶν ὅλων ἐπέβαλε σ' ὅλη τὴν ὑφήλιο τὴν ἐξουσία τῶν Ρωμαίων, ἐπικράτησε σ' ὅλους μία βασιλεία, σταμάτησαν οἱ πόλεμοι, ἔπαυσε ἡ μάχη καὶ ἡ διχόνοια, καὶ κυριάρχησε ἡ δικαιοσύνη καὶ ἡ ἀσφάλεια τῆς εὐνομίας, χωρὶς κανένας νὰ ἁρπάζει, χωρὶς νὰ λεηλατεῖ πλέον καὶ νὰ καταδυναστεύει πόλεις καὶ χῶρες, χωρὶς νὰ θεωρεῖ ἄμεμπτη τὴν πλεονεξία. Καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ ἡ χρήση τῶν ὅπλων παραχωροῦνταν μόνο στοὺς ἀξιόμαχους καὶ σὲ ἐκείνους ποὺ ἀνῆκαν στὶς τάξεις τῶν στρατεύσιμων καὶ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ βασιλιᾶ. Ἀποδείχθηκαν ὅμως καὶ ἀδύναμα τὰ περισσότερα ἔθνη, ὅσα, ἀφοῦ ἀποτίναξαν τὸν ζυγὸ τῆς Ρωμαϊκῆς ἐξουσίας, ἐπιτίθενται μὲ ἀγριότητα σὲ πόλεις καὶ χῶρες. Γιατὶ δὲν μποροῦν ἐλεύθερα, ὅπως θὰ ἤθελαν, νὰ κάνουν τὶς ἐπιδρομές τους. Καθόσον τὰ ἀντιμάχονται τὰ ρωμαϊκὰ στρατεύματα καὶ τὰ ἀναγκάζουν νὰ ἡσυχάσουν, τὰ τρομοκρατοῦν σὰν ἄγρια θηρία, καὶ μὲ τὴν ἀνδρεία τους τὰ ἀποδεικνύουν ἄνανδρα. Ὁρίζει λοιπόν, ὅπως εἶπα, ὁ μακάριος προφήτης τὸν καιρὸ τῆς κλήσης καὶ ἐπιστροφῆς τῶν ἐθνῶν.

Καὶ ποῖός ἐστιν οὗτος; Ὅτε, φησίν, ὁ τῶν ὅλων Θεὸς καὶ παμβασιλεὺς καὶ Κύριος κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, τοῦτ' ἔστι δικαιοσύνην καὶ κρίσιν εἰς πάντα ποιεῖται τὰ ἔθνη. Κεκράτηκε μὲν γὰρ ἡ ἀδικία, καθάπερ ἔφην ἀρτίως, διαρπαζόντων ἄλληλα τῶν ἐθνῶν καὶ πάντα τρόπον ἐπιφερόντων ἀγριότητος καὶ πλεονεξίας. Ἐπειδὴ δὲ ταῦτα γέγονεν ἐκ μέσου, δικαιοσύνη καὶ κρίσις δέδοται παρὰ Θεοῦ, καὶ ἠλέγχθησαν, ὡς ἔφην, ἔθνη πολλὰ τοῖς Ῥωμαίων ὅπλοις νενικημένα, ὥστε τοὺς ὑπὸ χεῖρα τὴν βασιλέως δεδιέναι μὲν οὐκέτι τάς τινων ἐφόδους, εἰς τοῦτο δὲ ἤδη προελθεῖν τὰ πράγματα αὐτοῖς εἰρήνης τε ὁμοῦ καὶ εὐημερίας, ὡς μηκέτι δεῖσθαι τῆς ἐν τῷ πολεμεῖν ἐμπειρίας, ἀνθελέσθαι δὲ μᾶλλον καὶ λίαν ἀσμένως τοῖς εἰρήνης ἔργοις ὁμιλεῖν, καὶ τῶν τῆς γεωπονίας μεταποιεῖσθαι πόνων, καὶ φροντίδα τίθεσθαι τὰ ἐν ἀγροῖς· μεταπλάττουσι γὰρ εἰς τοῦτο τοῦ πολέμου τὰ σκεύη, ὥστε καὶ ῥομφαίαν εἰς ἀρότρου χρείαν ἐπιλαμβάνεσθαι, καὶ μὴν καὶ ζιβύνην ἀποτελεῖσθαι δρεπάνην, ἀπομαθεῖν δὲ παντελῶς τὸν πόλεμον, καὶ τὴν πρὸς ἄλληλα παραιτεῖσθαι μάχην. Ἐπειδὴ γὰρ βεβασίλευκε τῶν ἐθνῶν ὁ Χριστός, ὅς ἐστιν εἰρήνη, γέγονεν ἐκ μέσου πᾶσά τε διχόνοια καὶ ἔρις καὶ μάχαι καὶ πᾶν εἶδος πλεονεξίας, ἐξήρηται δὲ καὶ τὰ ἐκ τοῦ πολέμου βλάβη καὶ τὰ ἐντεῦθεν δείματα, κεκράτηκε δὲ τὸ αὐτοῦ θέλημα λέγοντος πρὸς αὐτούς· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν».

Στίχ. 5-6. «Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου. Ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ».

Καταπτοήσας ἀρκούντως ταῖς προαναρρήσεσι τῶν δεινῶν, οὐκ ἐᾷ ταῖς ἀπογνώσεσιν ἀπολέσθαι τοὺς προσκεκρουκότας, ὑπεμφαίνει δὲ ὅτι μετανοεῖν ἑλομένοις ἵλεως ἔσται Θεός. καὶ μεταμαθεῖν ἐθέλουσι τὰ αἰσχίω, καὶ τῶν

Καὶ ποιὸς εἶναι αὐτός; Ὅταν, λέγει, ὁ Θεὸς τῶν ὅλων καὶ βασιλιὰς τῶν πάντων καὶ Κύριος θὰ κρίνει ἀνὰμεσα στὰ ἔθνη, δηλαδὴ ὅταν θὰ ἀσκήσει τὴ δικαιοσύνη καὶ τὴν κρίση του σὲ ὅλα τὰ ἔθνη. Γιατὶ ἐπικράτησε ἡ ἀδικία, ὅπως εἶπα προηγουμένως, τὰ ἔθνη ἐπιδίδονται σὲ διαρπαγὲς τὸ ἕνα κατὰ τοῦ ἄλλου καὶ χρησιμοποιοῦν κάθε εἶδος ἀγριότητας καὶ πλεονεξίας. Ὅταν αὐτὰ ἐξαλείφθηκαν, δόθηκε δικαιοσύνη καὶ κρίση ἀπὸ τὸν Θεὸ καὶ παρουσιάσθηκαν, ὅπως εἶπα, πολλὰ ἔθνη ποὺ εἶχαν νικηθεῖ ἀπὸ τοὺς Ρωμαίους, ὥστε οἱ ὑπήκοοι τοῦ βασιλιᾶ νὰ μὴ φοβοῦνται πιὰ τὶς ἐπιδρομὲς κάποιων καὶ ἡ κατάστασή τους ἔφτασε σὲ τέτοιο βαθμὸ εἰρήνης καὶ εὐημερίας, ὥστε νὰ μὴ τοὺς χρειάζεται πιὰ ἡ ἐμπειρία τοῦ πολέμου, ἀλλὰ νὰ προτιμοῦν μᾶλλον, καὶ μάλιστα μὲ πολλὴ εὐχαρίστηση, ν' ἀσχολοῦνται μὲ τὰ ἔργα τῆς εἰρήνης καὶ νὰ ἀναλαμβάνουν τοὺς μόχθους τῆς γεωργίας καὶ νὰ ἐπιδίδονται στὰ ἀγροτικὰ ἔργα. Γιατὶ μετατρέπουν γι' αὐτὸ τὸ σκοπὸ τὰ σκεύη τοῦ πολέμου, ὥστε καὶ ἡ ρομφαία νὰ χρησιμοποιεῖται ὡς ἄροτρο καὶ ἡ λόγχη νὰ μετατρέπεται σὲ δρεπάνι, καὶ νὰ ξεσυνηθίσουν τελείως τὸν πόλεμο καὶ νὰ σταματήσουν τὴ μεταξύ τους διαμάχη. Ὅταν ὅμως βασίλευσε στὰ ἔθνη ὁ Χριστός, ποὺ εἶναι εἰρήνη, ἔφυγε ἀπὸ τὴ μέση κάθε διχόνοια καὶ φιλονεικία καὶ διαμάχη καὶ κάθε εἶδος πλεονεξίας, ἐξαλήφθηκαν ἐπίσης καὶ οἱ ζημίες ἀπὸ τὸν πόλεμο καὶ οἱ φόβοι ποὺ προέρχονται ἀπὸ αὐτόν, καὶ ἐπικράτησε τὸ θέλημα ἐκείνου ποὺ λέγει πρὸς αὐτούς· «Σᾶς δίνω τὴν εἰρήνη μου, σᾶς ἀφήνω τὴ δική του εἰρήνη»[10].

Στίχ. 5-6. «Καὶ τώρα, λαὲ τῶν ἀπογόνων τοῦ Ἰακώβ, ἐλᾶτε κι ἂς πορευθοῦμε μὲ τὸ φῶς τοῦ Κυρίου. Γιατὶ ἐγκατέλειψε τὸν λαό του, τοὺς ἀπογόνους τοῦ Ἰσραήλ».

Ἀφοῦ τοὺς καταφόβισε ὅσο ἔπρεπε μὲ τὶς προαναγγελίες τῶν δεινῶν, δὲν ἀφήνει νὰ καταστραφοῦν μὲ τὴν ἀπόγνωση ὅσοι εἶχαν προσκρούσει σ' αὐτόν, ἀλλὰ τοὺς ἀφήνει νὰ ὑπονοήσουν ὅτι, ἂν θελήσουν νὰ μετανοήσουν θὰ εἶναι ὁ Θεὸς σπλαχνικός,

10. Ἰω. 14, 27.

ἀμεινόνων ἐφίεσθαι, κατευρυνεῖ πάλιν τῆς σωτηρίας τὴν ὁδόν, καὶ ἀμνησικάκως προσδέξεται, καίτοι πλεῖστά τε ὅσα καὶ οὐκ οἰστὰ πεπλημμεληκότας. Ταύτῃ τοι, φησίν, ἀναπλέκων εὐτέχνως τοῖς ἐλέγχοις τὸν παρακαλοῦντα λόγον· «Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου». Πρέπειν δὲ οἶμαι τῷ προφήτῃ μάλιστα τὸν ἐπὶ τῷδε λόγον προτρέπειν τοὺς ἐξ Ἰσραὴλ ὑπακούειν λέγοντι τῷ Χριστῷ· «Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτί, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ». Αὐτὸς δέ ἐστι τὸ φῶς. Καὶ γοῦν ἔφασκεν ἐναργῶς· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὁ ἀκολουθῶν ἐμοί, οὐ μὴ μείνῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς». Φῶς δ' ἂν λέγοιτο Κυρίου, καὶ μάλα εἰκότως, τὸ αὐτοῦ κήρυγμα, τοῦτ' ἔστι τὸ εὐαγγελικόν. Ὅμοιον οὖν ὡσεί λέγοι, Διαζήσωμεν εὐσεβῶς, τιμήσωμεν τῆς εὐαγγελικῆς πολιτείας τὸ περιφανές, παυσώμεθα τῶν ἐν τύποις, καταλήξωμεν τῆς σκιᾶς. Μεταπλάττωμεν τὰ Μωσέως γράμματα πρὸς ἀλήθειαν, εἰσδεξώμεθα τὸ σωτήριον φῶς.

Ἐπειδὴ δὲ τοῖς κατὰ σάρκα πατράσιν ἐπαυχοῦντες Ἰουδαῖοι, μεγάλην ἀεὶ τὴν ὀφρὺν ἀνασπᾶν ἐμελέτων, ὡς δι' αὐτοὺς ἀγαπώμενοι, μερίς τε καὶ κλῆρος χρηματίζοντες τοῦ Θεοῦ, καὶ λαὸς ἅγιος καὶ ἀπόλεκτος· εἶτα ληροῦντες ᾤοντο πάντῃ τε καὶ πάντως ἐν φροντίδι καὶ ἀγάπῃ κεῖσθαι τῇ παρὰ Θεῷ, κἂν εἰ πολλὰ δρῷεν τὰ ἀπηχθημένα αὐτῷ, κἂν εἰ μηδὲν ἡγοῖντο τὸν νόμον, κἂν εἰ αὐτὴν ἀτιμάζειν καὶ ἀπαράδεκτον ποιοῖντο τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, ἤγουν τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν χάριν, ἀναγκαίως ὁ προφήτης οὐχ ὧδε ἔχοντα τὸν τῶν ὅλων Θεὸν καταδεικνύει, λέγων· «Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰσραήλ». Τοιοῦτόν τι καὶ δι' ἑτέρου προφήτου φησὶν ὁ τῶν ὅλων Θεός, τὴν τῶν Ἰουδαίων ὀφρὺν καταστρέφων καὶ ἀσυνέτους ὄντας ἐλέγχων

11. Ἰω. 12, 35.
12. Ἰω. 8, 12.

καὶ ἐφόσον θελήσουν νὰ ξεχάσουν τὰ αἰσχρὰ καὶ νὰ ἐπιθυμήσουν τὰ καλά, θὰ τοὺς πλατύνει πάλι τὴν ὁδὸ τῆς σωτηρίας καὶ θὰ τοὺς δεχθεῖ χωρὶς μνησικακία, μολονότι διέπραξαν πλεῖστα ὅσα πλημμελήματα καὶ ὄχι ὑποφερτά. Γι' αὐτὸ λέγει, συνυφαίνοντας μὲ τέχνη τὸν λόγο τῆς παρακλησης μὲ τοὺς ἐλέγχους· «Καὶ τώρα, λαὲ τῶν ἀπογόνων τοῦ Ἰακώβ, ἐλᾶτε κι ἂς πορευθοῦμε μὲ τὸ φῶς τοῦ Κυρίου». Καὶ νομίζω ὅτι πάρα πολὺ ἁρμόζει στὸν προφήτη νὰ προτρέπει τοὺς Ἰσραηλίτες μὲ αὐτὸ στὸ λόγο νὰ ὑπακούσουν στὸν Χριστὸ ποὺ λέγει· «Ὅσο ἔχετε τὸ φῶς περπατᾶτε μέσα στὸ φῶς, γιὰ νὰ μὴ σᾶς προλάβει τὸ σκότος»[11]. Τὸ φῶς βέβαια εἶναι ἐκεῖ-νος. Καὶ πράγματι ἔλεγε καθαρά· «Ἐγὼ εἶμαι τὸ φῶς τοῦ κόσμου. Ὅποιος μὲ ἀκολουθεῖ δὲν θὰ μείνει στὸ σκοτάδι, ἀλλὰ θὰ ἔχει τὸ φῶς τῆς ζωῆς»[12]. Φῶς πάλι τοῦ Κυρίου θὰ μποροῦσε νὰ εἰπωθεῖ, καὶ πολὺ εὔλογα, τὸ κήρυγμά του, δηλαδὴ τὸ εὐαγγελικὸ κήρυγμα. Εἶναι ὅμοιο σὰ νὰ λέγει· Ἂς ζήσομε μ' εὐσέβεια, ἂς τιμήσομε τὴ λαμπρότητα τῆς εὐαγγελικῆς πολιτείας, ἂς σταματήσομε ὅσα ἔχουν σχέσει μὲ τοὺς τύπους, κι ἂς βάλομε τέλος στὴ σκιά. Ἂς μεταπλάσσομε τὰ γραφόμενα τοῦ Μωυσῆ σύμφωνα μὲ τὴν ἀλήθεια, ἂς δεχθοῦμε τὸ σωτήριο φῶς.

Ἐπειδὴ ὅμως καυχῶνταν οἱ Ἰουδαῖοι γιὰ τοὺς κατὰ σάρκα πατέρες τους καὶ ἡ ἀλαζονεία τους ἦταν διαρκῶς κολλημένη στὸ ἀποκορύφωμά της, ὅτι ἐξαιτίας αὐτῶν ἦταν ἀγαπώμενοι καὶ μερίδα καὶ κλῆρος τοῦ Θεοῦ καὶ λαὸς ἅγιος καὶ ἐκλεκτός, κι ἔπειτα φλυαρώντας νόμιζαν ὅτι ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο ἀπολάμβαναν τὴ φροντίδα καὶ τὴν ἀγάπη τοῦ Θεοῦ, ἔστω κι ἂν ἔπρατταν πολλὰ ἀπὸ ὅσα δὲν ἤθελε ὁ Θεός, ἔστω κι ἂν θεωροῦσαν μηδὲν τὸ νόμο, ἔστω κι ἂν περιφρονοῦσαν καὶ θεωροῦσαν ἀπαράδεκτο τὸν ἐρχομὸ τοῦ Σωτήρα, δηλαδὴ τὴ χάρη τῆς ἔνσαρκης οἰκονομίας, κατ' ἀνάγκη ὁ προφήτης δείχνει ὅτι ὁ Θεὸς τῶν ὅλων δὲν αἰσθανόταν ἔτσι πρὸς αὐτούς, λέγοντας· «Γιατὶ ἐγκατέλειψε τὸν λαό του, τοὺς ἀπογόνους τοῦ Ἰσραήλ». Κάτι παρόμοιο λέγει ὁ Θεὸς τῶν ὅλων καὶ μέσω ἑνὸς ἄλλου προφήτη, γκρεμίζοντας τὴν ἀλαζονεία τους καὶ ἀποδεικνύοντάς

αὐτούς. Καὶ ἐπεθύμουν γάρ, φησίν, ἀγρούς, καὶ διήρπαζον ὀρφανούς, καὶ οἴκους κατεδυνάστευον, καὶ ἐπὶ τὸν Κύριον ἐμεγαλύνοντο, λέγοντες· «Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Διὰ τοῦτο, δι' ἡμᾶς, Σιὼν ὡς ἀγρὸς ἀροτριωθήσεται, καὶ Ἰερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ ὄρος τοῦ οἴκου ὡς ἄλσος δρυμοῦ». Εἰ μὴ τοίνυν ἕλοισθε, φησί, πορεύεσθαι μεθ' ἡμῶν τῷ φωτὶ Κυρίου, τοῦτ' ἔστιν, εἰ ἀπαράδεκτον ποιεῖσθε τὸ κήρυγμα τὸ διὰ Χριστοῦ καὶ τὸν παρ' αὐτοῦ φωτισμὸν ἀποστρέφεσθε, πάντῃ τε καὶ πάντως ἀνήσει καὶ αὐτὸς τὸν ἑαυτοῦ λαόν. Καὶ τοῦτό ἐστιν ἐναργῶς ὅπερ ἔφη πρὸς αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· «Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν». Καὶ μὴν καὶ διὰ τῆς Ἱερεμίου φωνῆς, «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου», φησίν.

Στίχ. 6. «Ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα ἀλλόφυλα ἐγενήθησαν ἐν αὐτοῖς».

Ἀπολογεῖται τρόπον τινὰ καὶ νῦν ὁ προφήτης ὑπὲρ τῶν τοῦ Θεοῦ κριμάτων, καὶ ἀποδίδωσι τὰς αἰτίας τοῦ καὶ σφόδρα δικαίως ἀνεῖσθαι παρὰ Θεοῦ τὸν οἶκον τοῦ Ἰσραήλ, ἤτοι τὸν λαὸν αὐτοῦ. Διαμέμνηται δέ, ὡς ἔφην, παλαιῶν τε καὶ νέων πλημμελημάτων τοῦ Ἰσραήλ, ἀφιλοθέους ὄντας ἐλέγχων, καὶ πολὺ βλέποντας εἰς τὸ ἀπηνές, καὶ ἀχαλίνως ἰόντας πρὸς πᾶν ὁτιοῦν τῶν κατεψεγμένων, καὶ πολλὴν ἔχοντας ἐκ νόμου τὴν καταβοήν. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, ὀλίγα πεφροντικότες τῆς εἰς Θεὸν αἰδοῦς καὶ τῆς δοθείσης αὐτοῖς διὰ Μωσέως ἐντολῆς ἀλογήσαντες, πολυτρόπως ἠλίσκοντο· δεδράκασι δὲ τὰ

τους ἀνόητους. Γιατὶ λέγει, ἐπιθυμοῦσαν χωράφια, ἅρπαζαν τὰ ὑπάρχοντα τῶν ὀρφανῶν καὶ καταπίεζαν οἰκογένειες, καὶ καυχώμενοι γιὰ τὸν Κύριο, ἔλεγαν· «Δὲν εἶναι ὁ Κύριος μαζί μας; Δὲν θὰ μᾶς συμβοῦν δεινά. Γι' αὐτό, ἐξαιτίας μας, ἡ Σιὼν θὰ ὀργωθεῖ σὰν χωράφι καὶ ἡ Ἱερουσαλὴμ θὰ καταστεῖ σὰν ἀποθήκη ὀπωρικῶν, καὶ τὸ ὄρος τοῦ οἴκου τοῦ Θεοῦ θὰ γίνει ἄγριο δάσος»[13]. "Αν λοιπὸν δὲν θέλετε, λέγει, νὰ πορευθεῖτε μαζί μας μὲ τὸ φῶς τοῦ Κυρίου, δηλαδὴ ἂν θεωρεῖτε ἀπαράδεκτο τὸ κήρυγμα τοῦ Χρισοῦ κι ἀποστρέφεστε τὸν φωτισμό του, ὁπωσδήποτε καὶ μὲ κάθε βεβαιότητα θὰ ἐγκαταλείψει κι αὐτὸς τὸν λαό του. Καὶ αὐτὸ φανερὰ σημαίνει ἐκεῖνο ποὺ εἶπε σ' αὐτοὺς ὁ Κύριός μας Ἰησοῦς Χριστός· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, σὺ ποὺ φονεύεις τοὺς προφῆτες καὶ λιθοβολεῖς τοὺς ἀπεσταλμένους σ' ἐσένα. Πόσες φορὲς θέλησα νὰ μαζέψω τὰ παιδιά σου, ὅπως μαζεύει τὰ μικρά της ἡ ὄρνιθα κάτω ἀπὸ τὰ φτερά της, καὶ δὲν θελήσατε. Νά, ἀφήνεται ὁ οἶκος σας ἔρημος»[14]. Ἀλλὰ καὶ μὲ τὸ στόμα τοῦ Ἱερεμία λέγει· «Ἐγκατέλειψα τὸν οἶκο μου, ἄφησα τὴν κληρονομιά μου»[15].

Στίχ. 6. «Γιατὶ γέμισε ἡ χώρα τους, ὅπως στὴν ἀρχή, ἀπὸ μαντεῖες, ἔγινε ὅπως ἡ χώρα τῶν ἀλλοφύλων, καὶ γεννήθηκαν ἀνάμεσά τους παιδιὰ ἀλλοφύλων».

Κατὰ κάποιο τρόπο ἀπολογεῖται καὶ τώρα ὁ προφήτης γιὰ τὶς ἀποφάσεις τοῦ Θεοῦ καὶ ἀποδίδει τὶς αἰτίες τῆς πολὺ δίκαιας ἐγκατάλειψης ἀπὸ τὸν Θεὸ τοῦ οἴκου τοῦ Ἰσραήλ, δηλαδὴ τοῦ λαοῦ του. Μνημονεύει, ὅπως εἶπα, παλαιὰ καὶ νέα πλημμελήματα τοῦ Ἰσραήλ, ἐλέγχοντάς τους ὡς μὴ φιλόθεους, ὅτι εἶναι πολὺ σκληροὶ καὶ τρέχουν χωρὶς χαλινάρια πρὸς κάθετι ποὺ εἶναι ἀξιοκατάκριτο, καὶ ἔχουν ἐναντίον τους τὴν κατάκριση τοῦ νόμου. Γιατὶ πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Σωτήρα λίγο ἐνδιαφέρθηκαν γιὰ τὸ σεβασμὸ τοῦ Θεοῦ καὶ ἐπειδὴ ἀδιαφόρησαν γιὰ τὴν ἐντολὴ ποὺ τοὺς δόθηκε μέσω τοῦ Μωυσῆ, δέχθηκαν πολύμορφες κατα-

13. Μιχ. 3, 11-12. 14. Ματθ. 23, 37-38. 15. Ἱερ. 12, 7.

πάντων χείριστα καὶ εἰς αὐτὸν τὸν τῶν ὅλων Σωτῆρα Χριστόν. Ἐξηγεῖται τοιγαροῦν ποτὲ μὲν τῆς εἰς τὸν νόμον ἀπονοίας αὐτῶν τὰ ἐγκλήματα, καὶ τὰς ἐπὶ τούτῳ δίκας, ἃς ἐξήτηνται δικαίως, πολεμούντων αὐτοῖς τὸ τηνικάδε Περσῶν καὶ Βαβυλωνίων, Ἰδουμαίων, Ἐλαμιτῶν, καὶ ἑτέρων ἐθνῶν, ποτὲ δὲ τῆς κατὰ Χριστοῦ μανίας ἐγκαλεῖ τοὺς τρόπους, καὶ ὅσα συμβέβηκε ταύτης ἕνεκα τῆς αἰτίας παθεῖν αὐτούς, καταστρατευόντων τῆς Ἰουδαίας ἁπάσης τὴν ὑπὸ χεῖρα πληθὺν Οὐεσπασιανοῦ τε καὶ Τίτου.

Ἐξηγεῖται τοίνυν τὸ παρὸν ὁ λόγος ἡμῖν τὰ πρὸ τῆς ἐπιδημίας τῆς Ἰουδαίων Συναγωγῆς πλημμελήματα· ταύτης ἕνεκα τῆς αἰτίας ἀνεῖσθαί φησι, τοῦτ' ἔστι δεδόσθαι τοῖς ἐχθροῖς παρὰ Θεοῦ τὸν λαὸν αὐτοῦ, διά τοι τὸ πάλιν ελέσθαι νοσεῖν τὰ ἐν ἀρχαῖς, καὶ παλινδρομῆσαι πρὸς ἀνοσιότητα τὴν πρώτην. Λελατρεύκασι μὲν γὰρ ἐν Αἰγύπτῳ τοῖς ἐπιχωρίοις θεοῖς, ἤτοι δαίμοσιν· εἶτα λελύτρωνται διὰ Μωσέως Θεοῦ κατοικτείροντος, ἀπηλλάττοντό τε ὁμοῦ ψυχικῆς τε ἅμα καὶ σαρκικῆς δουλείας. Ὥσπερ γὰρ ἀπεσείσαντο τῆς Αἰγυπτίων πλεονεξίας τὸν ζυγόν, οὕτω καὶ τῆς τῶν δαιμόνων σκαιότητος ἀπηλλάττοντο, λατρεύοντες μὲν οὐκέτι τοῖς ψευδωνύμοις θεοῖς, νόμῳ δὲ μᾶλλον τῷ διὰ Μωσέως παιδαγωγούμενοι πρὸς τὸ ἀληθές, ἕνα τε καὶ φύσει καὶ ἀληθῶς ἐπιγινώσκοντες Θεόν. Ἦκουον γὰρ νομοθετοῦντός τε καὶ λέγοντος ἐν Χωρήβ· «Οὐ ποιήσεις σαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς Οὐ προσκυνήσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου». Γέγραπται δὲ καὶ ἐν τῷ Δευτερονομίῳ· «Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. Οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ, ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί. Μαν-

16. Δευτ. 5, 8-9.

δίκες. Διέπραξαν ὅμως τὰ πλέον χειρότερα ὅλων καὶ στὸν ἴδιο τὸν Σωτήρα τῶν ὅλων Χριστό. Ἐκθέτει λοιπὸν ἄλλοτε τὰ ἐγκλήματα τῆς ἀνοησίας τους εἰς βάρος τοῦ νόμου καὶ τὶς τιμωρίες ποὺ δίκαια τοὺς ἐπιβλήθηκαν, ἀφοῦ κατὰ τὴν ἐποχὴ ἐκείνη πολεμοῦσαν ἐναντίον τους οἱ Πέρσες καὶ οἱ Βαβυλώνιοι, οἱ Ἰδουμαῖοι καὶ οἱ Ἐλαμῖτες καὶ ἄλλοι λαοί, καὶ ἄλλοτε κατηγορεῖ τοὺς τρόπους τῆς μανίας ἐναντίον τοῦ Χριστοῦ καὶ ὅσα συνέβη γι' αὐτὴ τὴν αἰτία νὰ πάθουν αὐτοί, ἐξολοθρεύοντας ὁ Βεσπασιανὸς καὶ ὁ Τίτος τὸ κάτω ἀπὸ τὴν ἐξουσία τους πλῆθος ὁλόκληρης τῆς Ἰουδαίας.

Μᾶς ἐκθέτει λοιπὸν ἐδῶ ὁ λόγος τὰ πλημμελήματα τῆς Συναγωγῆς τῶν Ἰουδαίων πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Χριστοῦ· γι' αὐτὴ τὴν αἰτία, λέγει, ἀφέθηκε, δηλαδὴ παραδόθηκε ἀπὸ τὸν Θεὸ ὁ λαός του στοὺς ἐχθρούς, ἐπειδὴ φυσικὰ προτίμησαν καὶ πάλι τὴν παλαιὰ νόσο τους καὶ ἐπέστρεψαν στὴν πρώτη ἀνόσια ζωή τους. Γιατὶ εἶχαν λατρεύσει στὴν Αἴγυπτο τοὺς ἐπιχώριους θεοὺς ἢ δαίμονες. Ἔπειτα ἀπελευθερώθηκαν μέσω τοῦ Μωυσῆ ἐπειδὴ τοὺς λυπήθηκε ὁ Θεός, καὶ λυτρώθηκαν συνάμα ἀπὸ τὴν ψυχικὴ καὶ τὴ σαρκικὴ δουλεία. Ὅπως λοιπὸν ἀποτινάξαν τὸν ζυγὸ τῆς Αἰγυπτιακῆς τυραννίας, ἔτσι ἀπαλλάχθηκαν καὶ ἀπὸ τὴ βάναυση μεταχείριση τῶν δαιμόνων, καὶ δὲν λάτρευαν πιὰ τοὺς ψευδώνυμους θεούς, ἀλλὰ παιδαγωγοῦνταν πρὸς τὴν ἀλήθεια μὲ τὸν νόμο τοῦ Μωυσῆ, ἀναγνωρίζοντας ἕνα καὶ ἀπὸ τὴ φύση του καὶ ἀληθινὸ Θεό. Γιατὶ τὸν ἄκουαν νὰ νομοθετεῖ καὶ νὰ λέγει στὸ ὄρος Χωρήβ· «Δὲν θὰ κατασκευάσεις γιὰ τὸν ἑαυτό σου ἄγαλμα, οὔτε κανενὸς ὁμοίωμα ἀπὸ ὅσα ὑπάρχουν ψηλὰ στὸν οὐρανὸ καὶ ἀπὸ ὅσα πάνω στὴ γῆ, καὶ ἀπὸ ὅσα ζοῦν μέσα στὰ νερὰ καὶ κάτω ἀπὸ τὴ γῆ· δὲν θὰ τὰ προσκυνήσεις αὐτά· γιατὶ ἐγὼ εἶμαι ὁ Κύριος ὁ Θεός σου»[16]. Ἐπίσης ἔχει γραφεῖ καὶ πάλι στὸ Δευτερονόμιο· «Ἂν εἰσέλθεις στὴ γῆ ποὺ σοῦ δίνει ὁ Κύριος ὁ Θεός σου, δὲν θὰ μάθεις νὰ πράττεις σύμφωνα μὲ τὶς σιχαμένες πράξεις ἐκείνων τῶν ἐθνῶν. Δὲν θὰ ὑπάρξει κανένας

τευόμενος μαντείαν, καὶ κληδονιζόμενος καὶ οἰωνιζόμενος, φαρμακός, ἐπαοιδός, ἐγγαστρίμυθος καὶ τερατοσκόπος καὶ ἐπερωτῶν τοὺς νεκρούς Ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα. Τέλειος ἔσῃ ἐναντίον Κυρίου σου. Τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομεῖς αὐτούς, οὗτοι κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται. Καὶ σοὶ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου».

Καὶ ταῦτα μὲν ὁ νόμος· ἐπειδὴ δὲ ἦσαν εὐπαρακόμιστοι καὶ πολὺ δὴ λίαν ἕτοιμοι πρὸς ἀπόστασιν, δῆλον δὲ ὅτι τὴν ἀπὸ Θεοῦ, προσενομοθέτει λέγων· «Ἐὰν δὲ εἰσαγάγῃ σε ὁ Κύριος ὁ Θεός εἰς τὴν γῆν, εἰς ἣν πορεύσῃ ἐκεῖ κληρονομῆσαι, καὶ ἐξαρεῖς ἔθνη μεγάλα, καὶ πολλὰ καὶ ἰσχυρὰ πρὸ προσώπου σου (τὸν δεῖνα, φησί, καὶ τὸν δεῖνα), καὶ παραδῷ αὐτοὺς Κύριος ὁ Θεός σου εἰς χεῖράς σου, καὶ πατάξεις αὐτούς, ἀφανισμῷ ἀφανιεῖς αὐτούς, οὐ διαθήσῃ αὐτοῖς διαθήκην, οὔτε μὴ ἐλεήσεις αὐτούς, οὐδ' οὐ μὴ γαμβρεύσῃται πρὸς αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ Κύριος ὁ Θεός σου εἰς χεῖράς σου, καὶ πατάξεις αὐτούς Ἀφανισμῷ ἀφανιεῖς αὐτούς, οὐ διαθήσῃ αὐτοῖς διαθήκην, οὔτε μὴ ἐλεήσεις αὐτούς, οὐδ' οὐ μὴ γαμβρεύσῃται πρὸς αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις, καὶ ὀργισθήσεται θυμῷ Κύριος εἰς ὑμᾶς, καὶ ἐξολοθρεύσει σε τὸ τάχος». Πάντα γὰρ τρόπον ἀσφαλείας αὐτοῖς ἐπενόει Θεός, καί, καθά φησι τὸ Γράμμα τὸ ἱερόν, Νόμον εἰς βοήθειαν ἔδωκεν. Οἱ δὲ τῶν οὕτω σεπτῶν ἐνταλμάτων ἠφειδηκότες, ἐτράποντο παραλόγως εἰς πᾶν τῶν ἐντεταλμένων τὸ ἐναντίον. Προσέκειντο γὰρ κληδονισμοῖς καὶ ψευδομαντείαις καὶ παρὰ τοῖς τῶν εἰδώλων προσιζηκότων ζητεῖν ἐσπούδαζον τῶν ἐσομένων τὴν γνῶσιν, καίτοι προφήταις

ἀνάμεσά σας ποὺ θὰ θελήσει νὰ ἐξαγνίσει τὸν υἱὸ ἢ τὴ θυγατέρα του στὴ φωτιά, οὔτε ἄλλος ποὺ νὰ μαντεύει καὶ νὰ κάνει μαγικά, ἢ νὰ ἀσχολεῖται μὲ τὴν οἰωνοσκοπία, ἢ νὰ εἶναι φαρμακευτὴς ἢ γητευτὴς ἢ ἐγγαστρίμυθος ἢ θαυματοποιὸς ἢ νεκρομάντης. Γιατὶ εἶναι σιχαμερὸς ἀπέναντι στὸν Κύριο τὸν Θεό σου καθένας ποὺ τὰ κάνει αὐτά. Θὰ εἶσαι τέλειος ἀπέναντι στὸν Κύριό σου. Γιατὶ οἱ λαοὶ αὐτοί, τοὺς ὁποίους ἐσὺ κληρονομεῖς, αὐτοὶ θέλουν νὰ ἀκοῦν μαγικὰ πράγματα καὶ μαντεῖες. Ἐσένα ὅμως δὲν σὲ δίδαξε ὁ Θεός σου νὰ κάνεις αὐτά»[17].

Καὶ αὐτὰ βέβαια λέγει ὁ νόμος. Ἐπειδὴ ὅμως παρασύρονταν εὔκολα καὶ ἦταν πάρα πολὺ πρόθυμοι γι᾽ ἀποστασία, καὶ εἶναι φανερὸ γιὰ ἀποστασία ἀπὸ τὸν Θεό, νομοθέτησε πρόσθετα λέγοντες· «Ἂν ὅμως ὁ Κύριος ὁ Θεὸς σὲ ὁδηγήσει μέσα στὴ γῆ στὴν ὁποία θὰ πᾶς γιὰ νὰ κληρονομήσεις καὶ νὰ διώξεις ἀπὸ μπροστά σου ἔθνη μεγάλα καὶ πολλὰ καὶ ἰσχυρὰ (καὶ λέγει τὸ τάδε καὶ τὸ τάδε), καὶ παραδώσει αὐτὰ σ᾽ ἐσένα ὁ Κύριος ὁ Θεός σου καὶ τοὺς χτυπήσεις, θὰ τὰ ἀφανίσεις ὁλοσχερῶς, καὶ δὲν θὰ κάνεις συμφωνία μαζί τους οὔτε θὰ τὰ ἐλεήσεις, οὔτε θὰ συνάψεις συγγένεια μ᾽ αὐτοὺς μὲ συνοικέσια. Δὲν θὰ δώσεις τὴ θυγατέρα σου στὸν υἱό σου, οὔτε καὶ θὰ λάβεις γιὰ τὸν υἱό σου τὴ θυγατέρα του. Γιατὶ θ᾽ ἀπομακρύνει τὸν υἱό σου ἀπὸ ἐμένα καὶ θὰ λατρεύσει ἄλλους θεούς, καὶ θὰ ὀργισθεῖ πολὺ ὁ Κύριος ἐναντίον σας καὶ θὰ σᾶς ἐξολοθρεύσει ταχύτατα»[18]. Ἐπινοοῦσε δηλαδὴ κάθε τρόπο γιὰ νὰ τοὺς ἐξασφαλίσει καί, ὅπως λέγει ἡ ἁγία Γραφή, ἔδωσε τὸν νόμο βοηθό τους. Αὐτοὶ ὅμως, περιφρονώντας τὶς τόσο σεβαστὲς ἐντολές, στράφηκαν παράλογα σὲ κάθε ἀντίθετο ἀπὸ ὅσα ἔπαιρναν ἐντολὴ νὰ κάνουν. Γιατὶ ἦταν προσκολλημένοι στὰ μαγικὰ πράγματα καὶ τὶς ψευτομαντεῖες, καὶ ἀπὸ ἐκείνους ποὺ κάθονταν στὰ πόδια τῶν εἰδώλων ζητοῦσαν ἀνυπόμονα νὰ γνωρίσουν τὰ μελλοντικά, μολονότι βέβαια

17. Δευτ. 18, 9-13.
18. Δευτ. 7, 1-4.

ἁγίοις ἐπιτιμῶντές τε καὶ λέγοντες· «Ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν».

Συνῆσαν δὲ καὶ ταῖς τῶν ὁμόρων ἐθνῶν θυγατράσιν, ἀπειρηκότος τοῦ νόμου τὸ χρῆμα. Γύναιά τε πονηρὰ καὶ θεομισῆ καὶ τοῖς τῆς εἰδωλολατρίας ἔθεσιν ἐντεθραμμένα παρανόμως εἰσοικισάμενοι, παίδων ἀλλοτρίων γεγόνασι πατέρες, οἳ καὶ ἀνετρέφοντο τοῖς τῶν μητέρων ἔθεσι, τὸν διὰ Μωσέως νόμον, οὐδ' ὅσον εἰπεῖν, εἰδέναι προσποιούμενοι. Ταύτῃ τοί φησιν, ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν ὡσεὶ τῶν ἀλλοφύλων, καὶ τέκνα ἀλλόφυλα ἐγε[ν]ήθησαν αὐτοῖς. Ἦν δὲ σφόδρα τῶν ἀτόπων καὶ πάναισχρον ἀληθῶς, τὴν ἁγίαν πόλιν κατῳκηκότας, τοὺς ἐξ ἀλλοφύλων γυναικῶν γεγονότας αὐτοῖς υἱεῖς, ἔθεσιν Ἑλληνικοῖς πολιτεύεσθαι καὶ ζῆν ἔξω νόμου. Καὶ τοῦ Θεοῦ προστάττοντος πᾶν παιδίον ἄρσεν ὀκταήμερον περιτέμνεσθαι, λέγοντός τε σαφῶς, «Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιόν μου», οἱ δὲ τοῦτο μὲν οὐκ ἔδρων, ἀπεκομίζοντο δὲ τοῖς δαίμοσι τὰ γεννώμενα, καὶ ἐν τοῖς τῶν εἰδώλων τεμένεσι τὰς ἐπ' αὐτοῖς ἐτέλουν θυσίας. Ὁρᾷς πανταχῇ πεπατηκότας τὸν νόμον; Εἶτα πῶς ἦν ἀκόλουθον τοὺς εἰς τοῦτο λοιπὸν ἥκοντας ἀσεβείας, ὡς μήτε εἰδέναι βούλεσθαι τὸν λυτρωτήν, αὐτοῦ λαὸν ὀνομάζεσθαι; Οὐκοῦν ὁσία ψῆφος ἡ ἐπ' αὐτοῖς, καὶ τῆς ἀποστροφῆς οὐκ ἀγεννὴς ἡ πρόφασις. «Ἀπροσωπόληπτος γὰρ ὁ τῶν ὅλων κριτής».

Στίχ. 7. «Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσοῦ, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν».

Δύο δὴ πάλιν αὐτοῖς τὰ πάντων μάλιστα τῶν κακῶν αἰσχίονα προσεῖναί φησι, φιλαργυρίαν τε ὁμοῦ καὶ ὑπερηφάνειαν. Καὶ ῥίζα μὲν ὅτι πάντων ἐστὶ τῶν κακῶν ἡ φιλαργυ-

ἐπιτιμοῦσαν τοὺς ἁγίους προφῆτες καὶ τοὺς ἔλεγαν· «Ἀλλὰ μιλᾶτε μ᾽ ἐμᾶς καὶ μᾶς ἀναγγέλλετε καινούργια πλάνη»[19].

Συζοῦσαν ὅμως καὶ μὲ τὶς θυγατέρες τῶν γειτονικῶν ἐθνῶν, ἂν καὶ ὁ νόμος ἀπαγόρευε τὸ πρᾶγμα. Βάζοντας ὅμως στὸ σπίτι τους παράνομα γυναῖκες πονηρὲς καὶ μισητὲς στὸν Θεὸ καὶ ἀναθρεμμένες μὲ τὶς συνήθειες τῶν εἰδωλολατρῶν, ἔγιναν πατέρες ξένων παιδιῶν, ποὺ ἀνατρέφονται καὶ αὐτὰ σύμφωνα μὲ τὶς συνήθειες τῶν μητέρων τους, προσποιούμενοι κατὰ κάποιο τρόπο ὅτι δὲν γνώριζαν τὸ νόμο τοῦ Μωυσῆ. Γι᾽ αὐτὸ λέγει, ὅτι γέμισε ἡ χώρα τους, ὅπως στὴν ἀρχή, ἀπὸ μαντεῖες παρόμοιες μὲ τῶν ἀλλοφύλων, καὶ γεννήθηκαν σ᾽ αὐτοὺς παιδιὰ ἀλλόφυλα. Καὶ ἦταν ὑπερβολικὰ ἀνόητο κι ἀληθινὰ τελείως αἰσχρό, κατοικώντας τὴν ἁγία πόλη, τὰ τέκνα ποὺ εἶχαν γεννηθεῖ ἀπὸ γυναῖκες ἀλλόφυλες νὰ πολιτεύονται μὲ ἑλληνικὲς συνήθειες καὶ νὰ ζοῦν ἔξω ἀπὸ τὸ νόμο. Κι ἐνῶ ὁ Θεὸς πρόσταζε καὶ ἔλεγε μὲ σαφήνεια κάθε ἀρσενικὸ παιδὶ στὶς ὀχτὼ ἡμέρες νὰ περιτέμνεται, «Τρεῖς ἐποχὲς τοῦ χρόνου θὰ παρουσιάζεται κάθε ἀρσενικό σας σ᾽ ἐμένα»[20], αὐτοὶ αὐτὸ βέβαια δὲν τὸ ἔκαναν, ἀλλὰ ὁδηγοῦσαν τὰ παιδιὰ στοὺς δαίμονες, καὶ τελοῦσαν τὶς σχετικὲς θυσίες στοὺς ναοὺς τῶν εἰδώλων. Βλέπεις ὅτι παντοῦ καταπατοῦσαν τὸ νόμο; Καὶ πῶς τότε εἶχε λογικὴ ἀκολουθία, αὐτοὶ ποὺ εἶχαν φτάσει σὲ τέτοιο βαθμὸ ἀσέβειας, ὥστε οὔτε κἂν νὰ θέλουν νὰ γνωρίσουν τὸν λυτρωτή, νὰ ὀνομάζονται λαός του; Ἦταν λοιπὸν ἱερὴ ἡ ἀπόφαση γι᾽ αὐτοὺς καὶ ἡ αἰτία τῆς ἀποστροφῆς τους ὄχι ἀσήμαντη· «Γιατὶ εἶναι ἀμερόληπτος ὁ κριτὴς τῶν ὅλων»[21].

Στίχ. 7. «Γιατὶ ἡ χώρα τους γέμισε ἀπὸ ἄργυρο καὶ χρυσὸ καὶ ὁ θησαυρός τους εἶναι ἀμέτρητος. Ἐπίσης ἡ χώρα γέμισε ἀπὸ ἵππους, καὶ τὰ ἅρματά τους ἦταν ἀμέτρητα».

Δύο λοιπὸν πάλι λέγει ὅτι εἶναι κυρίως τὰ χειρότερα ἀπὸ ὅλα κακά τους, ἡ φιλαργυρία καὶ ἡ ὑπεροψία. Καὶ ὅτι βέβαια ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία τὸ ἔχει βεβαιώσει μὲ σαφή-

19. Ἡσ. 30, 10. 20. Ἐξ. 23, 17. 34, 23. Δευτ. 16, 16. 21. Ρωμ. 2, 11.

ρία, μεμαρτύρηκεν ἐναργῶς ὁ σοφώτατος Παῦλος. Ἀπηχθημένον δὲ ὅτι τῆς ἀλαζονείας τὸ χρῆμα παρὰ Θεῷ, παντί τῳ σαφές. Γέγραπται γάρ, ὅτι «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». Φαυλότητος τίνα τρόπον οὐκ ἄν τις ἐνόντα βλέποι παρά γε τοῖς ἐθέλουσι πλουτεῖν; ποιοῖντο γὰρ οἱ τοιοίδε τὴν τῶν χρημάτων συγκομιδὴν ἔκ τε τόκων καὶ πλεονασμῶν, ἐκ πλεονεξίας καὶ ἀδικίας, ἐξ ἁρπαγῆς καὶ συκοφαντίας. Πρόσεστι δὲ τῷ πλούτῳ καὶ τὸ ἀγέρωχον, καὶ τὸ λίαν ἕτοιμον εἰς ἀποφορὰν τῶν ἐκτόπων καὶ βδελυρωτάτων ἡδονῶν. Ὅπου γὰρ τὸ τρυφᾶν, ἐκεῖ που πάντως κῶμοι καὶ μέθαι, κοῖται καὶ ἀσέλγειαι, καὶ πᾶν εἶδος ἀκολασίας. Τίς δὲ δὴ τῶν εὖ φρονεῖν εἰωθότων, οὐκ ἂν στυγητὸν ποιήσαιτο τὸν ὑπέροπτον διαπτύοντα τοὺς ἀσθενεστέρους, ὀφρὺν ἀνασπῶντα τὴν ὑψηλήν, περιορῶντα τοὺς ἐν πτωχείᾳ, καὶ τοῖς ἐν ταλαιπωρίαις συναλγεῖν οὐκ ἀνεχόμενον, ἐλεεῖν οὐκ ἀξιοῦντα τοὺς ἐν ἀνάγκαις καὶ πόνοις, ἠγνοηκότα δὲ λοιπόν, ὅτι καὶ χοῦς ἐστι καὶ σποδός;

Αἰτιᾶται τοίνυν, καὶ μάλα εἰκότως, ὁ φιλάρετος ἡμῶν Θεός, ὡς ἀκόρεστον ἔχοντας εἰς φιλοκερδίαν τὸν νοῦν, ὡς ἵπποις ἐποχουμένους καὶ τοῖς τῆς φιλοδοξίας ἐναλόντας βρόχοις. Ἐμπεπλῆσθαι δὲ ἵππων τὴν χώραν αὐτῶν φησιν, ὡς οὐχ ἑνός ἢ δευτέρου νενοσηκότος τὴν ὑπεροψίαν, ἀλλ' οἷον ὅλης αὐτῶν κατειλημμένης τῆς χώρας τῷ πάθει, καὶ κατὰ πάντων ἰόντος τοῦ κακοῦ. Πλὴν ἐλέγχει καὶ διὰ τούτου τῷ νόμῳ προσκεκρουκότας, καὶ ἀπειθεῖν ῥηθεῖσι Θεῷ, διειρηκότι σαφῶς· «Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ καὶ κατακληρονομήσῃς αὐτὴν καὶ κατοικήσῃς ἐπ' αὐτῆς καὶ εἴπῃς, Καταστήσω ἐμαυτῷ ἄρχοντα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου, καθιστῶν καταστήσεις ἐπὶ σαυτὸν ἄρχοντα, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν». Εἶτά φησι περὶ τοῦ

22. Α' Τιμ. 6,10. 23. Ἰακ. 4,6.

νεια ὁ σοφώτατος Παῦλος[22], ὅτι ὅμως ὁ Θεὸς μισεῖ τὴν ἀλαζονεία, εἶναι φανερὸ σὲ ὅλους. Γιατὶ ἔχει γραφεῖ «Ὁ Θεὸς εἶναι ἀντίθετος στοὺς ὑπερήφανους, ἐνῶ δίνει χάρη στοὺς ταπεινούς»[23]. Ποιὰ μορφὴ φαυλότητας δὲν θὰ ἔβλεπε κανεὶς σ' αὐτοὺς ποὺ θέλουν νὰ πλουτήσουν; Γιατὶ τὴ συγκέντρωση χρημάτων οἱ φιλάργυροι τὴν κάνουν ἀπὸ τόκους καὶ ἐπιπρόσθετα κέρδη, ἀπὸ πλεονεξία καὶ ἀδικία, ἀπὸ ἁρπαγὴ καὶ συκοφαντία. Τὸν πλοῦτο ἐπίσης συνοδεύει καὶ ἡ ἀγερωχία καὶ ἡ μεγάλη προθυμία πρὸς ἀπόλαυση τῶν παράνομων καὶ ἀνόσιων ἡδονῶν. Γιατὶ ὅπου ὑπάρχει τρυφή, ἐκεῖ ὁπωσδήποτε ὑπάρχουν ξεφαντώματα καὶ μέθες, παράνομες συνευρέσεις καὶ ἀσέλγειες, καὶ κάθε εἴδους ἀκολασίας. Καὶ ποιὸς φρόνιμος ἄνθρωπος δὲν θὰ μισοῦσε τὸν ὑπερόπτη ποὺ ἐξετευλίζει τοὺς ἀσθενέστερους, ποὺ σηκώνει ἀλαζονικὰ τὰ φρύδια του, ποὺ περιφρονεῖ τοὺς φτωχοὺς καὶ δὲν ἀνέχεται νὰ συμπάσχει μὲ ἐκείνους ποὺ βρίσκονται σὲ ταλαιπωρίες, ποὺ δὲν θεωρεῖ ἄξιο νὰ ἐλεήσει αὐτοὺς ποὺ βρίσκονται σὲ ἀνάγκες καὶ ὑποφέρουν, καὶ τέλος λησμονεῖ ὅτι εἶναι χῶμα καὶ στάχτη;

Κατηγορεῖ λοιπόν, καὶ πολὺ εὔλογα, ὁ φιλάρετος Θεὸς τοὺς Ἰουδαίους ποὺ ἔχουν ἀχόρταγη ἐπιθυμία γιὰ κέρδος, ὅτι καβαλλικεύουν ἵππους καὶ εἶναι πιασμένοι ἀπὸ τοὺς βρόχους τῆς φιλοδοξίας. Ἔχει γεμίσει, λέγει, ἡ χώρα τους ἀπὸ ἵππους, γιατὶ δὲν εἶναι ἕνας ἢ δύο ποὺ πάσχουν ἀπὸ τὴ νόσο τῆς ὑπεροψίας, ἀλλὰ ὅλη κατὰ κάποιο τρόπο ἡ χώρα τους εἶναι κυριευμένη ἀπὸ τὸ πάθος καὶ τὸ κακὸ ἔχει προχωρήσει σὲ ὅλους. Πλὴν ὅμως τοὺς ἐλέγχει καὶ μὲ αὐτὸ ὅτι ἔχουν προσκρούσει στὸ νόμο καὶ θέλησαν νὰ δείξουν ἀνυπακοὴ στὸν Θεὸ ποὺ τοὺς εἶπε μὲ σαφήνεια· «Ὅταν εἰσέλθεις στὴ γῆ ποὺ σοῦ δίνει ὁ Κύριος ὁ Θεός σου ὡς κλῆρο καὶ τὴν κληρονομήσεις καὶ κατοικήσεις σ' αὐτὴν καὶ πεῖς· Θὰ ἐγκαταστήσω στὸν ἑαυτό μου ἄρχοντα ἔτσι ὅπως ἔχουν καὶ τὰ λοιπὰ γύρω μου ἔθνη, νὰ ὁρίσεις ὁπωσδήποτε ἄρχοντα γιὰ σένα αὐτὸν ποὺ θὰ ἐκλέξει ὁ Κύριος ὁ Θεός σου»[24]. Ἔπειτα λέγει

24. Δευτ. 17, 14-15.

καθισταμένου· «Διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψει τὸν λαὸν εἰς Αἴγυπτον, ὅπως ἂν μὴ πληθύνῃ ἑαυτῷ ἵππον». Καὶ πρὸς τούτοις ἔτι· «Καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ ἑαυτῷ σφόδρα». Αἰτιᾶται τοίνυν ὡς ποιουμένους μὲν τῶν χρημάτων τὴν ἄθροισιν, καὶ τοῦτο ἁπλήστως, πληθύνοντας δὲ ἑαυτοῖς καὶ ἵππον. Ἅπτεται δέ, κατὰ τὸ εἰκός, ὁ ἐπὶ τῷδε μῶμος μάλιστα τῶν καθηγεῖσθαι λαχόντων, ὡς παραβαινόντων τὴν ἐντολήν, οὓς ἦν ἀκόλουθον καὶ πρό γε τῶν ἄλλων ὁρᾶσθαι τετιμηκότας τὰ τεθεσπισμένα, καὶ τοῖς παραβαίνουσιν ἐπιτιμᾷν.

Στίχ. 8-9. «Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς».

Ἐγκαλεῖ πάλιν αὐτοῖς τὴν νοητὴν πορνείαν καὶ τὸ πολλοῖς ἑλέσθαι προσκυνεῖν τῶν ψευδωνύμων θεῶν. Ἀποφαίνει δὲ ὅτι δυσσεβείας εἰς τοῦτο προήκουσι μέτρον, ὡς παντὸς εἰς λῆξιν ἐλάσαι κακοῦ, καὶ τὸ τελειοτάτην ἀπόστασιν μελετῆσαι τὴν ἀπὸ Θεοῦ τοῦ πάντα εἰδότος, νεύμασιν ὑποφέροντος καὶ παρενεγκόντος εἰς ὕπαρξιν. Ἔοικε δὲ τρόπον τινὰ καὶ ὑπεραλγεῖν τῆς ἀνθρώπου φύσεως ὑβρισμένης ἐσχάτως. Τετίμηκε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς αὐτουργίᾳ τὸν ἄνθρωπον. Οὐ γὰρ λόγῳ μετὰ τῶν ἄλλων κτισμάτων ἀπεσχεδιάζετο καὶ αὐτός, καθάπερ ἀμέλει τό, «Γενηθήτω στερέωμα, καὶ ἐγένετο οὕτως», ἀλλ' ἔλαβε χοῦν ἀπὸ τῆς γῆς καὶ ἐποίησε τὸν ἄνθρωπον, κατά γε τὰς τοῦ πανσόφου Μωσέως φωνάς. Γέγονε δὲ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ, καὶ οἷόν τις ἄρχων κεχειροτόνηται τῶν ἐπὶ τῆς γῆς. Τετίμηται δὲ πρὸς τούτῳ καὶ πνεύματι ζωῆς. Ἐνεφύσησε γὰρ εἰς πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. Οὐκοῦν

25. Δευτ. 17, 16.
26. Δευτ. 17, 17.

γι᾽ αὐτὸν ποὺ θὰ ὁρισθεῖ· «Γιατὶ δὲν θὰ ἀποκτήσει γιὰ τὸν ἑαυτό του πολὺ ἱππικό, οὔτε θὰ γυρίσει τὸν λαὸ στὴν Αἴγυπτο, γιὰ νὰ μὴ πληθύνει ἀπὸ ἐκεῖ τὸ ἱππικὸ γιὰ τὸν ἑαυτό του»[25]. Ἐκτὸς ἀπὸ αὐτὰ λέγει ἀκόμα· «Καὶ δὲν θὰ μαζέψει γιὰ τὸν ἑαυτό του μεγάλη ποσότητα ἄργυρο καὶ χρυσό»[26]. Τοὺς κατηγορεῖ λοιπὸν γιὰ τὴ συγκέντρωση χρημάτων ποὺ ἐπιδιώκουν, καὶ μάλιστα μὲ ἀπληστία, καὶ γιὰ τὸ ὅτι πληθύνουν τὸ ἱππικὸ γιὰ τὸν ἑαυτό τους. Καὶ αὐτὴ ἡ κατηγορία, ὅπως εἶναι εὔλογο, ἀγγίζει τοὺς ἡγέτες τους, ἐπειδὴ παραβαίνουν τὴν ἐντολή, αὐτοὶ ποὺ λογικὸ ἦταν πρὶν ἀπὸ ὅλα τὰ ἄλλα νὰ φαίνονται ὅτι τιμοῦν τὰ νομοθετημένα καὶ νὰ ἐπιτιμοῦν τοὺς παραβάτες.

> Στίχ. 8-9. «Καὶ γέμισε ἡ γῆ ἀπὸ τὰ βδελυρὰ εἴδωλα τῶν χεριῶν τους καὶ προσκύνησαν αὐτὰ ποὺ ἔφτιαξαν τὰ δάχτυλά τους, καὶ ἔσκυψε μπροστὰ σ᾽ αὐτὰ ὁ ἄνθρωπος καὶ ὁ ἄνδρας ταπεινώθηκε, πρᾶγμα γιὰ τὸ ὁποῖο δὲν θὰ τοὺς συγχωρήσω».

Τοὺς κατηγορεῖ πάλι γιὰ τὴν πνευματικὴ πορνεία καὶ γιὰ τὸ ὅτι θέλησαν νὰ προσκυνήσουν πολλοὺς ψευδώνυμους θεούς, καὶ λέγει ὅτι προχώρησαν σὲ τέτοιο βαθμὸ ἀσέβειας, ὥστε ἔφτασαν νὰ ξεπεράσουν κάθε κακό, καὶ μελέτησαν τὴν πλήρη ἀπομάκρυνση ἀπὸ τὸν Θεὸ τὸν παντογνώστη, ποὺ μὲ τὰ νεύματά του τὰ βαστάζει καὶ τὰ ἔφερε στὴν ὕπαρξη, καὶ φαίνεται κατὰ κάποιο τρόπο νὰ λυπᾶται πάρα πολὺ γιὰ τὴ φύση τοῦ ἀνθρώπου ποὺ τελευταῖα ἔχει ἀτιμασθεῖ. Γιατὶ ὁ Θεὸς τῶν ὅλων ἔχει τιμήσει τὸν ἄνθρωπο μὲ ἐργασία τῶν ἴδιων τῶν χεριῶν του, ἀφοῦ δὲν ἔλαβε αὐτὸς μορφὴ παρόμοια μὲ τὰ ἄλλα δημιουργήματα μὲ τὸ λόγο, ὅπως βέβαια ἐκεῖνο τό, «Ἂς γίνει τὸ στερέωμα, καὶ ἔγινε ἔτσι»[27], ἀλλὰ πῆρε χῶμα ἀπὸ τὴ γῆ καὶ ἔκανε τὸν ἄνθρωπο σύμφωνα μὲ τὰ λόγια τοῦ πάνσοφου Μωυσῆ, καὶ ἔγινε κατ᾽ εἰκόνα καὶ ὁμοίωση τοῦ Θεοῦ, καὶ χειροτονήθηκε κατὰ κάποιο τρόπο ἄρχοντας ὅλων ὅσα ὑπάρχουν στὴ γῆ. Ἐκτὸς ἀπὸ αὐτὸ τιμήθηκε καὶ μὲ πνεῦμα ζωῆς. Γιατὶ φύσηξε στὸ πρόσωπό του πνοὴ ζωῆς[28]. Ὥστε

27. Γέν. 1, 6.

28. Γέν. 2, 7.

«ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε», κατὰ τὸ γεγραμμένον, λελάτρευκε γὰρ τοῖς γλυπτοῖς, καί, ὡς προφητικὸς ἔφη λόγος, «Προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν». Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ. Ὕβρις δὲ τοῦτο καὶ εἰς Θεὸν αὐτόν, καὶ εἰς τὴν ἀνθρώπου φύσιν. Καίτοι γὰρ ἑνὸν ἀπὸ καλλονῆς κτισμάτων ἀναλόγως ἰδεῖν τὸν τούτων τεχνίτην, «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης», τοῦτο μὲν οὖν οὐ πεπράχασιν, ἀπονέμοντες δὲ τοῖς λίθοις τὸ σέβας καὶ τῷ λίθῳ προσκυνοῦντες οἱ δείλαιοι, προσκεκρούκασι μὲν τῷ φύσει Δεσπότῃ καὶ Θεῷ καὶ τῶν ὅλων δημιουργῷ, λελήθασι δέ, κατὰ τὸ εἰκός, καὶ τὴν ἰδίαν αὐτοὶ περιυβρίζοντες φύσιν, εἴπερ ἐστὶ ξύλων τε καὶ λίθων ἀμείνων ὁ ἄνθρωπος.

Ταύτῃ τοι δικαίως ἀγανακτῶν ὁ πάντων δημιουργός φησιν· «Ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς». Ἐμφαίνει δὲ διὰ τούτου τὸ ἀπαράτρεπτον τῆς ὀργῆς, εἰ καὶ δι' ἄμφω, κατὰ τὸ εἰκός, σεσάλευται κατ' αὐτῶν. Ὅτι καὶ τὴν θείαν λελυπήκασι δόξαν, ἀτιμοτάτην δὲ καὶ αὐτὴν τὴν ἰδίαν ἀπέφηναν φύσιν. Ἐμπεπλῆσθαι δὲ βδελυγμάτων τὴν γῆν αὐτῶν, οὐκ ὀλίγους ὄντας, οὔτε μὴν εὐαριθμήτους ἀποφαίνων τοὺς τοῖς τῆς ἀποστασίας ἐναλόντας ἐγκλήμασι, καὶ ὅτι τὸ σέβας αὐτοῖς οὐχ ἕν, προσκεκύνηται δὲ παρ' ἑκάστου τὸ αὐτῷ δοκοῦν, καὶ πολυειδὴς εἰδώλων ἐσμὸς ὅλην αὐτῶν ἐνέπλησε τὴν γῆν. Καὶ γοῦν εἴρηται διὰ φωνῆς Ἱερεμίου, ὅτι «Κατὰ ἀριθμὸν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ κατὰ ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βωμούς, τοῦ θυμιᾶν τῷ Βάαλ». Πονηρὸν οὖν ἄρα καὶ δύσοιστον τῷ Θεῷ τῶν εἰδώλων ἡ ποίησις, αἰσθητῶν τέ φημι καὶ τῶν κατὰ νοῦν. Καταληΐζε-

29. Ψαλμ. 48, 13.
30. Ρωμ. 1, 2.
31. Ἱερ. 11, 13.

λοιπόν, «Ὁ ἄνθρωπος, ἐνῶ εἶχε στεφανωθεῖ με τιμή, δὲν τὸ κατάλαβε»[29], σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει γραφεῖ, γιατὶ λάτρευσε τὰ ἀγάλματα καί, ὅπως εἶπε ὁ προφητικὸς λόγος, «Προσκύνησαν αὐτὰ ποὺ ἔφτιαξαν τὰ δάχτυλά τους, καὶ ὁ ἄνθρωπος ἔσκυψε μπροστά σ' αὐτὰ γιὰ νὰ τὰ προσκυνήσει καὶ ὁ ἄνδρας ταπεινώθηκε. Αὐτὸ ἀποτελεῖ ὕβρη καὶ στὸν Θεὸ τὸν ἴδιο καὶ στὴν ἀνθρώπινη φύση. Ἐνῶ δηλαδὴ ἦταν δυνατὸν ἀπὸ τὴν ὡραιότητα τῶν κτισμάτων νὰ φαντασθεῖ κατ' ἀναλογία τὸν τεχνίτη τους, γιατὶ λέγει, «Οἱ ἀόρατες ἰδιότητες τοῦ Θεοῦ ἀπὸ τὴν ἀρχὴ τῆς δημιουργίας τοῦ κόσμου γίνονται ὁρατὲς νοούμενες μέσω τῶν δημιουργημάτων του, καὶ ἡ αἰώνια δύναμη καὶ ἡ θεότητά του»[30], αὐτὸ βέβαια δὲν τὸ ἔκαναν, ἀντίθετα ἀπονέμοντας τὸν σεβασμό τους στοὺς λίθους καὶ προσκυνώντας οἱ δυστυχεῖς τὸν λίθο, προσέκρουσαν στὸν ἀπὸ τὴ φύση του Δεσπότη καὶ Θεὸ καὶ δημιουργὸ τῶν ὅλων, τοὺς διέφυγε ὅμως, ὅπως εἶναι εὔλογο, ὅτι καὶ τὴν ἴδια τους τὴ φύση ὕβριζαν, ἐφόσον ὁ ἄνθρωπος ἀξίζει περισσότερο ἀπὸ τὰ ξύλα καὶ τὶς πέτρες.

Γι' αὐτὸ λοιπόν, ἀγανακτώντας δίκαια ὁ δημιουργὸς ὅλων, λέγει· «Ἔσκυψε ὁ ἄνθρωπος μπροστὰ σ' αὐτὰ καὶ ταπεινώθηκε ὁ ἄνδρας, πρᾶγμα γιὰ τὸ ὁποῖο δὲν θὰ τοὺς συγχωρήσω». Μὲ αὐτὸ δηλώνει τὴν ἀμετάτρεπτη ὀργή του, ἂν καὶ βέβαια, ὅπως εἶναι εὔλογο, ὀργίσθηκε καὶ γιὰ τὰ δύο ἐναντίον τους. Γιατὶ καὶ τὴ θεία δόξα προσέβαλαν, καὶ ἔδειξαν χωρὶς καμμιὰ ἀξία τὴν ἴδια τους τὴ φύση. Γέμισε ἡ γῆ τους ἀπὸ βδελυρὰ πράγματα, παρουσιάζοντας ὅτι δὲν ἦταν λίγοι, οὔτε ὀλιγάριθμοι ἐκεῖνοι ποὺ ἔπεσαν στὰ ἐγκλήματα τῆς ἀποστασίας, καὶ ὅτι ἡ πίστη τους δὲν ἦταν μία, ἀλλὰ καθένας πίστευε αὐτὸ ποὺ ἤθελε, καὶ ἕνα πλῆθος εἰδώλων πολύμορφο γέμισε ὅλη τὴ γῆ τους. Καὶ πράγματι εἰπώθηκε μὲ τὴ φωνὴ τοῦ Ἱερεμία· «Οἱ θεοί σου, Ἰούδα, ἦταν ὅσες καὶ οἱ πόλεις σου, καὶ ὅσα ἦταν τὰ σταυροδρόμια τῆς Ἱερουσαλήμ, τόσους βωμοὺς στήσατε, γιὰ νὰ προσφέρετε θυμίαμα στὸν Βάαλ»[31]. Ἄρα λοιπὸν ἦταν πονηρὴ πράξη καὶ ἀνυπόφορη γιὰ τὸν Θεὸ ἡ κατασκευὴ τῶν εἰδώλων, αἰσθητῶν, ἐννοῶ, καὶ νοητῶν. Γιατὶ ληστεύει

ται γὰρ ὁ Σατανᾶς τὰς τῶν ἀνθρώπων ψυχάς, δεινῶς τε καὶ πολυτρόπως, ταῖς εἰς νοῦν καὶ καρδίαν φαντασίαις, ἔσθ' ὅτε καὶ εἰδώλων ἀναπλασμοῖς κατακομίζων εἰς ἁμαρτίας, καὶ εἰς αἰσχρὰς καὶ ἐκτόπους ἀποφέρων ἡδονάς.

Στίχ. 10-11. «Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός, καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ».

Εἰδωλολατρούσης τῆς Ἱερουσαλήμ, μᾶλλον δὲ ἁπάσης πεπλανημένης τῆς Ἰουδαίας καὶ ἀπονενούσης ἀχαλίνως πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχθημένων τῷ φιλαρέτῳ Θεῷ, κατεχεῖτο τρόπον τινὰ τῆς Ἰουδαίας ἁπάσης ὁ Βαβυλωνίων πόλεμος, οἵ, πᾶσαν καταδῃώσαντες, ἀπεκτόνασι μὲν τοὺς κατειλημμένους, γύναια δὲ καὶ παῖδας ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν, καὶ ἐν τῇ τῶν δορυκτήτων ὄντες τάξει μακροὺς διατετελέκασι χρόνους Πλὴν τῆς ἐφόδου προαπηγγελμένης καὶ μελλούσης ἔσεσθαι, τοσοῦτον τοῖς Ἰουδαίοις γέγονε δεῖμα καὶ ἀγωνίας εἰς τοῦτο πεπτώκασιν, ὡς ἔν τε σπηλαίοις καὶ τοῖς τῶν ὀρῶν ῥωγμοῖς κατακρύπτεσθαι καὶ τόπους ἀβάτους καταλαμβάνειν, ἁπάσης αὐτῶν ἀτονούσης χειρὸς πρὸς τὴν τῶν ἐπιόντων ἀντίστασιν. Οὐκοῦν ὡς ὅσον οὐδέπω παρεσομένων δεινῶν, μᾶλλον δὲ ἤδη θυρῶν τε εἴσω γεγενημένων καὶ ἐπ' αὐτῆς ὄντων τῆς χώρας, κρύπτεσθαι κελεύει καὶ μονονουχὶ κατορύττεσθαι τῇ γῇ ζῶντας ἔτι, ἀπὸ τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν, τοῦτ' ἔστι συντρίψαι τὴν γῆν.

Ὅτι δὲ ὑψηλαὶ καὶ ὑπὲρ πάντας ἀνθρώπους αἱ θεῖαι βουλαί τε καὶ σκέψεις, οὐκ ἄν τις αὐταῖς ἀντιμαχήσεται τῶν ἐπὶ τῆς γῆς, σαφὲς καθίστησι λέγων· «Οἱ γὰρ ὀφθαλ-

ὁ Σατανᾶς φοβερὰ καὶ μὲ πολλοὺς τρόπους τὶς ψυχὲς τῶν ἀνθρώπων μὲ τὶς φαντασίες τοῦ νοῦ καὶ τῆς καρδιᾶς, καὶ πολλὲς φορὲς μὲ ἀνάπλαση εἰδώλων ὁδηγεῖ στὶς ἁμαρτίες καὶ παρασύρει σὲ αἰσχρὲς καὶ ἄνομες ἡδονές.

Στίχ. 10-11. «Καὶ τώρα μπεῖτε μέσα στὶς σπηλιὲς καὶ κρυφθεῖτε μέσα στὴ γῆ, κυριευμένοι ἀπὸ τὸν φόβο μπροστὰ στὸν ὀργισμένο Κύριο καὶ τὴ δύναμη τῆς μεγαλειότητάς του, ὅταν θὰ σηκωθεῖ γιὰ νὰ καταστρέψει τὴ χώρα. Γιατὶ οἱ ὀφθαλμοὶ τοῦ Κυρίου εἶναι ὑψηλοί, ἐνῶ ὁ ἄνθρωπος εἶναι μηδαμινός, καὶ θὰ ταπεινωθεῖ ἡ ἔπαρση τοῦ ἀνθρώπου, ἐνῶ ὁ Κύριος μόνος αὐτὸς θὰ ὑψωθεῖ ἐκείνη τὴν ἡμέρα».

Ἐνῶ λοιπὸν ἦταν παραδομένη στὴν εἰδωλολατρία ἡ Ἱερουσαλήμ, ἢ μᾶλλον παραδομένη στὴν πλάνη ὅλη ἡ Ἰουδαία καὶ ἀπομακρυνόταν ξέφρενα πρὸς κάθε τι ποὺ μισοῦσε ὁ Θεὸς ποὺ ἀγαπᾶ τὴν ἀρετή, συγχρόνως ἁπλωνόταν κατὰ κάποιο τρόπο σ' ὅλη τὴν Ἰουδαία ὁ πόλεμος τῶν Βαβυλωνίων, οἱ ὁποῖοι, ἀφοῦ τὴν λεηλάτησαν ὅλη, σκότωσαν ἐκείνους ποὺ εἶχαν συλλάβει καὶ μετέφεραν στὴ χώρα τους τὶς γυναῖκες καὶ τὰ παιδιά, καὶ βρισκόμενοι στὴν κατάσταση τῶν αἰχμαλώτων, παρέμειναν ἔτσι πολλὰ χρόνια. Ὅμως ὅταν προαναγγέλθηκε ἡ ἐπίθεση καὶ ἐπρόκειτο νὰ γίνει, ἔπιασε τόσος φόβος τοὺς Ἰουδαίους καὶ κυριεύθηκαν ἀπὸ τόση ἀγωνία, ὥστε νὰ κατακρύβονται μέσα σὲ σπήλαια καὶ τὶς ρωγμὲς τῶν βουνῶν, καὶ νὰ τρέχουν σὲ μέρη δυσπρόσιτα, μὴ ἔχοντας καμμιὰ δύναμη ν' ἀντισταθοῦν στοὺς ἐπιδρομεῖς. Ὅσο λοιπὸν δὲν τοὺς συνέβηναν ἀκόμα τὰ δεινά, ἀλλὰ μᾶλλον εἶχαν ἤδη περάσει τὶς πόρτες καὶ ἦταν μέσα πιὰ στὴ χώρα, προστάζει νὰ κρυφθοῦν καὶ κατὰ κάποιο τρόπο νὰ χωθοῦν στὴ γῆ ζωντανοί, κυριευμένοι ἀπὸ τὸν φόβο τοῦ Κυρίου καὶ τὴ δόξα τῆς δυνάμεώς του, ὅταν θὰ σηκωθεῖ νὰ θραύσει τὴ γῆ, δηλαδὴ νὰ καταστρέψει τὴ γῆ.

Ὅτι βέβαια εἶναι ὑψηλὲς καὶ πάνω ἀπὸ ὅλους τοὺς ἀνθρώπους οἱ θεῖες βουλὲς καὶ σκέψεις, δὲν θὰ προβάλει ἀντίρρηση κανένας ἄνθρωπος. Αὐτὸ τὸ κάνει σαφὲς λέγοντας· «Γιατὶ οἱ

μοὶ Κυρίου ὑψηλοί». Ὀφθαλμοὺς γὰρ Κυρίου ἐν τούτοις φησίν, τὰς οἱονεὶ προαναβλέψεις τε καὶ βουλὰς αὐτοῦ καὶ τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις. Ἄνθρωποι μὲν γὰρ μικροὶ μετὰ τὴν φύσιν ὄντες καὶ τὸν νοῦν, μικρὰ καὶ βουλεύονται καὶ λογίζονται ταπεινά, ὑψηλὸς δὲ ὑπάρχων ὁ τῶν ὅλων Θεὸς καὶ ἐν ἀπορρήτοις ὑπεροχαῖς ταῖς κατὰ πάντων νοούμενος, ἄμαχον ἔχει τὴν σκέψιν. Οὐ γὰρ ἂν δύναιτό τις ἀνθυπενεγκεῖν ἢ βουλὴν ἢ ἐπικουρίαν ἀποσκευάσασθαι δυναμένην τὰς ἐκ τῶν θείων σκεμμάτων ἐπαγωγάς, μαθήσεσθαι δὲ τοῦτό φησι, καίτοι πάλαι μὴ εἰδότας τοὺς Ἰουδαίους, ὅταν αὐτῶν ὁ δεινὸς κατασκήψῃ πόλεμος, καὶ πᾶσα μὲν ἡ ἐπαμύνουσα χεὶρ ἀτονήσῃ, ἀπρακτήσῃ δὲ καὶ σκέψις καὶ ἀνθρωπίνης βουλῆς εὑρήματα, δι' ὧν ἐνόμισαν τάχα που καὶ διαφεύγειν δύνασθαι τὰς ἐκ τοῦ πολέμου συμφοράς. Οὐκοῦν ἡ πεῖρα δείξει, φησίν, ὅτι ταπεινὸς ὁ ἄνθρωπος, καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, ὑψωθήσεται δὲ Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ὥσπερ ἔφην ἀρτίως, ἐλεγχομένης αὐτῶν ἰσχύος ἁπάσης ὡς ἀδρανοῦς, τῆς θείας δυνάμεως ἡ ὑπεροχὴ γνωριμωτάτη τοῖς πεποιθόσι γενήσεται. Πάνδεινον οὖν ἄρα τὸ προσκρούειν Θεῷ, καὶ ἁπάσης ἡμῖν παραίτιον συμφορᾶς τὸ χρῆμα γίνεται. Δεῖ δὲ ἡμᾶς μὴ δυνάμεσιν ἰδίαις ἐπιθαρσεῖν, ἀπονέμειν δὲ μᾶλλον τὸ πάντα δύνασθαι Θεῷ, καὶ αὐτὸν ἐπίκουρον ποιεῖσθαι φιλεῖν, ὅταν τι τῶν δεινῶν ἐπιφέρηται προσκεκρουκόσι δι' ἁμαρτίας.

Στίχ. 12-17. Ἡμέρα γὰρ Κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον καὶ ταπεινωθήσονται. Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου, τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασάν, καὶ ἐπὶ πᾶν ὄρος ὑψηλὸν καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ἐπὶ πάντα πύργον ὑψηλὸν καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν καὶ ἐπὶ πᾶν πλοῖον θα-

ὀφθαλμοὶ τοῦ Κυρίου εἶναι ὑψηλοί». Ὀφθαλμοὺς τοῦ Κυρίου λέγει μὲ αὐτὰ τὶς προβλέψεις καὶ τὶς ἀποφάσεις του καὶ τὶς κρίσεις του γιὰ κάθε πρᾶγμα. Οἱ ἄνθρωποι δηλαδή, ἐπειδὴ εἶναι μικροὶ ὡς πρὸς τὴ φύση καὶ τὸ νοῦ, κάνουν καὶ ἀσήμαντες σκέψεις καὶ ἔχουν λογισμοὺς ταπεινούς, ἐνῶ ὁ Θεὸς τῶν ὅλων, ὄντας ὑψηλὸς καὶ νοούμενος μὲ ἀνέκφραστη ὑπεροχὴ ἔναντι ὅλων, ἔχει ἀκαταμάχητη τὴ σκέψη. Γιατὶ δὲν θὰ μποροῦσε κανεὶς ν' ἀντιπαραθέσει ἢ σκέψη ἢ βοήθεια ποὺ θὰ μποροῦσε ν' ἀποτρέψει τὰ ἐπιβαλλόμενα ἀπὸ τὶς θεῖες σκέψεις. Αὐτὸ θὰ τὸ μάθουν λέγει, ἂν καὶ παλαιὰ δὲν τὸ ἤξεραν οἱ Ἰουδαῖοι, ὅταν ἐνσκήψει ἐπάνω τους ὁ φοβερὸς πόλεμος καὶ θ' ἀτονήσει κάθε χέρι ἀμυνόμενο, καὶ θ' ἀδρανήσει κάθε σκέψη καὶ τὰ ἐφευρήματα τῆς ἀνθρώπινης σκέψης, μὲ τὰ ὁποῖα νόμισαν τάχα πὼς θὰ μποροῦσαν νὰ διαφύγουν τὶς συμφορὲς τοῦ πολέμου. Ἡ πεῖρα λοιπόν, λέγει, θὰ δείξει, ὅτι ὁ ἄνθρωπος εἶναι ἀσήμαντος, καὶ θὰ ταπεινωθεῖ ἡ ἔπαρση τῶν ἀνθρώπων, καὶ μόνος ὁ Κύριος θὰ ὑψωθεῖ ἐκείνη τὴν ἡμέρα. Ὅπως εἶπα λίγο πιὸ πρίν, ἀφοῦ θὰ φανεῖ ἀνίσχυρη ἡ ὅλη δύναμή τους, θὰ γίνει ἀπόλυτα γνωστὴ ἡ ὑπεροχὴ τῆς θείας δυνάμεως σ' αὐτοὺς ποὺ στηρίζουν τὴν πεποίθησή τους στὸν Θεό. Ἄρα λοιπὸν εἶναι φοβερὸ κακὸ τὸ νὰ προσκρούσει κανεὶς στὸν Θεὸ καὶ τὸ πρᾶγμα αὐτὸ γίνεται γιὰ μᾶς αἰτία κάθε συμφορᾶς. Πρέπει λοιπὸν ἐμεῖς νὰ μὴ στηρίζομε τὸ θάρρος στὶς δικές μας δυνάμεις, ἀλλὰ νὰ ἔχομε τὴ δύναμη ν' ἀποδίδομε τὰ πάντα στὸν Θεό, καὶ αὐτὸν νὰ θέλομε νὰ κάνομε βοηθό μας ὅταν μᾶς βρίσκει κάποια συμφορὰ ἐπειδὴ προσκρούσαμε σ' αὐτὸν λόγω ἁμαρτίας.

Στίχ. 12-17. «Γιατὶ ἡ τιμωρὸς ἡμέρα τοῦ Κυρίου τοῦ παντοκράτορα θὰ ἔρθει σὲ κάθε ὑβριστὴ καὶ ὑπερήφανο καὶ σὲ κάθε ἀγέρωχο καὶ κυριευμένο ἀπὸ ἔπαρση, καὶ θὰ ταπεινωθεῖ. Καὶ σὲ κάθε κέδρο τοῦ Λιβάνου, ἀπὸ τὰ ὑψηλὰ καὶ περήφανα, καὶ σὲ κάθε βελανιδιὰ τῆς Βασάν, ἀλλὰ καὶ σὲ κάθε ὑψηλὸ ὄρος καὶ σὲ κάθε βουνὸ ὑψηλὸ καὶ σὲ κάθε ὑψηλὸ τεῖχος καὶ σὲ κάθε πλοῖο τῆς θάλασσας, πλοῖο ὡραῖο

λάσσης καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους· καὶ ταπεινωθήσεται καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ».

Τὸν τοῦ πολέμου καιρὸν καὶ τῆς ἐπ' αὐτοῖς ὀργῆς τὴν ἐκπλήρωσιν ἡμέραν ὀνομάζει Κυρίου. Τοῦτο γὰρ ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Καὶ γοῦν καὶ αὐτὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν καιρὸν τῷ τῆς ἡμέρας ὀνόματι κατεσήμαινεν ὁ Δαβὶδ οὕτω λέγων· «Αὕτη ἡ ἡμέρα ἣν ἐποίησε Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ». Ἔσεσθαι τοίνυν, φησί, τῆς ὀργῆς τὸν καιρὸν κατὰ παντὸς ὑβριστοῦ καὶ ὑπερηφάνου. Καὶ ὑβριστὰς μὲν ἔοικεν ἀνακαλεῖν τούς, οἵγε τὴν θείαν ἀτιμάζουσι δόξαν, διὰ τοῦ μὴ ἀνέχεσθαι προσκυνεῖν αὐτῇ, προσκεῖσθαι δὲ μᾶλλον οἷς ἂν αὐτοὶ διατεκτήναιντο θεοῖς, ὑπερηφάνους δὲ τοὺς τῶν θείων ὑπερορῶντας νόμων, καὶ παρ' οὐδὲν ποιεῖσθαι μεμελετηκότας τὰ τεθεσπισμένα. Καὶ γοῦν ὁ μακάριος ἔφη Δαβίδ· «Ὑπερήφανοι παρενόμουν ἕως σφόδρα». Ἐπειδὴ δὲ πλεῖστοί τινες ἦσαν κατὰ τὴν Ἰουδαίαν καὶ μέντοι τὴν Ἱερουσαλήμ, πλούτῳ τε κομῶντες ἀμφιλαφῶς, καὶ ταῖς τῶν χρημάτων περιουσίαις οὐ μετρίως περιεχόμενοι, προΰχοντές τε τῶν ἄλλων καὶ δυναστείαις ὠχυρωμένοι, καὶ τῆς παρ' αὐτοῖς εὐκλείας οὐκ εἰς βραχὺ μέτρον ἀναπηδήσαντες, ἠρμένοι τε ὑψοῦ καὶ οἱονείπως ἐξογκούμενοι· ταύτῃ τοι κατ' αὐτῶν ὅτι μάλιστα τὰ ἐκ τῆς θείας ὀργῆς δραμεῖσθαί φησι, τὴν ἑκάστου τάξιν, ἤτοι μέτρον αἰνιγματωδῶς ὑπεμφαίνων.

Παρεικάζει γὰρ αὐτοὺς καὶ ταῖς τοῦ Λιβάνου κέδροις· «Ἴδον γὰρ ἀσεβῆ», φησίν, «ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου»· καὶ μὴν καὶ τοῖς δένδρεσι τῆς βαλάνου Βασάν, τοῦτ' ἔστι, δρυσὶ ταῖς ἐν τῇ Βασανίτιδι· χώρα δὲ αὕτη κατὰ τὴν Ἰουδαίαν, ἣ νῦν καλεῖται Βασαναία, φυτῶν ἀρίστη τροφός, παχείας τε καὶ εὐμηκεστά-

32. Ψαλμ. 117, 24. 33. Ψαλμ. 118, 51.

νὰ τὸ βλέπει κανείς. Καὶ θὰ ταπεινωθεῖ καὶ θὰ πέσει ἡ ἔπαρση τῶν ἀνθρώπων, ἐνῶ ὁ Κύριος θὰ εἶναι ὁ μόνος ποὺ θὰ ὑψωθεῖ ἐκείνη τὴν ἡμέρα».

Τὸν καιρὸ τοῦ πολέμου καὶ τὴν πραγματοποίηση τῆς ὀργῆς τοῦ Κυρίου ἐναντίον τους τὴν ὀνομάζει ἡμέρα τοῦ Κυρίου. Γιατὶ ἔτσι συνηθίζει νὰ τὴν ὀνομάζει ἡ θεόπνευστη Γραφή. Καὶ βέβαια καὶ τὸν ἴδιο τὸν καιρὸ τοῦ ἐρχομοῦ τοῦ Σωτήρα στὸν κόσμο τὸν δήλωσε ὁ Δαβὶδ μὲ τὸ ὄνομα τῆς ἡμέρας, λέγοντας· «Αὐτὴ εἶναι ἡ ἡμέρα ποὺ ἔκανε ὁ Κύριος· ἂς γεμίσομε ἀπὸ ἀγαλλίαση καὶ εὐφροσύνη κατ' αὐτήν»[32]. Θὰ ἀποβεῖ λοιπόν, λέγει, ὁ καιρὸς τῆς ὀργῆς τιμωρὸς σὲ κάθε ὑβριστὴ καὶ ὑπερήφανο. Καὶ ὑβριστὲς βέβαια φαίνεται ὅτι ὀνομάζει ἐκείνους ποὺ περιφρονοῦν τὴ θεία δόξα, μὲ τὸ νὰ μὴ θέλουν νὰ τὴν προσκυνοῦν, ἀλλ' εἶναι μᾶλλον προσηλωμένοι στοὺς θεοὺς ποὺ ἔφτιαξαν οἱ ἴδοι, ἐνῶ ὑπερήφανους καλεῖ ἐκείνους ποὺ περιφρονοῦν τοὺς θείους νόμους καὶ συνηθίζουν νὰ θεωροῦν μηδὲν τὰ νομοθετημένα. Καὶ πράγματι ὁ μακάριος Δαβὶδ εἶπε· «Οἱ ὑπερήφανοι παρανομοῦσαν ὑπερβολικά»[33]. Ἐπειδὴ ὅμως ὑπῆρχαν πάρα πολλοὶ στὴν Ἰουδαία, καὶ βέβαια καὶ στὴν Ἱερουσαλήμ, ποὺ διέθεταν ἄφθονο πλοῦτο καὶ περιβάλλονταν ἀπὸ μεγάλες περιουσίες, ποὺ ὑπερεῖχαν ἀπὸ τοὺς ἄλλους καὶ ἦταν ὀχυρωμένοι μὲ ἐξουσίες, καὶ ἡ δόξα τους ἀπὸ αὐτὰ εἶχε φτάσει ὄχι σὲ χαμηλὸ μέτρο, ἀλλ' εἶχαν ἀνεβεῖ πολὺ ψηλὰ καὶ φούσκωναν κατὰ κάποιο τρόπο ἀπὸ ἀλαζονεία, γι' αὐτό, λέγει, ἐναντίον αὐτῶν κυρίως θὰ πέσει ἡ θεία ὀργή, ὑποσημαίνοντας μὲ τρόπο αἰνιγματικὸ τὴν τάξη τοῦ καθενός.

Τοὺς παρομοιάζει δηλαδὴ μὲ τὶς κέδρους τοῦ Λιβάνου· γιατὶ λέγει· «Εἶδα τὸν ἀσεβῆ νὰ ψηλώνει καὶ νὰ ἁπλώνει τὴν ἔπαρσή του σὰν τὶς κέδρους τοῦ Λιβάνου»[34], καὶ βέβαια σὰν τὶς βελανιδιὲς τῆς Βασάν, δηλαδὴ σὰν τὶς δρῦς ποὺ ὑπάρχουν στὴ Βασανίτιδα· αὐτὴ εἶναι μιὰ χώρα πρὸς τὰ μέρη τῆς Ἰουδαίας, ἡ ὁποία τώρα λέγεται Βασαναία, ποὺ τρέφει ἄριστα φυτὰ κι ἔχει μεγάλα

34. Ψαλμ. 36, 35.

τας ἔχουσα τὰς κέδρους Παρεικάζει δὲ αὐτοὺς ὁμοίως βουνοῖς καὶ ὄρεσι, καὶ προσέτι πύργοις καὶ τείχεσιν ὑψηλοῖς. Ὅτι δὲ καὶ τὰς τοῦ πλουτεῖν ἀφορμὰς συναποβαλοῦσι τῇ χώρᾳ, προσεπάγει, λέγων· «Καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους». Διχῇ δὲ τοῦτο νοεῖται. Περιαγγελθέντος γὰρ ἤδη τοῦ πολέμου καὶ προσδοκωμένων παρέσεσθαι τῶν Βαβυλωνίων, τῆς εἰς Θεὸν ἐλπίδος τὴν διάνοιαν ἀποστήσαντες οἱ ἐξ Ἰσραήλ, Αἰγυπτίους ἐκάλουν εἰς ἐπικουρίαν, κατεμισθοῦντό τε τὴν Τύρον καὶ τὰ περίοικα τῶν ἐθνῶν. Θαλασσουργοὶ δὲ πάντες οἱ Τύριοι καὶ ἐμπορικῶν ἐπιτηδευμάτων ἐπιστήμονες καὶ φιλοτίμως τὰς ναῦς κατεσκευασμένοι. Ἐπειδὴ δὲ ἦκεν ὁ Βαβυλώνιος πρὸ τῆς Ἰουδαίων γῆς, τὴν Τυρίων κατελῄζετο. Οὐκοῦν ἢ τοῦτό φησιν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος, ἢ ἐκεῖνό που τάχα· Πλεῖστοι γὰρ τῶν βεβασιλευκότων τοῦ Ἰσραὴλ ναῦς εἶχον ἐμπορικάς, τὰ[ς] ἐκ τῆς Ἰνδῶν χώρας τε καὶ γῆς ἀποφερούσας αὐτοῖς, καὶ τὰ[ς] ἐξ ἑτέρων χωρῶν καὶ πόλεων· ὅθεν αὐτοῖς καὶ ὁ πολὺς συναγήγερτο πλοῦτος, ἐξ οὗ γεγόνασι ὑψηλοί, κέδροις τε καὶ δρυσὶν ἐν ἴσῳ, ὄρεσί τε καὶ πύργοις.

Οὐκοῦν ὅτι καὶ συναπολεῖται τοῖς ὑπερηφάνοις καὶ ἡ τοῦ πλούτου ἀφορμή, τοῦτ' ἔστι τὰ ἐκ τῆς ἐμπορίας καὶ μεταβολῆς εἰς τρέχοντα κέρδη, κατασημαίνει λαμπρῶς. Ὅτι δὲ κατεμισθοῦντο πολλοὺς πρὸς ἐπικουρίαν οἱ ἐξ Ἰσραὴλ οὐκ ἀσυμφανές, καὶ δι' ἑτέρου προφήτου λέγοντος Θεοῦ περὶ αὐτῶν· «Καὶ ἦν Ἐφραὶμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν, Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύετο. Καθὼς πορεύονται, ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς, παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν». Δυσδιάφυκτον οὖν τὸ τοῦ Θεοῦ κρῖμα, καθ' ὧν ἂν γένοιτο, καὶ ἁμα-

35. Ὡσηὲ 7, 11-12.

καὶ πανύψηλα κέδρα. Τοὺς παρομοιάζει ἐπίσης μὲ βουνὰ καὶ ὄρη καὶ ἀκόμα μὲ πύργους καὶ τείχη ψηλά. Ὅτι ὅμως μαζὶ μὲ τὴ χώρα τους θὰ χάσουν καὶ τὶς πηγὲς τοῦ πλούτου τους τὸ λέγει μὲ αὐτὰ ποὺ προσθέτει· «Καὶ σὲ κάθε πλοῖο τῆς θάλασσας, πλοῖο ποὺ προξενεῖ ὡραία θέα στὰ μάτια». Αὐτὸ βέβαια ἔχει διπλῆ ἔννοια. Ἀφοῦ δηλαδὴ εἶχε προαγγελθεῖ ἤδη παντοῦ ὁ πόλεμος καὶ ἀναμενόταν νὰ φτάσουν οἱ Βαβυλώνιοι, ἐπειδὴ οἱ Ἰσραηλῖτες εἶχαν παύσει νὰ στηρίζουν τὴν ἐλπίδα τους στὸν Θεό, καλοῦσαν τοὺς Αἰγυπτίους σὲ βοήθεια καὶ εἶχαν μισθώσει τὴν Τύρο καὶ τὰ γύρω ἔθνη. Οἱ Τύριοι ἦταν ὅλοι θαλασσινοὶ καὶ ἔμπειροι στὶς ἐμπορικὲς ἐπιχειρήσεις καὶ διέθεταν πλοῖα ἐξοπλισμένα μὲ ἰδιαίτερο τρόπο. Ὅταν ὅμως ἔφτασε ὁ Βαβυλώνιος πρὶν ἀπὸ τὴν χώρα τῶν Ἰουδαίων, καταλεηλάτησε τὴ χώρα τῶν Τυρίων. Ἄρα λοιπὸν ἢ αὐτὸ μᾶς λέγει ὁ λόγος τοῦ προφήτη, ἢ ἴσως τὸ ἄλλο. Πολλοὶ δηλαδὴ ἀπὸ τοὺς βασιλεῖς τοῦ Ἰσραὴλ εἶχαν καράβια ἐμπορικὰ ποὺ μετέφεραν ἐμπορεύματα ἀπὸ τὴν Ἰνδικὴ χώρα καὶ γῆ καθὼς καὶ ἀπὸ ἄλλες χῶρες καὶ πόλεις, καὶ ἔτσι εἶχε συσσωρευθεῖ καὶ ὁ πολὺς πλοῦτος τους, καὶ ἐξαιτίας αὐτοῦ ψήλωσαν σὰν τὶς κέδρους καὶ τὶς δρῦς, καθὼς καὶ τὰ ὄρη καὶ τοὺς πύργους.

Ὅτι λοιπὸν θὰ χαθεῖ καὶ ἡ ἀφορμὴ τοῦ πλούτου γιὰ τοὺς ὑπερήφανους, δηλαδὴ τὰ κέρδη ποὺ ἔρρεαν ἀπὸ τὸ ἐμπόριο καὶ τὶς συναλλαγές, τὸ καταδηλώνει λαμπρά, ὅτι ὅμως οἱ Ἰσραηλῖτες μίσθωναν πολλοὺς γιὰ νά τοὺς βοηθήσουν δὲν εἶναι δύσκολο νὰ διαπιστωθεῖ καὶ ἀπὸ ἄλλο προφήτη μέσω τοῦ ὁποίου ὁ Θεὸς λέγει γι᾽ αὐτούς· «Καὶ ἦταν ἡ χώρα τοῦ Ἐφραΐμ ἀνόητο περιστέρι καὶ χωρὶς καρδιά, ποὺ καλοῦσε σὲ βοήθεια τὴν Αἴγυπτο καὶ κατέφευγε στοὺς Ἀσσύριους. Καθὼς λοιπὸν θὰ τρέχουν ἐδῶ καὶ ἐκεῖ θὰ ρίξω ἐπάνω τους τὸ δίχτυ μου καὶ θὰ τοὺς συλλάβω ὅπως τὰ πουλιὰ τοῦ οὐρανοῦ, καὶ θὰ τοὺς παιδαγωγήσω μὲ τὰ ὅσα θὰ ἀκούσουν γιὰ τὴ συμφορά τους»[35]. Εἶναι πολὺ δύσκολο λοιπὸν ν᾽ ἀποφύγουν τὴν ἀπόφαση τοῦ Θεοῦ ἐκεῖνοι ἐναντίον τῶν ὁποίων

θὲς καὶ ἀνόσιον μὴ οὐχὶ δὴ μᾶλλον ἠρτῆσθαι φιλεῖν τῆς εἰς αὐτὸν ἐλπίδος, κενοῖς δὲ καὶ ἀσυνέτοις διαπαίζεσθαι λογισμοῖς οἰομένους, ὅτι κἂν μὴ βούλοιτο τὸ σώζειν αὐτούς, ἐξελεῖται δέ τις ἕτερος καὶ τῆς ἐξ ἀνθρώπων ἐπικουρίας ἡ συνδρομὴ καὶ περιέσται ποτὲ τῶν παρ' αὐτοῦ νευμάτων. Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, φησί, τίς ἀνοίξει; Ἀγαθὸν τοίνυν τὸ ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν.

Στίχ. 18-19. Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενεγκόντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς ἀπὸ προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν».

Γέλωτος ἀξίαν τὴν τῶν Ἰουδαίων ἀποφαίνει σκέψιν, εἰ κατακρύπτουσι τοὺς θεοὺς καὶ σώζειν ἐπείγονται τοὺς προσκυνουμένους. Καίτοι πῶς οὐκ ἔδει σωτῆρας αὐτοὺς ἔσεσθαι προσδοκᾶν, εἴπερ ὄντως ἦδεσαν θεούς; Ἀλλ' αὐτοὶ τῶν ἰδίων καταδικάζοντες βουλευμάτων καὶ μαρτυροῦντες αὐτοῖς τὸ πρὸς πᾶν ὁτιοῦν ἀδρανές, ἐπαμύνουσι τοῖς θεοῖς Κατακρύπτουσι γὰρ εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἵνα μή, εὑρόντες οἱ πολέμιοι, συναποφέρωσι τοῖς νενικημένοις οἷον αἰχμαλώτους θεούς. Πῶς οὖν ἔτι θεοὶ παρὰ τῶν προσκυνούντων αὐτοῖς ἐπικουρίας δεδεημένοι· ἀλλ' ὕλη μὲν ἄψυχος ἐκεῖνα, καί, ὥς φησιν ὁ μακάριος Δαβίδ, «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων». Νοσήσουσί γε μὴν οἱ θεραπεύοντες αὐτὰ τὴν ἴσην αὐτοῖς ἀναισθησίαν. Αὐτοὶ γὰρ τεχνῖται καὶ δημιουργοὶ γεγονότες αὐτῶν, αἴρουσιν ἐπὶ τῶν ὤμων καὶ πορεύονται καὶ προσκυνοῦσιν αὐτῷ καὶ προσεύχονται λέγοντες· «Ἔξελοῦ με, ὅτι Θεός

36. Ἰὼβ 12, 14.
37. Ψαλμ. 113, 12.

θἀ παρθεῖ, καὶ ἀποτελεῖ ἀμάθεια καὶ ἀνοσιότητα τὸ νὰ μὴ θέλουν νὰ στηρίξουν τὴν ἐλπίδα τους σ' αὐτόν, ἀλλὰ νἀ παραδίδονται σὲ κούφιους καὶ ἀνόητους λογισμούς, νομίζοντας, ὅτι κι ἂν ἀκόμα δὲν θέλει νὰ τοὺς σώσει, θἀ τοὺς λυτρώσει κάποιος ἄλλος καὶ ἡ βοήθεια ποὺ θὰ προέλθει ἀπὸ ἀνθρώπους, ποὺ θὰ νικήσει τὰ προστἀγματα ἐκείνου. Γιατὶ λέγει· «Ἂν κλείσει τὴν πόρτα σὲ κάποιον ἄνθρωπο, ποιὸς θὰ τὴν ἀνοίξει;»[36]. Εἶναι ὠφέλιμο λοιπὸν νὰ ἐλπίζεις στὸν Κύριο, παρὰ νὰ στηρίζεσαι στὸν ἄνθρωπο, σύμφωνα μὲ τὸ λόγο τοῦ ψαλμωδοῦ.

Στίχ. 18-19. «Καὶ ὅλα τὰ εἴδωλα, ἔργα τῶν χεριῶν τους, θἀ τὰ κατακρὔψουν, τοποθετώντας τα μέσα στὰ σπήλαια, στὶς σχισμὲς τῶν βράχων καὶ στὶς τρῶγλες τῆς γῆς ἀπὸ φόβο ν' ἀντικρὔσουν τὸ πρόσωπο τοῦ Κυρίου καὶ τὴ δύναμη τοῦ μεγαλείου του, ὅταν σηκωθεῖ γιὰ νὰ ἐξολοθρεύσει τὴ γῆ».

Δείχνει ὅτι εἶναι γιὰ γέλια ἡ σκέψη τῶν Ἰουδαίων, ἀφοῦ κατακρύβουν τοὺς θεοὺς καὶ σπεύδουν μὲ βιασύνη νὰ σώσουν αὐτοὺς ποὺ προσκυνοῦν. Ἂν καὶ βέβαια πῶς δὲν ἔπρεπε νὰ προσδοκοῦν νὰ εἶναι σωτῆρες τους, ἂν πράγματι πίστευαν ὅτι εἶναι θεοί; Ἀλλὰ αὐτοί, καταδικάζοντας τὶς ἴδιες τὶς σκέψεις τους καὶ ἐπιβεβαιώνοντας τὴν ἀδράνειά τους γιὰ ὁ,τιδήποτε, προστατεύουν τοὺς θεούς τους. Γιατὶ τοὺς κρύβουν στὰ σπήλαια, στὶς σχισμὲς τῶν βράχων, στὶς τρῶγλες τῆς γῆς, γιἀ νὰ μὴν τοὺς βροῦν οἱ ἐχθροί τους καὶ τοὺς μεταφέρουν μαζὶ μὲ τοὺς ἡττημένους σὰν αἰχμάλωτους θεούς. Πῶς λοιπὸν θὰ εἶναι ἀκόμα θεοὶ γι' αὐτοὺς ποὺ τοὺς προσκυνοῦν ἀφοῦ χρειάζονται βοήθεια; Γιατὶ εἶναι ὕλη ἄψυχη αὐτά, καὶ ὅπως λέγει ὁ μακάριος Δαβίδ, «Τἀ εἴδωλα τῶν ἐθνῶν εἶναι ἄργυρος καὶ χρυσός, ἔργα χεριῶν ἀνθρώπων»[37]. Ὅσοι βέβαια τὰ πιστεύουν θὰ γίνουν ἐξίσου ἀναίσθητοι μ' αὐτά. Γιατί, ἀφοῦ αὐτοὶ ἔγιναν δημιουργοὶ καὶ τεχνίτες τους, τὰ σηκώνουν στοὺς ὤμους τους, καὶ πηγαίνουν σὲ κάποιο ἀπὸ αὐτὰ ὡς πρὸς θεὸ καὶ τὸν προσκυνοῦν καὶ προσεύχονται σ' αὐτὸν λέγοντας· "Σῶσε με, γιατὶ ἐσὺ εἶσαι θεός μου". Ἡ καρδιά τους

μου εἶ σύ». Σποδὸς τοιγαροῦν ἡ καρδία αὐτῶν καὶ πλανῶνται. Πρέποι δ' ἂν τοῖς εὐσεβεῖν εἰωθόσι, ταῖς τῶν πλανωμένων ἀβελτηρίαις ἐρρῶσθαι λέγειν, καὶ μὴν κἀκεῖνο βοᾷν· «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ τῆς γῆς καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου»· «Ἡμῖν γὰρ εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ».

Στίχ. 20-21. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ χρυσᾶ, ἃ ἐποίησε προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς γῆς, στερεὰς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν».

Τοὺς παρ' αὐτῶν γεγονότας καὶ ψευδωνύμους θεοὺς ὅτι κατακρύπτειν ἔμελλον, οὐκ αἰδοῖ τῇ περὶ αὐτοὺς ἔτι νικώμενοι, κατεγνωκότες δὲ μᾶλλον ὡς ὕλης ἀχρήστου καὶ ἀδρανοῦς, καθίστησιν ἐναργὲς προσεπενεγκὼν οἷς ἔφη· «Τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ, ἃ ἐποίησε προσκυνεῖν αὐτοῖς, τοῖς ματαίοις καὶ ταῖς νυκτερίσιν». Ἱδρυσάμενοι γὰρ ἐν σηκοῖς τὰ χειροποίητα προσκεκυνήκασιν ἀνοσίως· ᾤοντο γὰρ εἶναι θεούς. Ἐπειδὴ δὲ παρόντα τεθέανται τὸν τοῦ πολέμου καιρόν, εἶτα τῆς ἐπικουρίας οὐδεὶς ἦν ὅλως αὐτοῖς ὁ τρόπος, λίθοι δὲ ὄντες καὶ ξύλα πεφώρανται, ὕλη τε χρυσῆ καὶ περιάργυρος, οὓς ἐνόμισαν ἔσεσθαι σωτῆρας καὶ λυτρωτάς, ἐξέβαλλον τῶν ναῶν, καὶ κατέκρυπτον ἐν σπηλαίοις, φειδόμενοι μᾶλλον τῆς ὕλης, καὶ οὐχ ὡς θεοὺς τιμῶντες ἔτι. Εἰκαῖος δὲ ὅτι καὶ ἀνόνητος ὁ πόνος αὐτοῖς ὁ περὶ τὴν τῶν εἰδώλων ποίησιν, διέδειξεν εἰπών· «Ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐ-

38. Ἱερ. 10, 11.

λοιπὸν εἶναι στάχτη καὶ βρίσκονται σὲ πλάνη. Θὰ πρέπει ὅσοι θέλουν νὰ εἶναι εὐσεβεῖς, νὰ ἐγκαταλείπουν τὶς ἀνοησίες ὅσων πλανῶνται καὶ νὰ φωνάζουν λέγοντας ἐκεῖνο· «Θεοὶ ποὺ δὲν ἔκαναν τὸν οὐρανὸ καὶ τὴ γῆ νὰ ἐξαφανισθοῦν ἀπὸ τὴ γῆ καὶ ἀπὸ κάθε τόπο κάτω ἀπὸ τὸν οὐρανό»[38]. Γιατὶ λέγει· «Γιὰ μᾶς ὑπάρχει ἕνας Θεός, ὁ Πατέρας ἀπὸ τὸν ὁποῖο προῆλθαν τὰ πάντα καὶ ἐμεῖς ἀνήκομε σ' αὐτόν. Καὶ ἕνας Κύριος ὁ Ἰησοῦς Χριστὸς μέσω τοῦ ὁποίου ἔγιναν τὰ πάντα καὶ ἐμεῖς ἀπ' αὐτόν»[39].

Στίχ. 20-21. «Ἐκείνη τὴν ἡμέρα τὰ βδελυρὰ ἔργα, τὰ χρυσὰ καὶ τὰ ἀργυρά, τὰ ὁποῖα ἔκαναν γιὰ νὰ τὰ προσκυνοῦν, θὰ τὰ πετάξουν στὰ ἄχρηστα καὶ στὶς νυχτερίδες, γιὰ νὰ μποῦν στὶς τρῶγλες τῆς γῆς, ἀνάμεσα στοὺς βράχους καὶ στὶς ρωγμὲς τῶν βράχων, γεμᾶτοι ἀπὸ φόβο γιὰ τὴν παρουσία τοῦ Κυρίου καὶ τὴ δύναμη τῆς δόξας του, ὅταν θὰ σηκωθεῖ γιὰ νὰ ἐξολοθρεύσει τὴ γῆ».

Ὅτι ἐπρόκειτο νὰ κατακρύψουν τοὺς ψευδώνυμους θεοὺς ποὺ κατασκεύασαν οἱ ἴδιοι, ὄχι ἀπὸ σεβασμὸ πρὸς αὐτούς, ἀλλὰ ἐπειδὴ κατανόησαν ὅτι ἦταν ὕλη ἄχρηστη καὶ ἀδρανής, τὸ κάνει φανερὸ προσθέτοντας σὲ ὅσα εἶπε· «Ἐκείνη τὴν ἡμέρα θὰ πετάξει ὁ ἄνθρωπος τὰ βδελυρὰ ἔργα του, ποὺ ἔκανε γιὰ νὰ τὰ προσκυνᾶ, στὰ ἄχρηστα καὶ τὶς νυχτερίδες». Ἀφοῦ δηλαδὴ ἔστησαν τὰ ἔργα τῶν χεριῶν τους στοὺς ναούς, τὰ προσκυνοῦσαν ἀνόσια γιατὶ νόμιζαν ὅτι εἶναι θεοί. Ὅταν ὅμως εἶδαν νὰ εἶναι παρὼν ὁ καιρὸς τοὺ πολέμου καὶ δὲν ὑπῆρχε γι' αὐτοὺς καμμιὰ ἀπολύτως βοήθεια, καὶ διαπίστωσαν ὅτι ἦταν πέτρες καὶ ξύλα, καθὼς καὶ ὕλη χρυσῆ καὶ ἐπαργυρωμένη, αὐτοὶ ποὺ νόμισαν ὅτι θὰ τοὺς γίνουν σωτῆρες καὶ λυτρωτές, τοὺς ἔβγαλαν ἀπὸ τοὺς ναοὺς καὶ τοὺς ἔκρυβαν στὰ σπήλαια, ἐνδιαφερόμενοι γιὰ τὴν ὕλη μᾶλλον, καὶ ὄχι τιμώντας πιὰ αὐτοὺς ὡς θεούς. Ὅτι ὅμως ἦταν μάταιος καὶ ἀνώφελος ὁ μόχθος τους γιὰ τὴν κατασκευὴ τῶν εἰδώλων τὸ ἔδειξε μὲ τοὺς λόγους του· «Θὰ βγάλει ὁ ἄνθρωπος τὰ βδελυρὰ

39. Α΄ Κορ. 8, 6.

τοῦ ἃ ἐποίησε προσκυνεῖν αὐτοῖς καὶ ταῖς νυκτερίσιν». Γεγόνασι μὲν γὰρ αὐτοὶ δημιουργοὶ τῶν ἰδίων θεῶν καὶ τεχνῖται τῶν προσκυνουμένων, ἐσχήκασι δὲ παρ' αὐτῶν εἰς ὄνησιν οὐδέν. Τάχα δέ που μόναις ταῖς νυκτερίσιν ἀνεδείμαντο τοὺς ναούς. Ἀεί γάρ πως τὰ τοιάδε τῶν πτηνῶν, ἤτοι ζωϋφίων, τοῖς ἀφεγγέσι τῶν τόπων ἐμφιλοχωροῦσιν καὶ τῆς παρ' ἑαυτῶν βδελυρίας καὶ κακοσμίας ἀναπιμπλᾶσι τὰ ἐν αὐτοῖς. Ἐκβαλεῖ τοίνυν ἄνθρωπος ἃ ἐποίησε βδελύγματα, ἐκβαλεῖ δὲ ὅποι τοῦ εἰσελθεῖν, φησίν, εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου.

Ἄθρει δὴ οὖν ὅπως τοῖς ἰδίοις θεοῖς ἑαυτοὺς ἐσπούδαζον συγκατορύττειν οἱ τάλανες. Ἀλλ' οὐ τοιοῦτον τεθέανται τὸν τῶν ὅλων Θεόν. Ἐκρύπτετο γὰρ οὐδαμῶς, ὅτε τῆς Αἰγυπτίων ἐκδεδραμήκασι γῆς, εἵπετο δὲ διώκων ὁ Φαραώ. Διέρρηξε γὰρ τὴν θάλασσαν, καὶ διήγαγεν αὐτούς, ἀρρήτῳ δυνάμει καὶ ἀφράστοις νεύμασι. Καὶ οἱ μὲν ἐσῴζοντο βαδίζοντες ὡς ἐπὶ ξηρᾶς, ὁ δὲ ἀπόπληκτος Φαραὼ παντὶ στρατιᾷ κατεπνίγετο. Καὶ μήν ὅτε Ῥαψάκης, ὁ Βαβυλωνίων στρατηγός, κύκλῳ περισχὼν τὴν Ἱερουσαλήμ, πεφλυάρηκε κατὰ Θεοῦ, καὶ ὅλης ἔφη ῥᾳδίως κατακρατήσειν τῆς Ἰουδαίας· οὐκ ἐκρύπτετο Θεός, οὐδὲ πετρῶν ἐζήτησε σχισμάς, οὔτε μὴν διασφαγὰς ὀρῶν, ἀλλ' ηὔχετο μὲν Ἐζεχίας λέγων, «Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Ῥαψάκου, ὃν ἐξαπέστειλε βασιλεὺς Ἀσσυρίων ὀνειδίζειν Θεὸν ζῶντα», παραχρῆμα δὲ Θεοῦ λέγοντος ἤκουε· «Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης, δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου». Καὶ τίς τὸ τηνικάδε κινδυνεύουσιν ὁ τῆς ἐπικουρίας ἐγένετο τρόπος; Παράδοξος καὶ θεοπρεπής· «Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας».

ἔργα του, ποὺ ἔκανε γιὰ νὰ προσκυνᾶ, καὶ θὰ τὰ ρίξει στοὺς στὶς νυχτερίδες». Ἔγιναν δηλαδὴ αὐτοὶ δημιουργοὶ τῶν θεῶν τους καὶ τεχνουργοὶ αὐτῶν ποὺ προσκυνοῦσαν, δὲν ἔλαβαν ὅμως ἀπὸ αὐτοὺς καμμιὰ ὠφέλεια. Σὰν νὰ εἶχαν οἰκοδομήσει τοὺς ναοὺς γιὰ τὶς νυχτερίδες μονάχα. Γιατὶ πάντοτε αὐτὰ τὰ πτηνά, δηλαδὴ τὰ ζωάκια, εἰσχωροῦν στοὺς σκοτεινοὺς τόπους καὶ γεμίζουν ὅ,τι ὑπάρχει ἐκεῖ μὲ σιχασιὰ καὶ τὴν κακοσμία τους. Θὰ βγάλει λοιπὸν ὁ ἄνθρωπος τὰ βδελυρὰ ἔργα ποὺ ἔκανε καὶ θὰ τὰ πετάξει, γιὰ νὰ μποῦν, λέγει, στὶς τρῶγλες τῶν βράχων καὶ στὶς σχισμὲς τῶν πετρῶν, ἀπὸ τὸ φόβο τους γιὰ τὴν παρουσία τοῦ Κυρίου.

Πρόσεχε λοιπὸν πῶς μαζὶ μὲ τοὺς θεούς τους μελετοῦσαν οἱ δυστυχεῖς νὰ καταχωνιάσουν καὶ τοὺς ἴδιους τοὺς ἑαυτούς των. Δὲν εἶδαν ὅμως τέτοιον τὸν Θεὸ τῶν ὅλων. Γιατὶ δὲν κρυβόταν καθόλου ὅταν βγῆκαν ἀπὸ τὴ γῆ τῶν Αἰγυπτίων καὶ τοὺς ἀκολουθοῦσε διώκοντὰς τους ὁ Φαραώ. Καθόσον χώρισε τὴ θάλασσα στὰ δύο καὶ τοὺς πέρασε ἀπέναντι μὲ τὴν ἄρρητη δύναμή του καὶ μὲ τὰ ἀνέκφραστα προστάγματὰ του. Καὶ οἱ Ἰουδαῖοι βέβαια σώθηκαν σὰ νὰ βάδιζαν σὲ στεριά, ἐνῶ ὁ ἀνόητος Φαραὼ καταπνίγηκε μὲ ὅλο τὸ στρατό του. Ἀλλὰ καὶ ὅταν ὁ Ραψάκης, ὁ στρατηγὸς τῶν Βαβυλωνίων, περικύκλωσε τὴν Ἱερουσαλὴμ καὶ ἐξέφρασε φλυαρίες ἐναντίον τοῦ Θεοῦ καὶ εἶπε ὅτι εὔκολα θὰ γίνει κύριος ὅλης τῆς Ἰουδαίας, καὶ τότε ὁ Θεὸς δὲν κρύφθηκε οὔτε ζήτησε σχισμὲς βράχων, οὔτε ρωγμὲς βουνῶν, ἀλλὰ προσευχήθηκε ὁ Ἐζεκίας καὶ εἶπε· «Εἰσάκουσέ μας, Κύριε· ρίξε ἐπάνω μας, Κύριε, τὸ βλέμμα σου ἐπάνω μας καὶ ἄκουσε τὰ λόγια τοῦ Ραψάκη, ποὺ ἔστειλε ὁ βασιλιὰς τῶν Ἀσσυρίων γιὰ νὰ χλευάσει τὸν ζωντανὸ Θεό»[40]. Κι ἀμέσως ἄκουσε τὸν Θεὸ νὰ λέγει· «Θὰ ὑπερασπισθῶ αὐτὴ τὴν πόλη γιὰ μένα τὸν ἴδιο καὶ γιὰ τὸ δοῦλο μου τὸν Δαβίδ»[41]. Καὶ ποιὸς ἦταν ὁ τρόπος ποὺ βρέθηκε γιὰ τὴ βοήθεια ἐκείνων ποὺ κινδύνευαν; Παράδοξος καὶ θεοπρεπής· Γιατὶ λέγε, «Βγῆκε ἄγγελος Κυρίου καὶ σκότωσε ἀπὸ τὸ στράτευμα τῶν Ἀσσυρίων ἑκατὸν ὀγδόντα πέντε χιλιάδες»[42].

---

40. Ἡσ. 37, 4. 41. Ἡσ. 37, 35. 42. Ἡσ. 37, 36.

Αἰσχυνθήτωσαν τοίνυν οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ τὸν πάντα ἰσχύοντα Θεὸν καταλελοιπότες, καὶ λατρεύοντες θεοῖς, οὓς πρὸ ἑαυτῶν κατακρύπτουσιν, ἵνα μὴ πρὸ αὐτῶν ἀπόλοιντο, ταῖς τῶν πολεμούντων περιπεσόντες φιλοκερδίαις. Λέγωμεν τοίνυν κατὰ τὴν τοῦ προφήτου φωνὴν Ἱερεμίου· «Θρόνος δόξης ὑψωμένος, ἁγίασμα ἡμῶν, ὑπομονὴ Ἰσραήλ, Κύριε· πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν. Ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς τὸν Κύριον». Εἰ δὲ χρή τι καὶ πνευματικὸν τοῖς πνευματικοῖς εἰπεῖν, ὅσοι τῶν εἰς νοῦν εἰδώλων ἀνέχονται καὶ τὰς ἐκ τῶν ἐκτόπων φαντασιῶν ἐννοίας εἰσδέχονται, ἴστωσαν ὅτι νυκτερίδων ἔσονται καλιαί, τοῦτ' ἔστι τῶν ἀκαθάρτων πνευμάτων. «Ἕκαστος γὰρ πειράζεται», φησίν, «ὑπὸ τῶν ἰδίων ἐπιθυμιῶν ἐξελκόμενος, καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον». Παραιτητέον οὖν ἄρα τὰς ἀρχὰς τῶν παθῶν καὶ τὰ εἰς νοῦν εἴδωλα, τὰ διὰ μόνων ἐννοιῶν εἰστρέχοντα παρωσώμεθα, τὸ γεγραμμένον εἰδότες· «Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπί σέ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας».

ΚΕΦ. 3, στίχ. 1-2. «Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα καὶ ἄρχοντα πολεμιστὴν καὶ δικαστήν».

Ἀποχρῶσαν ἡμῖν ποιησάμενος τὴν ἀφήγησιν, τὴν ἐπί γε τοῖς ἀρχαιοτέροις αὐτῶν ἐγκλήμασιν, μεθίστησι πάλιν ἐπὶ καιροῦ τὸν λόγον ἐπὶ τὰς τελευταίας αὐτῶν συμφοράς, δικαίως ὑπομεμνηκόσιν ἐμπαροινήσαντες ἀνοσίως εἰς τὸν

43. Ἱερ. 17, 12-13.
44. Ἰακ. 1, 14-15.

Ἂς ντραποῦν λοιπὸν ὅσοι προσκυνοῦν τὰ γλυπτά, ὅσοι ἐγκατέλειψαν τὸν παντοδύναμο Θεὸ καὶ λατρεύουν θεοὺς ποὺ κρύβουν πρὶν ἀπὸ τοὺς ἑαυτούς των, γιά νὰ μὴ χαθοῦν πρὶν ἀπὸ τοὺς ἴδιους, γενόμενοι ἀντικείμενο τῆς φιλοκερδίας τῶν πολεμιστῶν. Ἂς ποῦμε λοιπὸν σύμφωνα μὲ τοὺς λόγους τοῦ προφήτη Ἱερεμία· «Θρόνος ὑψηλὸς δόξας εἶναι ὁ ἅγιος ναός μας, ὑπομονὴ τοῦ Ἰσραήλ, Κύριε· ὅλοι ὅσοι σὲ ἐγκαταλείψουν νὰ καταντροπιαστοῦν, καὶ ἐπειδὴ ἀπομακρύνθηκαν ἂς γραφεῖ τὸ ὄνομά τους στὴ γῆ, ἐπειδὴ ἐγκατέλειψαν τὸν Κύριο, τὴν πηγὴ τῆς ζωῆς»[43]. Ἂν πρέπει ὅμως νὰ πῶ καὶ κάτι πνευματικὸ στοὺς πνευματικούς, ὅσοι ἀνέχονται στὸ νοῦ τους τὰ εἴδωλα καὶ δέχονται τὶς ἔννοιες τῶν ἀσεβῶν φαντασιῶν, νὰ γνωρίζουν ὅτι θὰ γίνουν φωλιὲς νυχτερίδων, δηλαδὴ τῶν ἀκαθάρτων πνευμάτων. Γιατὶ λέγει· «Καθένας πειράζεται παρασυρόμενος καὶ δελεαζόμενος ἀπὸ τὶς ἴδιες του τὶς ἐπιθυμίες. Στὴ συνέχεια ἡ ἐπιθυμία ἀφοῦ συλλάβει γεννᾶ τὴν ἁμαρτία, καὶ ἡ ἁμαρτία ὅταν ὁλοκληρωθεῖ γεννᾶ τὸ θάνατο»[44]. Ἂς ἀποφύγομε λοιπὸν τὶς ἀρχὲς τῶν παθῶν καὶ τὰ εἴδωλα τοῦ νοῦ, ποὺ μᾶς ἔρχονται μὲ μόνο τὶς ἔννοιες, ἂς τὰ ἀπωθήσομε, ἔχοντας ὑπόψει αὐτὸ ποὺ ἔχει γραφεῖ· «Ἂν τὸ πνεῦμα τοῦ ἐξουσιαστῆ ἐξεγερθεῖ ἐναντίον σου, μὴν ἀφήσεις τὸν τόπο σου (τὴν ἠρεμία σου), γιατὶ ἡ πραότητα καταπαύει μεγάλες ἁμαρτίες»[45].

ΚΕΦ. 3, στίχ. 1-2. «Νά, ὁ Δεσπότης, ὁ Κύριος τῶν δυνάμεων, θ' ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία καὶ ἀπὸ τὴν Ἱερουσαλὴμ τὸν ἰσχυρὸ ἄνδρα καὶ τὴν ἰσχυρὴ γυναίκα, τὴ δύναμη τοῦ ἄρτου καὶ τὴ δύναμη τοῦ νεροῦ, τὸν γίγαντα καὶ τὸν ἰσχυρὸ καὶ τὸν ἄρχοντα, τὸν πολεμιστὴ καὶ τὸν δικαστή».

Ἀφοῦ μᾶς ἔκανε ἱκανοποιητικὴ ἀφήγηση γιὰ τὰ ἀρχαιότερα ἐγκλήματά τους, μεταφέρει πάλι τὸ λόγο ἐπίκαιρα στὶς τελευταῖες τους συμφορές, τὶς ὁποῖες ὑπέμειναν δίκαια, ἐπειδὴ παραφρόνησαν ἀνόσια ἐναντίον τοῦ Κυρίου μας Ἰησοῦ Χρι-

45. Ἐκκλησ. 10, 4.

Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Ἐπέταξε γὰρ αὐτοῖς ὁ θυμὸς Κυρίου, καὶ μάλα εἰκότως· ἀνῃρηκότες γὰρ τοὺς προφήτας καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους, οὐδὲ αὐτὸν δεδυσώπηνται τὸν Υἱόν, ἐπεπήδησαν δὲ θηριοπρεπῶς, καὶ τὸν ἀρχηγὸν τῆς ζωῆς, τό γε ἧκον εἰς αὐτούς, θανάτῳ περιβεβλήκασι, λέγοντες· «Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι». Πάνδεινα μὲν οὖν ἐστιν αὐτοῖς τὰ τοῦ πολέμου συμβεβηκότα καὶ δεδαπάνηνται πολυτρόπως· τοῦτο μὲν λιμῷ καὶ πολιορκίαις, πυρὶ καὶ σιδήρῳ, τοῦτο δὲ γυναίων τε καὶ παίδων ἀνδραποδισμοῖς. Ὅτι δὲ καὶ τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ χαρισμάτων νενοσήκασι τὴν ἀποβολήν, καὶ τῶν εἰς νοῦν καὶ ψυχὴν ἀγαθῶν ἐστέρηνται, διδάσκει λέγων· «Ἰδοὺ δὴ ὁ Δεσπότης Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν». Καὶ ὁ λόγος τῷ προφήτῃ νῦν οὐ περὶ σωματικῆς ἰσχύος· εὔηθες γὰρ τὸ ὧδε νοεῖν (περὶ νοητῆς δὲ μᾶλλον καὶ τῆς εἰς νοῦν καὶ καρδίαν), δι' ἧς εἰθίσμεθα κατορθοῦν ἀρετήν. Στρατεύεται μὲν γὰρ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Ταῦτα γὰρ ἀντίκειται ἀλλήλοις· πλεῖσται δὲ ὅσαι κοσμικαὶ καὶ ἀκάθαρτοι τὸν ἀνθρώπινον νοῦν διακυκῶσιν ἡδοναί, καταφέρουσαι πρὸς ἁμαρτίας.

Χρεία τοίνυν ἰσχύος τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ. Περιέσται γάρ οὕτω τις καὶ μόλις, καὶ στεφανοῦται κρατῶν· ἀφῃρῆσθαι δὲ τοῦτό φησιν ἀπὸ τῶν Ἰουδαίων, καὶ αὐτὰ βοήσει τὰ πράγματα. Ποῖος γὰρ ἔτι λόγος ἐστὶ παρ' αὐτοῖς τοῦ κατορθοῦν ἀρετήν; ἢ τίς ὁ εὐδόκιμος καὶ ἀντανίστασθαι μεμελετηκὼς τοῖς πάθεσι τῆς σαρκός, ἤγουν ταῖς ἐφόδοις τῶν ἐκτόπων ἡδονῶν; Πρόκειται γὰρ ὥσπερ ἁπάντων ὁ νοῦς ὡς σευτλίον ἡμίεφθον, κατὰ τὴν τοῦ προφήτου φωνήν. Οὐ γὰρ δύναται λέγειν· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυνα-

---

46. Σοφ. Σολ. 2, 12.
47. Ἡσ. 51, 20

στοῦ. Ξέσπασε σ' αὐτοὺς ὁ θυμὸς τοῦ Κυρίου καὶ πολὺ εὔλογα. Γιατί, ἀφοῦ σκότωσαν τοὺς προφῆτες καὶ λιθοβόλησαν τοὺς ἀπεσταλμένους, δὲν φοβήθηκαν οὔτε τὸν ἴδιο τὸ Υἱό, ἀλλὰ ὥρμησαν σὰν θηρία ἐναντίον τοῦ ἀρχηγοῦ τῆς ζωῆς, καὶ ὅσο ἦταν στὸ χέρι τους, τὸν ὁδήγησαν στὸ θάνατο λέγοντας· «Ἂν δέσομε τὸν δίκαιο, γιατὶ μᾶς εἶναι δύσχρηστος»[46]. Τὰ γεγονότα τοῦ πολέμου ἦταν γι' αὐτοὺς πάρα πολὺ φοβερὰ καὶ ὑπέφεραν μὲ πολλοὺς τρόπους, ἀπὸ τὴ μιὰ ἀπὸ τὴν πεῖνα καὶ τὴν πολιορκία, ἀπὸ τὴ φωτιὰ καὶ τὸ σίδηρο, καὶ ἀπὸ τὴν ἄλλη ἀπὸ τὸν ἐξανδραποδισμὸ τῶν γυναικῶν καὶ τῶν παιδιῶν. Ὅτι βέβαια ὑπέστησαν καὶ τὴν ἀπώλεια τῶν οὐράνιων καὶ τῶν δοσμένων ἀπὸ τὸν Θεὸ χαρισμάτων καὶ στερήθηκαν τὰ ἀγαθὰ τοῦ νοῦ καὶ τῆς ψυχῆς, τὸ διδάσκει λέγοντας· «Νά, ὁ Δεσπότης, ὁ Κύριος τῶν δυνάμεων, θὰ ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία καὶ τὴν Ἱερουσαλὴμ κάθε ἰσχυρὸ καὶ ἰσχυρή». Καὶ ὁ λόγος φυσικὰ τοῦ προφήτη δὲν ἀναφέρεται στὴ σωματικὴ δύναμη (γιατὶ εἶναι ἀναισησία νά σκεφθοῦμε κάτι τέτοιο), ἀλλὰ στὴν πνευματικὴ δύναμη, τοῦ νοῦ καὶ τῆς ψυχῆς, μὲ τὴν ὁποία συνήθως κατορθώνομε τὴν ἀρετή. Γιατὶ ἡ σάρκα πολεμᾶ τὸ πνεῦμα καὶ τὸ πνεῦμα τὴ σάρκα, ἀφοῦ αὐτὰ τὰ δύο εἶναι ἀντίθετα μεταξύ τους. Πάρα πολλὲς ἡδονὲς κοσμικὲς κι ἀκάθαρτες συνταράζουν τὸν ἀνθρώπινο νοῦ καὶ ὁδηγοῦν στὴν ἁμαρτία.

Χρειάζεται λοιπὸν ἡ δύναμη ἀπὸ ἄνω καὶ ἀπὸ τὸν Θεό. Γιατὶ ἔτσι μπορεῖ νὰ ὑπερισχύει κανεὶς καὶ μόλις καὶ μὲ δυσκολία νὰ στεφανωθεῖ νικώντας. Ὅτι αὐτὸ θὰ ἀφαιρεθεῖ, λέγει, ἀπὸ τοὺς Ἰουδαίους θὰ τὸ φωνάξουν καὶ τὰ ἴδια τὰ πράγματα. Γιατὶ ποιὸς λόγος τοὺς ἀπομένει νὰ προσπαθήσουν νὰ κατορθώσουν τὴν ἀρετή; ἢ ποιὸς εἶναι αὐτὸς ποὺ εὐδοκιμεῖ καὶ ἔχει τὴ θέληση ν' ἀντισταθεῖ στὰ πάθη τῆς σάρκας ἢ στὶς ἐφόδους τῶν παράνομων ἡδονῶν; Γιατί σύμφωνα μὲ τὸν λόγο τοῦ προφήτη, ὁ νοῦς ὅλων μοιάζει μὲ μισοβρασμένο τεῦτλο[47]. Γιατὶ δὲν μπορεῖ νὰ πεῖ, «Ὅλα τὰ κατορθώνω μὲ τὴ δύναμη τοῦ Χριστοῦ ποὺ μ' ἐν-

μοῦντί με Χριστῷ». Ἀφῄρηται δὲ ἀπ' αὐτῶν ἰσχὺς ἄρτου καὶ ἰσχὺς ὕδατος· ἄρτου δὲ πάλιν οὐκ αἰσθητοῦ, ἀλλ' οὐδὲ ὑδάτων τῶν ἐν καταχρήσει κοινῇ· ἐκείνου δὲ μᾶλλον περὶ οὗ φησιν ὁ Δαβίδ· «Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος». Ὑδάτων δὲ μεμνῆσθαί φαμεν αὐτὸν τῶν νοητῶν, περὶ ὧν αὐτός πού φησιν ὁ προφήτης Ἡσαΐας· «Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος». Καὶ μὴν καὶ αὐτὸς ὁ Σωτήρ· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃ δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον».

Σύνες δὲ ἀκριβῶς τὰς τοῦ προφήτου φωνάς Οὐ γὰρ εἴρηκεν ἁπλῶς τῶν Ἰουδαίων ἀφαιρεθήσεσθαι ἄρτον τε καὶ ὕδωρ, ἀλλ' ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος Καὶ δεῖ ἡμᾶς τοιοῦτόν τι βούλεσθαι διδάσκειν αὐτόν. Ἡμεῖς μὲν γὰρ τοῖς ἱεροῖς περιτυγχάνοντες λόγοις καὶ τὰς θείας ἀναγινώσκοντες Γραφάς, εἶτα συνιέντες αὐτάς, ἰσχὺν ἄρτου νοητοῦ δεχόμεθα. «Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ», φησί, «ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος τοῦ Θεοῦ». Ὁμοίως νοήσεις καὶ ἐφ' ὑδάτων νοητῶν. Ἰουδαῖοί γε μὴν ἔχουσι μὲν τὸν ἄρτον καὶ τὸ ὕδωρ ἔτι. Πολυπραγμονοῦσι γὰρ τὰ Μωσέως γράμματα καὶ ἀναγινώσκουσι τὸν νόμον. Ἐπειδὴ δὲ γινώσκουσιν οὐδέν, οὐκ ἔχουσι τὴν ἰσχὺν τοῦ ἄρτου, οὔτε μὴν τὴν ἰσχὺν τοῦ ὕδατος. Ψιλὸν γὰρ αὐτοῖς καὶ μόνον τὸ γράμμα δέδοται, ἄρτου μὲν καὶ ὕδατος ὑπόληψιν ἔχον, τρέφον δὲ αὐτοὺς κατ' οὐδένα τρόπον εἰς εὐεξίαν τὴν νοητήν. Καὶ μαρτυρήσει γράφων ὁ Παῦλος· «Ἄχρι γὰρ σήμερον, ἡνίκα ἂν ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται».

Καὶ καθ' ἕτερον δὲ τρόπον, ἀφῃρῆσθαί φαμεν ἐκ τῆς Ἰ-

48. Φιλ. 4, 13. 49. Ψαλμ. 77, 24-25. 50. Ἡσ. 12, 3.

δυναμώνει»[48]. Ἀφαιρέθηκε ἐπίσης καὶ ἡ δύναμη τοῦ ἄρτου καὶ ἡ δύναμη τοῦ νεροῦ. Ἄρτο πάλι δὲν ἐννοεῖ τὸν αἰσθητό, οὔτε καὶ νερὸ ἐννοεῖ αὐτὸ ποὺ κοινὰ χρησιμοποιοῦμε, ἀλλὰ ἐκεῖνο γιὰ τὸ ὁποῖο λέγει ὁ Δαβίδ· «Τοὺς ἔδωσε ἄρτο ἀπὸ τὸν οὐρανό, ἄρτο ἀγγέλων ἔφαγε ὁ ἄνθρωπος»[49]. Λέμε ὅτι ἀναφέρεται στὰ νοητὰ ὕδατα, γιὰ τὰ ὁποῖα μιλᾶ κάπου ὁ ἴδιος ὁ Ἡσαΐας· «Ἀντλῆστε ὕδωρ μὲ χαρὰ ἀπό τὶς πηγὲς τοῦ Σωτήρα»[50]. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Σωτήρας λέγει· «Ὁ καθένας ποὺ πίνει ἀπὸ αὐτὸ ἐδῶ τὸ νερὸ θὰ διψάσει πάλι, ἐνῶ αὐτὸς ποὺ θὰ πιεῖ ἀπὸ τὸ νερὸ ποὺ θὰ τοῦ δώσω ἐγώ, θὰ τοὺ γίνει πηγὴ νεροῦ ποὺ θ' ἀναβλύζει πρὸς ζωὴ αἰώνια»[51].

Κατανόησε μὲ ἀκρίβεια τὰ λόγια τοῦ προφήτη. Γιατὶ δὲν εἶπε ἁπλῶς ὅτι θ' ἀφαιρεθεῖ ἀπὸ τοὺς Ἰουδαίους ὁ ἄρτος καὶ τὸ νερό, ἀλλὰ ἡ δύναμη τοῦ ἄρτου καὶ ἡ δύναμη τοῦ νεροῦ. Πρέπει λοιπὸν νά θέλει νὰ μᾶς διδάξει κάτι τέτοιο. Ἐμεῖς δηλαδὴ ἀσχολούμενοι μὲ τὰ ἱερὰ λόγια καὶ διαβάζοντας τὶς θεῖες Γραφὲς καὶ κατανοώντας αὐτές, δεχόμαστε ὅτι πρόκειται γιὰ ἄρτο νοητό. Γιατὶ λέγει· «Δὲν θὰ ζήσει ὁ ἄνθρωπος μόνο μὲ ἄρτο, ἀλλὰ μὲ κάθε λόγο ποὺ βγαίνει ἀπό τὸ στόμα τοῦ Θεοῦ»[52]. Ὅμοια νὰ σκεφθεῖς καὶ γιὰ τὰ νοητὰ ὕδατα. Οἱ Ἰουδαῖοι ἀσφαλῶς ἔχουν ἀκόμα τὸν ἄρτο καὶ τὸ νερό. Γιατὶ ἐξετάζουν μὲ λεπτομέρεια τὰ συγγράμματα τοῦ Μωυσῆ καὶ διαβάζουν τὸ νόμο. Ἐπειδὴ ὅμως δὲν καταλαβαίνουν τίποτε, δὲν ἔχουν τὴ δύναμη τοῦ ἄρτου οὔτε βέβαια καὶ τὴ δύναμη τοῦ νεροῦ. Γιατὶ δόθηκε σ' αὐτοὺς ἁπλὸ καὶ μόνο τὸ γράμμα, ποὺ δίνει βέβαια τὴν ἐντύπωση ἄρτου καὶ νεροῦ, ἀλλὰ δὲν τρέφει αὐτοὺς μὲ κανένα τρόπο πρὸς πνευματικὴ εὐεξία. Καὶ θὰ τὸ βεβαιώσει ὁ Παῦλος γράφοντας· «Μέχρι σήμερα κάθε φορὰ ποὺ διαβάζεται ὁ Μωυσῆς ὑπάρχει πάνω στὴν ψυχή τους ἕνα κάλυμμα, ποὺ δὲν βγαίνει, γιατὶ καταργεῖται μὲ τὴν πίστη στὸν Χριστό»[53].

Καὶ μὲ ἄλλο τρόπο λέμε ὅτι ἀφαιρέθηκε ἀπὸ τὴν Ἰουδαϊκὴ

51. Ἰω. 4, 13-14. 52. Ματθ. 4, 4. 53. Β΄ Κορ. 3, 14.

ουδαίων συναγωγῆς, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. Καί ὁ λόγος ἐστὶ μυστικός. Ἡμεῖς μὲν γάρ, οἱ διὰ πίστεως κεκλημένοι πρὸς ἁγιασμόν, τὸν ἄρτον ἔχομεν τὸν ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστόν, ἤτοι τὸ σῶμα αὐτοῦ. Εἰ δὲ δή τις ἔροιτο, ποία τίς ἐστιν ἡ ἰσχὺς αὐτοῦ, φαμὲν ὅτι ζωοποιός. Δίδωσι γὰρ τῷ κόσμῳ ζωήν. Πρόσιμεν δὲ ὁμοίως καὶ τῇ διὰ τοῦ ἁγίου βαπτίσματος χάριτι, τοῦ ἁγιάζοντος ἡμᾶς, ὕδατος τὴν ἰσχὺν εἶναι λέγοντες ἁμαρτιῶν ἀπόθεσιν, ἀναγέννησιν τὴν πνευματικήν, εἰς συμμορφίαν τὴν πρὸς αὐτὸν τὸν Χριστόν. Καὶ προσέτι τούτοις, παρρησίας εἴσοδον εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· «Ἐάν γάρ μή τις», φησί, «γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ».

Ἐστέρηνται τοίνυν οἱ Ἰουδαῖοι τῶν τοιούτων ἀγαθῶν. Οὐ γάρ ἔστι παρ' αὐτοῖς ἰσχὺς ἄρτου, τοῦτ' ἔστιν ἡ ἐν Χριστῷ ζωοποίησις. Οὐκ ἔχουσι τὴν ὕδατος ἰσχύν· ἀπομεμένηκε γάρ παρ' αὐτοῖς ἀνεπόνιπτος ἁμαρτία. Οὐκ εἰσελάσουσιν εἰς τὴν οὐρανῶν βασιλείαν, τὸν εἰσκομίζοντα Χριστὸν ἀτιμάσαντες· οὐ γάρ ἐπίστευον λέγοντι· «Ἐγώ εἰμι ἡ ὁδός, καὶ ἐγώ εἰμι ἡ θύρα». Ἀφελεῖ δὲ ὁμοίως γίγαντα καὶ ἰσχύοντα. Εἶτα τίς ὁ γίγας; τίς δὲ καὶ ὁ ἕτερος; Οἶμαι δή οὖν ἔγωγε γίγαντα μὲν ὀνομάζειν τὸν εἰς λῆξιν ἰσχύος ἥκοντα τῆς πνευματικῆς, ἰσχύοντα δὲ τὸν ὑποβεβηκότα βραχύ, καὶ τῆς ἐν ἐκείνῳ νοουμένης ὑπεροχῆς ἡττώμενον. Ἑκάστῳ γάρ ἡμῶν δέδοται παρὰ Θεοῦ χάριτος μέτρον. Τοῦτο ἡμῖν ἐναργὲς ὁ σοφώτατος Παῦλος καθίστησι, λέγων· «Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, ἀλλ' ἕκαστος ἡμῶν ἴδιον ἔχει χάρισμα ἀπὸ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως». Ἔθος δὲ καὶ ἑτέρους τῇ θεοπνεύστῳ Γραφῇ τοὺς ἄγαν εὐσθενεστάτους γίγαντας ἀποκαλεῖν. Καὶ γοῦν ἔφη που Θεὸς περὶ τῶν ἐκ Βαβυλῶνος καταστρατευσάντων τῆς Ἰουδαίων χώρας· «Γίγαν-

54. Ἰω. 3, 5.
55. Ἰω. 10, 9 καὶ 14, 6.

συναγωγὴ ἡ δύμαμη τοῦ ἄρτου καὶ ἡ δύναμη τοῦ νεροῦ. Ὁ λόγος ὅμως εἶναι μυστικός. Ἐμεῖς δηλαδὴ ποὺ κληθήκαμε μέσω τῆς πίστης στὸν ἁγιασμό, ἔχομε τὸν οὐράνιο ἄρτο, δηλαδὴ τὸν Χριστό, ἤτοι τὸ σῶμα τοῦ Χριστοῦ. Κι ἂν κάποιος ρωτήσει, τί εἴδους εἶναι ἡ δύναμη αὐτοῦ, λέμε ὅτι εἶναι ζωοποιός. Γιατὶ δίνει στὸν κόσμο ζωή. Ὅμοια προσερχόμαστε καὶ στὴ χάρη ποὺ δίνει τὸ ἅγιο Πνεῦμα διὰ τοῦ βαπτίσματος, ποὺ μᾶς ἁγιάζει, λέγοντας ὅτι ἡ δύναμη τοῦ νεροῦ εἶναι ἡ ἀπόθεση τῶν ἁμαρτιῶν, ἡ πνευματικὴ ἀναγέννηση, γιὰ νὰ γίνομε σύμμορφοι μὲ τὸν ἴδιο τὸν Χριστό. Καὶ ἐκτὸς ἀπὸ αὐτά, δίνει παρρησία γιὰ τὴν εἴσοδο στὴ βασιλεία τῶν οὐρανῶν. Γιατὶ λέγει· «Ἂν δὲν γεννηθεῖ κανεὶς μὲ νερὸ καὶ πνεῦμα, δὲν μπορεῖ νὰ εἰσέλθει στὴ βασιλεία τοῦ Θεοῦ»[54].

Στερήθηκαν λοιπὸν οἱ Ἰουδαῖοι αὐτὰ τὰ ἀγαθά. Γιατὶ δὲν ὑπάρχει σ᾽ αὐτοὺς δύναμη ἄρτου, δηλαδὴ ἡ ζωοποίηση ποὺ προέρχεται ἀπὸ τὸν Χριστό. Δὲν ἔχουν τὴ δύναμη τοῦ νεροῦ· γιατὶ παρέμεινε σ᾽ αὐτοὺς ἡ ἁμαρτία χωρὶς νὰ ἔχει ἐξαλειφθεῖ. Δὲν θὰ εἰσέλθουν στὴ βασιλεία τῶν οὐρανῶν, ἐπειδὴ περιφρόνησαν τὸν Χριστὸ ποὺ εἰσάγει σ᾽ αὐτήν. Γιατὶ δὲν τὸν πίστευαν ὅταν τοὺς ἔλεγε, «Ἐγὼ εἶμαι ἡ ὁδὸς καὶ ἐγὼ εἶμαι ἡ θύρα»[55]. Θὰ ἀφαιρέσει ἐπίσης τὸν γίγαντα καὶ τὸν ἰσχυρό. Καὶ ποιὸς εἶναι ὁ γίγαντας, ποιὸς ἐπίσης καὶ ὁ ἄλλος; Νομίζω λοιπὸν ἐγὼ πὼς γίγαντα ὀνομάζει αὐτὸν ποὺ ἔφθασε στὴν κορυφὴ τῆς πνευματικῆς δύναμης, ἐνῶ ἰσχυρὸ τὸν λίγο κατώτερο ἀπὸ τὸν πρῶτο καὶ ἡττημένο ἀπὸ τὴν ὑπεροχὴ ποὺ βλέπομε σ᾽ αὐτόν. Γιατὶ σὲ καθένα ἀπὸ ἐμᾶς δόθηκε ἀπὸ τὸν Θεὸ κάποιο μέτρο χάριτος. Αὐτὸ μᾶς τὸ κάνει σαφὲς ὁ σοφώτατος Παῦλος λέγοντας· «Θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ἴδιοι μ᾽ ἐμένα, ἀλλὰ καθένας μας ἔχει τὸ δικό του χάρισμα ἀπὸ τὸν Θεό, ὁ ἕνας αὐτό, καὶ ὁ ἄλλος ἐκεῖνο»[56]. Εἶναι συνήθεια τῆς θεόπνευστης Γραφῆς καὶ ἀλλιῶς νὰ ὀνομάζει γίγαντες τοὺς πάρα πολὺ δυνατούς. Γι᾽ αὐτὸ καὶ εἶπε κάπου ὁ Θεὸς γιὰ τοὺς Βαβυλώνιους ποὺ ἐκστράτευσαν ἐναντίον τῆς χώ-

56. Α΄ Κορ. 7, 7.

τες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες». Καὶ μὴν καὶ ὁ Ψαλμῳδός· «Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ». Οὐκ ἔσται δὲ παρὰ τοῖς Ἰουδαίοις οὐ πολεμιστής, οὐ δικαστής. Ἡμεῖς μὲν γὰρ οἱ τῇ πίστει τετιμηκότες τὸν τῶν δυνάμεων Κύριον, νευρούμεθα παρ' αὐτοῦ καὶ ἱκανοὶ πρὸς ἀντίστασιν ἀποτελούμεθα, τὴν πρός γε τὰς πονηρὰς καὶ ἀκαθάρτους δυνάμεις. «Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Οἷς ἀνθιστάμεθα νοητῶς τοῖς τῆς δικαιοσύνης ὅπλοις ἐνηρμοσμένοι, καὶ παντευχίαν ἔχοντες τὴν πνευματικήν. Ὧν καὶ ὁ θεσπέσιος Παῦλος διαμνημονεύει λέγων· «Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ». Καὶ τὰ ἑξῆς· «Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ· καὶ ἐν σαρκὶ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα».

Παρὰ δέ γε τοῖς Ἰουδαίοις οὐδεὶς τοιοῦτός ποθεν· ἀμαχεὶ δὲ ὥσπερ παραχωροῦσιν ἀεὶ τὸ νικᾶν παντὶ τῷ προσβάλλοντι καὶ ταῖς σφῶν αὐτῶν ἀτιθάσσοις ἡδοναῖς. Οὐδ' ἂν εὕροι τις παρ' αὐτοῖς τὸν εἰδότα δικάζειν ὀρθῶς, ἢ τοῖς εἰς νοῦν κειμένοις, ἤγουν τοῖς ἔξωθεν καὶ βιωτικοῖς πράγμασιν. Εἰστρέχουσι μὲν γὰρ τὸν ἄνθρώπινον νοῦν ἔκτοποί τε καὶ πονηροὶ διαλογισμοί, καὶ δεινὸς ἀκαθάρτων ἐπιθυμῶν διαχυκᾷ θόρυβος· ἀλλὰ τοῦ μὲν σοφοῦ καὶ ἐπιεικοῦς ἔστηκεν ὁ νοῦς οἷά τις κριτὴς δοκιμάζων ἕκαστα, καὶ παραιτούμενος μὲν τὸ φαῦλον, ἀρρήτῳ δὲ ψήφῳ τὸ χρήσιμον στεφανῶν. Ἀνεπιτήδευτον παντελῶς καὶ τοῦτό ἐστι παρά γε τοῖς Ἰουδαίων δήμοις. Οὐ γάρ ἐστι μετ' αὐτῶν ὁ καὶ πρὸς τοῦτο ἡμᾶς ἀπευθύνων Θεός, ἀλλ' οὐδ' ἂν εἰ καί τι τῶν ἔξωθεν διαγυμνάζοιτό πως, δοκιμάζειν ἴσασι τὸ ἀμωμήτως ἔχον καὶ ἀρέσκον Θεῷ· πῶς γὰρ εἰδεῖεν τὸν

57. Ἡσ. 13, 3. 58. Ψαλμ. 18, 6.

ρας τῶν Ἰουδαίων· «Ἔρχονται γίγαντες γιὰ νὰ ἐκπληρώσουν τὴν ὀργή μου μὲ χαρὰ καὶ συνάμα καὶ μὲ ὕβρεις»[57]. Καὶ βέβαια καὶ ὁ Ψαλμωδὸς λέγει· «Θὰ νοιώσει ἀγαλλίαση σὰν γίγαντας ποὺ προχωρεῖ γιὰ νὰ διανύσει τὸν δρόμο του»[58]. Δὲν θὰ μείνει ἐπίσης στοὺς Ἰουδαίους οὔτε πολεμιστὴς οὔτε δικαστής. Ἐμεῖς ὅμως ποὺ τιμήσαμε τὸν Κύριο τῶν δυνάμεων μὲ τὴν πίστη μας παίρνομε δύναμη ἀπὸ αὐτὸν καὶ γινόμαστε ἱκανοὶ πρὸς ἀντίσταση στὶς πονηρὲς καὶ ἀκάθαρτες δυνάμεις· γιατὶ λέγει· «Ἡ πάλη μας δὲν εἶναι πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὶς ἀρχές, τὶς ἐξουσίες, πρὸς τοὺς κοσμοκράτορες τοῦ σκότους, πρὸς τὰ πονηρὰ πνεύματα στοὺς οὐρανούς»[59]. Σ᾽ αὐτὰ ἀντιστεκόμαστε νοητὰ ἁρματωμένοι μὲ τὰ ὅπλα τῆς δικαιοσύνης καὶ φορώντας τὴν πνευματικὴ πανοπλία. Αὐτὰ μνημονεύει καὶ ὁ θεσπέσιος Παῦλος· «Σταθεῖτε λοιπὸν ζωσμένοι στὴ μέση μὲ τὴν ἀλήθεια»[60]. Καὶ τὰ ἑξῆς· «Γιατὶ τὰ ὅπλα μας δὲν εἶναι σαρκικά, ἀλλὰ ἡ δύναμη τοῦ Θεοῦ, καὶ ἐνῶ ζοῦμε φορώντας τὴ σάρκα, ὁ πόλεμός μας δὲν εἶναι σαρκικός»[61].

Στοὺς Ἰουδαίους ὅμως, δὲν ὑπάρχει κανένας τέτοιος, ἀλλὰ χωρὶς μάχη παραχωροῦν τὴ νίκη πάντοτε σ᾽ ὅποιον τοὺς ἐπιτίθεται καὶ στὶς ἀσυγκράτητες ἡδονὲς αὐτῶν τῶν ἴδιων. Οὔτε μπορεῖ νὰ βρεῖ κανεὶς ἀνάμεσά τους αὐτὸν ποὺ γνωρίζει νὰ δικάζει ὀρθά, ἢ πράγματα νοητὰ, ἢ ὑλικὰ καὶ βιωτικά. Γιατὶ κυκλοφοροῦν στὸν ἄνθρώπινο νοῦ ἀσεβεῖς καὶ πονηροὶ διαλογισμοὶ καὶ τὸν ταράζει φοβερὸς θόρυβος ἀκάθαρτων ἐπιθυμιῶν. Ἀλλὰ τοῦ σοφοῦ καὶ τέλειου ὁ νοῦς μένει σταθερός, σὰν ἕνας κριτὴς ποὺ ἐξετάζει τὸ καθένα, καὶ ποὺ ἀρνεῖται τὸ φαῦλο, ἐνῶ μὲ ἄρρητη ψῆφο σεφανώνει τὸ χρήσιμο. Ἀλλ᾽ αὐτὸ εἶναι τελείως ἀδύνατο στὸν Ἰουδαϊκὸ λαό. Γιατὶ δὲν εἶναι μαζί τους ὁ Θεός, ποὺ καὶ σ᾽ αὐτὸ μᾶς κατευθύνει, ἀλλ᾽ οὔτε κι ἂν πρέπει νὰ ἐξετασθεῖ κάτι ἀπὸ τὰ κοσμικά, γνωρίζουν νὰ διακρίνουν τὸ ἄμεμπτο καὶ ἀρεστὸ στὸν Θεό. Πῶς δηλαδὴ νὰ γνωρίζουν τὸν ἀκριβῆ σκοπὸ τοῦ

59. Ἐφ. 6, 12. 60. Ἐφ. 6, 14. 61. Β΄ Κορ. 10, 4, 3.

ἀκριβῆ τοῦ νόμου σκοπόν, οἱ τῷ νομοθέτῃ προσκεκρουκότες, ταύτης τε ἕνεκα τῆς αἰτίας συνέσεως ἁπάσης, τῆς ἐπί γέ φημι τοῖς ἱεροῖς Γράμμασι, δικαίως ἐστερημένοι;

Στίχ. 2-4. «Ἀφελεῖ δὲ ὁμοίως, φησί, πρὸς τούτῳ προφήτην καὶ στοχαστὴν καὶ πρεσβύτερον καὶ πεντηκόνταρχον καὶ θαυμαστὸν σύμβουλον καὶ σοφὸν ἀρχιτέκτονα καὶ συνετὸν ἀκροατήν, καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν».

Ὅτι μὲν οὖν ἐξῄρηται προφητεία τῆς Ἰουδαίων Συναγωγῆς, οὐκ ἄν ἐνδοιάσειέ τις, αὐτοῦ διακεκραγότος τοῦ πράγματος. Οἱ μὲν γὰρ μακάριοι προφῆται κατὰ καιροὺς γεγονότες προεκήρυττον τὸν Χριστὸν Ἰησοῦν, ἐπειδὴ δὲ τετέλεσται τὸ προηγγελμένον καὶ τὸ τοῦ νόμου καὶ τῶν προφητῶν ἀφῖκται τέλος (ἐπεφάνη γὰρ ἡμῖν ὁ Θεὸς καὶ Κύριος, κατὰ τὰς Γραφάς), εἶτα πεπαρῳνήκασιν εἰς αὐτόν, πέπαυται παρ' αὐτοῖς τῆς προφητείας ἡ χάρις. Οὐ γὰρ ἦν ἀκόλουθον θεομάχους ὄντας καὶ ὑβριστάς, γεγονότας δὲ καὶ Κυριοκτόνους καὶ τὰς χεῖρας αἱμάτων ἔχοντας πλήρεις, τῷ τῆς προφητείας τιμᾶσθαι πνεύματι. Ἐπιμαρτυρήσει δὲ τούτοις καὶ ὁ μακάριος Δανιήλ, ἐσφραγίσθαι λέγων ὅρασιν καὶ προφήτην. Οὐκοῦν ἀμέτοχος τῆς οὕτω λαμπρᾶς καὶ εὐκλεεστάτης χάριτος γέγονεν ὁ Ἰσραήλ· ἀμαθὴς δὲ οὕτω καὶ φρενὸς ἔρημος ἀγαθῆς, ὡς μὴ εἶναι παρ' αὐτοῖς μηδένα τὸν στοχαστήν. Στοχαστὴν δὲ εἶναί φαμεν τὸν οἱονεὶ συμβάλλοντα καὶ διατεκμαιρόμενον ὀρθῶς ἕκαστα τῶν πραγμάτων, καὶ ὅποι ποτὲ ἥξει, καὶ εἰς ποῖον καταντήσουσι τέλος, εὖ μάλα διαγινώσκοντα. Οἱ μὲν γὰρ ἀπερισκέπτως καὶ ἐξ ἐλαφρῶν ἐννοιῶν χωροῦντες εἰς τὰ πρακτέα, διαμαρτάνουσι τῶν χρησίμων, καὶ ὡς ἐπὶ σκότῳ βαδίζοντες, ἔρχονται κατὰ πετρῶν. Οἱ δὲ ἀκριβεῖς εἰς σύνεσιν, ὀξεῖ βλέπουσιν ὀφθαλμῷ τὰς τῶν πραγμάτων ἐκβάσεις. Καὶ εἰ-

νόμου αὐτοὶ ποὺ ἔχουν προσκρούσει στὸν νομοθέτη, καὶ γι᾽ αὐτὴ τὴν αἰτία δίκαια ἔχουν στερηθεῖ κάθε γνώση, ἐννοῶ τὴ σχετικὰ μὲ τὰ ἱερὰ γράμματα;

Στίχ. 2-4. «Θ᾽ ἀφαιρέσει ὅμοια», λέγει, «μαζὶ μὲ τὰ προηγούμενα, προφήτη καὶ στοχαστὴ καὶ πρεσβύτερο καὶ πεντηκόνταρχο καὶ σύμβουλο θαυμαστὸ καὶ σοφὸ ἀρχιτέκτονα καὶ συνετὸ ἀκροατή, καὶ θὰ τοποθετήσω ἄρχοντές τους νεαροὺς καὶ θὰ τοὺς κυβερνήσουν ἀπατεῶνες».

Ὅτι βέβαια ἀφαιρέθηκε ἡ προφητεία ἀπὸ τὴν Ἰουδαϊκὴ συναγωγή, δὲν μπορεῖ νὰ ἀμφιβάλει κανένας, ἀφοῦ τὸ διακηρύσσει τὸ ἴδιο τὸ πρᾶγμα. Οἱ μακάριοι δηλαδὴ προφῆτες κατὰ καιροὺς προανήγγελλαν τὸν Ἰησοῦ Χριστό, ὅταν ὅμως πραγματοποιήθηκε ἡ προαγγελία καὶ ἦρθε τὸ τέλος τοῦ νόμου καὶ τῶν προφητῶν (γιατί, σύμφωνα μὲ τὶς Γραφές, φανερώθηκε σὲ μᾶς ὁ Θεὸς καὶ Κύριος[62]), καὶ στὴ συνέχεια φέρθηκαν μὲ παραφροσύνη ἐναντίον του, σταμάτησε σ᾽ αὐτοὺς ἡ χάρη τῆς προφητείας. Γιατὶ δὲν ἦταν λογικό, ἐνῶ ἦταν θεομάχοι καὶ περιφρονητὲς κι ἔγιναν καὶ Κυριοκτόνοι κι εἶχαν τὰ χέρια τους γεμᾶτα αἵματα, νὰ τιμῶνται μὲ τὸ προφητικὸ πνεῦμα. Θὰ ἐπιβεβαιώσει βέβαια αὐτὰ καὶ ὁ μακάριος Δανιὴλ ποὺ λέγει ὅτι σφραγίσθηκε τὸ ὅραμα καὶ ὁ προφήτης[63]. Στερήθηκαν λοιπὸν οἱ Ἰσραηλίτες τὴ συμμετοχή τους στὸ τόσο λαμπρὸ καὶ ἐνδοξότατο χάρισμα, καὶ ἦταν ἀμαθεῖς καὶ ἄδειοι ἀπὸ ἀγαθὸ νοῦ, ὥστε νὰ μὴν ὑπάρχει ἀνάμεσά τους κανένας στοχαστής. Στοχαστὴ βέβαια λέμε ἐκεῖνον ποὺ κατὰ κάποιο τρόπο συγκρίνει καὶ συμπεραίνει ὀρθὰ γιὰ καθένα ἀπὸ τὰ πράγματα, καὶ γνωρίζει πολὺ καλὰ πότε θὰ ρθοῦν καὶ ποιὸ τέλος θὰ ἔχουν. Γιατὶ αὐτοὶ ποὺ προχωροῦν ἀπερίσκεπτα καὶ μὲ ἐλαφριὰ σκέψη σ᾽ αὐτὰ ποὺ πρέπει νὰ πραχθοῦν κάνουν λάθη στὰ χρήσιμα, καὶ σὰν νὰ βαδίζουν στὸ σκοτάδι, σκοντάφτουν στὶς πέτρες. Ὅσοι ὅμως διαθέτουν σκέψη ἀκριβῆ, βλέπουν μὲ ὀξυδέρκεια τὶς ἐκβάσεις τῶν πραγμάτων. Καὶ εἶναι

62. Λουκᾶ 1, 79. Τίτ. 2, 11.

63. Δαν. 9, 24.

σὶν οὐκ ἀθαύμαστοι, διὰ τοῦτο πάντα δρῶντες οἰκονομικῶς. Φρενὸς δὲ τοῦτο καρπὸς ἀγαθῆς καὶ ἀρίστης ὄντως ἐπίτευγμα βουλῆς.

Πρεσβύτερον δέ φαμεν οὐ τὸν κατὰ χρόνον (πλεῖστοι γὰρ ὅσοι παρὰ τοῖς Ἰουδαίοις εἰσέτι καὶ νῦν, οἳ καὶ εἰς ἄκρον ἥκουσι πρεσβυτικῆς ἡλικίας), ἀλλὰ τὸν κατὰ σύνεσιν καὶ ὡς ἐν τελειότητι γεγονότα φρενῶν. Οἷς καὶ ὁ μακάριος Ἰωάννης ἐπιστέλλει, λέγων· «Γράφω ὑμῖν, Πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπαρχῆς». Πρεσβύτας οὖν ἄρα νοήσωμεν τοὺς τὸν νοῦν ἔχοντας ἠρεμαῖον ἤδη καὶ καθεστηκότας καὶ πολιοὺς τὴν φρένα καὶ τῷ βεβηκότι χρῆσθαι μεμελετηκότας. Πεντηκόνταρχον δέ φησιν, οὐχὶ πάντως τὸν ἀνδρῶν πεντήκοντα προτεταγμένον, ἀλλ' ὡς ἐξ ἑνὸς δή τούτου πράγματος ἁπαξαπλῶς τὸν ἡγούμενον, καὶ ὡς ἐν κόσμῳ καὶ τάξει πολιτεύεσθαί τε διαζῆν ἀναπείθοντα τοὺς ὑπεζευγμένους. Νενόσηκε δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἡ τῶν Ἰουδαίων Συναγωγή. Ἔτι μὲν γὰρ συνόντος αὐτοῖς τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ καὶ καλοῦντος διὰ τῆς πίστεως εἰς ζωὴν αἰώνιον, εἰς οὐρανῶν βασιλείαν, εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεόν, ἦσαν ἔτι παρ' αὐτοῖς ἀρχιερεῖς καὶ ἡγούμενοι, Γραμματεῖς τε καὶ Φαρισαῖοι. Ἐπειδὴ δὲ ἀπεκτόνασιν αὐτὸν οἱ δείλαιοι, διεσπάρησαν εἰς πάντα ἄνεμον, μέτοικοί τε καὶ ἀλῆται γεγόνασιν καὶ ξένοι πανταχῇ, οὐχ ἡγουμένους ἔχοντες ἔτι καὶ προεστηκότας, καθὰ καὶ πάλαι, ἀλλ' οἷά τις ἀγέλη ποιμένων ἐρήμη καὶ τοὺς ἐφεστηκότας οὐκ ἔχουσα, καὶ τὸ ἔτι φορτικώτερον, οὔτε συμβούλους ἔχουσα θαυμαστούς, ὁποῖοί τινες ἦσαν οἱ πάλαι προφῆται, τὰ εἰς σωτηρίαν αὐτοῖς εἰσηγούμενοι καὶ ἀφηνιῶσι συμβουλεύοντες καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀναγκαίων εἰς ὄνησιν χειραγωγοῦντες εὐτέχνως.

Ἀπειλεῖ δὲ ἀποστήσειν αὐτῶν καὶ σοφὸν ἀρχιτέκτονα καὶ συνετὸν ἀκροατήν, χαρίσματα δὲ καὶ ταῦτα πνευματι-

ἄξιοι θαυμασμοῦ, ἐπειδὴ ὅλα τὰ πράττουν μὲ τὸν πρέποντα τρόπο. Αὐτὸ εἶναι καρπὸς ἀγαθῆς διάνοιας καὶ κατόρθωμα πραγματικὰ ἄριστου λογισμοῦ.

Πρεσβύτερο βέβαια λέμε ὄχι τὸν μεγαλύτερο ὡς πρὸς τὸ χρόνο (γιατὶ πάρα πολλοὶ Ἰουδαῖοι ἀκόμα καὶ τώρα φτάνουν στὸ ἔπακρο τῆς πρεσβυτικῆς ἡλικίας), ἀλλὰ τὸν πρεσβύτερο ὡς πρὸς τὴ σύνεση κι αὐτὸν ποὺ ἔφτασε στὴν τελειότητα τῆς διάνοιας, πρὸς τοὺς ὁποίους καὶ ὁ μακάριος Ἰωάννης γράφει σὲ ἐπιστολή του· «Σᾶς γράφω, Πατέρες, ἐπειδὴ γνωρίσατε αὐτὸν ποὺ ὑπάρχει ἀπὸ τὴν ἀρχή»[64]. Ἄρα λοιπὸν πρεσβύτες θὰ ἐννοήσομε αὐτοὺς ποὺ ἔχουν ἤδη ἤρεμο τὸ νοῦ, ποὺ ἔχουν καταστεῖ ὁλόλευκοι ὡς πρὸς τὸ νοῦ, καὶ γνωρίζουν ν' ἀντιμετωπίσουν αὐτὸ ποὺ ἔγινε. Πεντηκόνταρχο πάλι λέγει ὄχι ὁπωσδήποτε τὸν ἐπικεφαλῆς πενήντα ἀνδρῶν, ἀλλὰ ἐκεῖνον ποὺ σὰν ἀπὸ ἕνα τέτοιο πρᾶγμα εἶναι μιὰ γιὰ πάντα ἡγέτης, καὶ ποὺ πείθει τοὺς ὑπηκόους νὰ πολιτεύονται καὶ νὰ ζοῦν μὲ κοσμιότητα καὶ τάξη. Κυριεύθηκε βέβαια, μαζὶ μὲ τὶς ἄλλες, κι ἀπ' αὐτὴ τὴ νόσο ἡ Συναγωγὴ τῶν Ἰουδαίων. Γιατὶ δσο ἦταν μαζί της ἀκόμα ὁ Σωήρας ὅλων μας Χριστὸς καὶ καλοῦσε μέσω τῆς πίστεως σ' αὐτὸν σὲ ζωὴ αἰώνια, στὴ βασιλεία τῶν οὐρανῶν, καὶ στὴν οἰκειότητα πρὸς τὸν Θεό, ὑπῆρχαν σ' αὐτοὺς ἀρχιερεῖς καὶ ἡγέτες, Γραμματεῖς καὶ Φαρισαῖοι. Ὅταν ὅμως τὸν σκότωσαν οἱ ἄθλιοι, σκορπίσθηκαν σὲ κάθε ἄνεμο, ἔγιναν μέτοικοι καὶ περιπλανώμενοι καὶ ξένοι παντοῦ, μὴ ἔχοντας πιὰ ἀρχηγοὺς καὶ προϊσταμένους, ὅπως καὶ παλαιά, ἀλλὰ σὰν κοπάδι χωρὶς ποιμένες καὶ μὴ ἔχοντας ἀρχηγούς, καὶ τὸ ἀκόμα πιὸ βαρύ, μὴ ἔχοντας οὔτε θαυμαστοὺς συμβούλους, τέτοιους ὅπως ἦταν παλαιὰ οἱ προφῆτες, ποὺ εἰσηγοῦνταν τὰ μέσα τῆς σωτηρίας τους, καὶ τοὺς συμβούλευαν ὅταν ἔσπαζαν τὰ χαλινάρια τους, καὶ ποὺ τοὺς χειραγωγοῦσαν μὲ τὸν κατάλληλο τρόπο στὰ ὠφέλιμα.

Ἀπειλεῖ ὅμως ὅτι θὰ ἀφαιρέσει ἀπὸ αὐτοὺς καὶ τὸν σοφὸ ἀρχιτέκτονα, καὶ τὸν συνετὸ ἀκροατή, ποὺ καὶ αὐτὰ εἶναι χαρί-

64. Α΄ Ἰω. 2, 13.

κὰ καὶ θεόσδοτα καὶ τοῦ παντὸς ἄξια λόγου. Σοφὸν γὰρ εἶναί φαμεν ἀρχιτέκτονα τὸν εἰδότα νοητῶς Ἐκκλησίαν οἰκοδομεῖν ὀρθαῖς τε καὶ ἀμωμήτοις μυσταγωγίαις. καὶ καθαιροῦντα μὲν τῆς ψευδωνύμου γνώσεως τοὺς φενακισμούς, ἀνατειχίζοντα δὲ τοῖς τῆς ἀληθείας δόγμασι τῶν πιστευόντων τὸν νοῦν. Ὁποῖός τις ἦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλων καὶ λέγων· «Κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἐμοί, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω πῶς οἰκοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός». Οὐδεὶς οὖν ἄρα παρὰ τοῖς Ἰουδαίοις ὁ σοφὸς ἀρχιτέκτων, ἀλλ' οὐδὲ συνετὸς ἀκροατής, λογιζόμεθα δὲ εἶναι τοῦτον, τὸν ἔχοντα διακρίσεις πνευμάτων, καὶ συνιέναι δυνάμενος, τίς μέν ἐστιν ὁ ἐν πνεύματι Θεοῦ λαλῶν, τίς δὲ πάλιν ἐν τῷ Βεελζεβούλ. Πολλοὶ μὲν γὰρ οἱ παρὰ πολλῶν γεγόνασι λόγοι, καὶ δογματικὴν ἐξήγησιν ἔχοντες, καὶ τῆς ἐν τρόποις ἐπιεικείας τὴν μνήμην εἰσφέροντες. Ἀλλ' οἱ μὲν ἀσύνετοι καὶ ἀμαθεῖς ἀδιακρίτως ἁρπάζουσιν καὶ ἀβασανίστους εἰσδέχονται τοὺς λόγους, καίτοι τὸ ὠφελοῦν ἔχοντας οὐδέν, πολὺ δὲ μᾶλλον τὸ βλάβος ἐμποιεῖν εἰωθότας. Ὁ δὲ συνετὸς ἀκροατής, καθάπερ δόκιμος τραπεζίτης εἰσδέχεται μὲν τὸ πεφυκὸς ὠφελεῖν, κατακιβδηλεύει δὲ καθάπερ τι παράσημον νόμισμα τὸ μὴ οὕτως ἔχον. Τοιοῦτόν τι καὶ ὁ μακάριος Παῦλός φησι· «Γίνεσθε φρόνιμοι τραπεζῖται, πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε». Καὶ μὴν καὶ ἕτερος τῶν ἁγίων μαθητῶν συνῳδὰ τούτοις ἐπιτάττει λέγων· «Ἀδελφοί, δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν».

Τούτων δὴ οὖν ἁπάντων ἀφῃρημένων, ἐπιστήσω, φησί, νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. Νεανίσκους δὲ πάλιν οὐ κατά γε τὸν τῆς ἡλικίας

65. Α΄ Κορ. 3, 10-11.

σματα πνευματικὰ καὶ δοσμένα ἀπὸ τὸν Θεὸ καὶ πάρα πολὺ σημαντικά. Σοφὸς ἀρχιτέκτονας λέμε ὅτι εἶναι αὐτὸς ποὺ ξέρει νὰ οἰκοδομεῖ νοητὰ τὴν Ἐκκλησία μὲ ὀρθὲς καὶ ἄμεμπτες μυσταγωγίες, καὶ ἀπὸ τὴ μιὰ νὰ καταργεῖ τὶς ἀπάτες τῆς ψευδώνυμης γνώσης, καὶ ἀπὸ τὴν ἄλλη μὲ τὴ διδασκαλία τῆς ἀλήθειας νὰ ἀσφαλίζει τὸ νοῦ τῶν πιστῶν. Τέτοιος ἦταν ὁ θεσπέσιος Παῦλος ὁ ὁποῖος γράφει σὲ ἐπιστολή του· «Σύμφωνα μὲ τὸ χάρισμα ποὺ μοῦ δόθηκε σὰν ἀρχιτέκτονας σοφὸς ἔβαλα τὸν θεμέλιο λίθο, ἄλλος ὅμως εἶναι αὐτὸς ποὺ ἐποικοδομεῖ. Καθένας νὰ προσέχει πῶς οἰκοδομεῖ. Ἄλλο θεμέλιο δὲν μπορεῖ νὰ βάλει κανεὶς ἐκτὸς ἀπὸ αὐτὸ ποὺ ἔχει τεθεῖ, κι αὐτὸ εἶναι ὁ Χριστός»[65]. Ἄρα λοιπὸν κανένας σοφὸς ἀρχιτέκτονας δὲν ὑπάρχει ἀνάμεσα στοὺς Ἰουδαίους, ἀλλ᾽ οὔτε καὶ συνετὸς ἀκροατής, ποὺ σκεφτόμαστε ὅτι τέτοιος εἶναι αὐτὸς νὰ ἔχει διακρίσεις πνευμάτων καὶ μπορεῖ νὰ καταλάβει ποιὸς εἶναι αὐτὸς ποὺ μιλάει μὲ τὸ πνεῦμα τοῦ Θεοῦ, καὶ ποιὸς πάλι μὲ τὸν Βεελζεβούλ. Πολλοὶ βέβαια εἶναι οἱ λόγοι ποὺ ἔγιναν ἀπὸ πολλούς, ποὺ περιέχουν δογματικὴ ἐξήγηση καὶ κάνουν νὰ θυμόμαστε τὴν πραότητα στὴ συμπεριφορά. Ἀλλὰ οἱ ἀσύνετοι καὶ ἀμαθεῖς ἁρπάζουν χωρὶς διάκριση καὶ δέχονται ἀβασάνιστα τοὺς λόγους, μολονότι δὲν ἔχουν τίποτε τὸ ὠφέλιμο, ἀλλὰ μᾶλλον προκαλοῦν συνήθως πολλὴ ζημία. Ὁ συνετὸς ὅμως ἀκροατής, σὰν ἔμπειρος τραπεζίτης, δέχεται αὐτὸ ποὺ ἀπὸ τὴ φύση του εἶναι ὠφέλιμο, καὶ πετάει στὰ κίβδηλα, σὰν παρασημασμένο νόμισμα, αὐτὸ ποὺ δὲν εἶναι ὠφέλιμο. Κάτι παρόμοιο λέγει καὶ ὁ μακάριος Παῦλος· «Γίνεσθε συνετοὶ τραπεζίτες· νὰ τὰ δοκιμάζετε ὅλα, νὰ κρατεῖτε ὅμως τὸ καλὸ καὶ νὰ ἀπέχετε ἀπὸ κάθε εἶδος πονηροῦ»[66]. Ἀλλὰ καὶ κάποιος ἄλλος ἀπὸ τοὺς ἁγίους μαθητὲς δίνει συμβουλὲς σύμφωνες μὲ αὐτά· «Ἀδελφοί, νὰ ἐξετάζετε τὰ πνεύματα ἂν προέρχονται ἀπὸ τὸν Θεό».

Ἀφοῦ λοιπὸν ἀφαιρεθοῦν ἀπὸ αὐτοὺς ὅλα αὐτά, θὰ ἐπιβάλω, λέγει, σ᾽ αὐτοὺς νεαροὺς ἄρχοντες, καὶ θὰ τοὺς κυβερνήσουν χλευαστές. Νεαροὺς πάλι λέγει ἐδῶ ὄχι ὡς πρὸς τὸν χρόνο τῆς

66. Α΄ Θεσσ. 5, 21-22.

χρόνον ἐνθάδε φησίν, ἀλλὰ τοὺς οὔπω λαχόντας τὸ ἐν συνέσει τέλειον. Ἀφρονεῖ δὲ ἡ νεότης ἀεί, καὶ σεσάλευται πρὸς τὸ ἀπαθὲς καὶ τῆς ἀρίστης ἡττᾶται βουλῆς. Διατελοῦσι δὲ καὶ εἰς δεῦρο κατὰ τὸ ἀληθὲς τοιούτους ἔχοντες Ἰουδαῖοι τοὺς ἡγουμένους καὶ νεωτέρους τὴν ἐρημίαν. Ἐμπαῖκται δὲ καὶ ἑτέρως, ὠνούμενοι χρήμασι τὸ καλεῖσθαι Ῥαββί, καὶ φιλοκερδίας ἕνεκα καὶ λημμάτων συλλογῆς τὸ καθηγεῖσθαι λαχόντες. Ἀλλ' οἵγε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τὴν τῆς ὑποκρίσεως διωθούμενοι νόσον, ἀληθεῖς εἰσι προσκυνηταί, καὶ οὐ τοῖς ἔξωθεν ὡραϊσμοῖς πεπλανημένην [πεπλασμένην] ἔχουσι τῆς ἀρετῆς τὴν δόκησιν, ἀλλ' εἰς νοῦν ἔσω καὶ καρδίαν τὰ τῆς εἰς Θεὸν εὐσεβείας συνενεγκόντες αὐχήματα, περιπατοῦσι μὲν ἐπὶ γῆς, ἐν δὲ οὐρανοῖς πολιτεύονται, καθηγητὴν ἔχοντες αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν.

Στίχ. 5. «Καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ Προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον».

Προκαταμεμήνυκεν ἡμῖν ὁ λόγος, ὡς ἀφαιρεθήσεται τῆς Ἰουδαίας ἰσχὺς ἄρτου καὶ ἰσχὺς ὕδατος, γίγας τε καὶ ἰσχύων, πολεμιστὴς καὶ δικαστής, καὶ μὴν καὶ προφήτης καὶ στοχαστὴς καὶ πρεσβύτερος, καὶ πεντηκόνταρχος, καὶ θαυμαστὸς σύμβουλος, καὶ μὴν καὶ σοφὸς ἀρχιτέκτων καὶ συνετὸς ἀκροατής. Εἶτα ὅποι ποτὲ τὸ χρῆμα αὐτοῖς ἐκβήσεται, καὶ εἰς οἷον αὐτοῖς ἐκτελευτήσει βλάβος, καθίστησιν ἐναργὲς προσεπάγων εὐθύς, ὅτι «Συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον»· τοῦτ' ἔστιν ἐν ἀταξίᾳ τε ἔσονται, καὶ θορύβου μεστὸν διαζήσονται βίον. Οὐ τὴν σεπτὴν τοῦ πρεσβύτου πολιὰν αἰσχυνομένων νέων, οὐ τὸν προὔχοντα τιμᾶν ἀξιοῦντος ἔτι τοῦ τὴν ἐλάττω λαχόντος τάξιν· ἀλλ' ἐπιτιμῶντος οὐδενός, ἤγουν ἀπευθύνοντος εἰς τὸ ἑκάστῳ

ἡλικίας, ἀλλὰ ἐκείνους ποὺ δὲν ἀπέτυχαν ἀκόμα τὴν τέλεια σύνεση. Ἡ νεότητα φέρεται πάντοτε μὲ ἀφροσύνη, κλονίζεται στὴν προσπάθεια πρὸς τὴν ἀπάθεια, καὶ ἀποτυγχάνει στὴν ἄριστη σκέψη. Καὶ τώρα, γιὰ νὰ πῶ τὴν ἀλήθεια, ἔχουν οἱ Ἰουδαῖοι τέτοιους ἡγέτες, ποὺ εἶναι ἔρημοι ἀπὸ σύνεση. Καὶ ἀλλιῶς χλευαστὲς εἶναι ἐκεῖνοι ποὺ ἐξαγοράζουν μὲ χρήματα τὸν τίτλο τοῦ Ῥαββί, κι ἐπιδιώκουν τὴν ἡγεσία ἀπὸ ἀγάπη τοῦ κέρδους. Ἀλλὰ οἱ πιστοὶ τοῦ Σωτήρα μας Χριστοῦ, ἀπορρίπτοντας τὴ νόσο τῆς ὑποκρισίας, εἶναι ἀληθινοὶ προσκυνητὲς καὶ δὲν ἔχουν πλαστὴ ἐμφάνιση τῆς ἀρετῆς μὲ ἐξωτερικοὺς ἐξωραϊσμούς, ἀλλὰ ἔχοντας συγκεντρωμένα μέσα στὸ νοῦ καὶ στὴν καρδιά τους τὰ καυχήματα τῆς εὐσέβειας πρὸς τὸν Θεό, ζοῦν βέβαια στὴ γῆ, ἀλλὰ τὸ πολίτευμά τους βρίσκεται στὸν οὐρανό, ἔχοντας ὁδηγό τους τὸν ἴδιο τὸν Κύριό μας Ἰησοῦ Χριστό.

> Στίχ. 5. «Καὶ θὰ ξεσπάσει σύγκρουση στὸ λαό· θὰ ἐπιτεθεῖ ἄνθρωπος σὲ ἄνθρωπο καὶ ἄνθρωπος στὸν γείτονά του. Τὸ παιδὶ θὰ συγκρουσθεῖ μὲ τὸν γέροντα καὶ ὁ ἀνέντιμος μὲ τὸν ἔντιμο».

Μᾶς προαναγγειλε ὁ λόγος, ὅτι θὰ ἀφαιρεθεῖ ἀπὸ τὴν Ἰουδαία ἡ δύναμη τοῦ ἄρτου καὶ ἡ δύναμη τοῦ νεροῦ, ὁ γίγας καὶ ὁ ἰσχυρός, ὁ πολεμιστὴς καὶ δικαστής, ἀλλὰ καὶ προφήτης καὶ στοχαστὴς καὶ γέροντας καὶ πεντηκόνταρχος καὶ σύμβουλος θαυμαστός, καὶ βέβαια καὶ σοφὸς ἀρχιτέκτονας καὶ φρόνιμος ἀκροατής. Στὴ συνέχεια ποιὰ ἔκβαση θὰ ἔχει τὸ πρᾶγμα σ' αὐτοὺς καὶ σὲ ποιὰ βλάβη τους θὰ καταλήξει τὸ κάνει σαφὲς προσθέτοντας ἀμέσως· «Θὰ ξεσπάσει σύγκρουση στὸ λαὸ καὶ ὁ ἄνθρωπος θὰ ἐπιτεθεῖ σὲ ἄνθρωπο»· δηλαδὴ θὰ περιέλθουν σὲ ἀταξία καὶ ἡ ζωή τους θὰ γίνει γεμάτη ἀπὸ ταραχή. Οἱ νέοι δὲν θὰ σέβονται τὸν σεβάσμιο λευκομάλλη γέροντα, αὐτὸς ποὺ ἔλαχε νὰ βρίσκεται σὲ κατώτερη τάξη δὲν θὰ θεωρεῖ ἄξιο τὸν προύχοντα, ἀλλὰ ἐπειδὴ δὲν θὰ ἐπιτιμᾶ κανένας, δηλαδὴ δὲν θὰ κατευθύνει σ' αὐτὸ ποὺ πρέπει στὸν καθένα, θὰ γίνουν ὅλα ἄνω κάτω σ' αὐτοὺς καὶ

πρέπον, πάντα φύρδην ἔσται παρ' αὐτοῖς εὐταξίας ἁπάσης καὶ ἐπιστήμης ἐξῃρημένης. Ὅπου γὰρ θεῖος οὐκ ἐφέστηκε νόμος, τῶν πραχτέων ὁ βραβευτής, πῶς ἢ πόθεν ἂν γένοιτό τισι τὸ ἐν κόσμῳ δύνασθαι διαβιοῦν; Ὅμοιον γὰρ ὡς εἰ καί τις βούλοιτο ναῦν πηδαλίων τε ὅμου καὶ τοῦ κυβερνῶντος ἐρήμην, εὐθεῖ καὶ ἀδιαστρόφῳ φέρεσθαι δρόμῳ.

Στίχ. 6-7. «Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Καὶ ἀποκριθεὶς ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Οὐκ ἔσομαί σου ἀρχηγός, οὐ γὰρ ἔστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου».

Τῆς Ἰουδαίων ἀθλιότητος καὶ τῆς εἰς ἄκρον ταλαιπωρίας τὸ μέγεθος ὁ προφητικὸς ἡμῖν κατασημαίνει λόγος Ἐβασίλευον μὲν γὰρ κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ἡ ἐκ φυλῆς Ἰούδα, λαμπροί τε ἦσαν καὶ διαφανεῖς, καὶ πλούτῳ κομῶντες, καὶ ταῖς εἰς λῆξιν εὐκλείαις εὖ μάλα κατεστεμμένοι. Καθηγοῦντο δὲ καὶ ἑτέρως, οἱ ἐκ φυλῆς Λευΐ κατὰ τὴν τάξιν τὴν Ἀαρών. Προὔχοντος μὲν τοῦ ἀρχιερέως, λειτουργούντων δὲ πρεσβυτέρων καὶ Λευϊτῶν, σεπτοὶ δὲ ἦσαν καὶ οἱ τοιοίδε, τοῖς ἀνὰ πᾶσαν τῶν Ἰουδαίων τὴν χώραν. Ἐπειδὴ δὲ πεπράχασιν ἃ μὴ θέμις καὶ τῆς εἰς Χριστὸν δυσσεβείας οὐδεὶς ἦν αὐτοῖς ἀνεπιτήδευτος τρόπος, ἀπώλισθον μὲν τῆς ἀρχαίας ἐκείνης λαμπρότητος καὶ περιφανείας τῆς ἐν πλούτῳ καὶ δόξῃ, καθίκοντο δὲ χυδαιότητός τε καὶ εὐτελείας εἰς τοῦτο τὰ πράγματα αὐτοῖς, ὡς μηδένα παντελῶς τὸν ἡγούμενον ἔχειν ἐφ' ἑαυτοῖς δύνασθαι λαμπρὸν ἐν ὑπεροχῇ τῇ πάλαι, μήτε μὴν πλοῦτον ἔχοντα καὶ δυναστείαν, ἢ γνῶσιν τοῦ νόμου. Καὶ τοῦτο αὐτὸ διδάσκει, λέγων, ὅτι «Ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου πατρὸς αὐτοῦ λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω».

κάθε εὐταξία καὶ κοσμιότητα θὰ ἐκλείψει. Γιατὶ ὅπου δὲν ὑπάρχει ὁ θεῖος νόμος ποὺ ἐπιβραβεύει αὐτὰ ποὺ πρέπει νὰ πραχθοῦν, πῶς ἢ ἀπὸ ποιὸν θὰ μποροῦσε νὰ ἐπιτευχθεῖ ἡ δυνατότητα σὲ κάποιους νὰ ζοῦν μὲ κοσμιότητα; Εἶναι τὸ ἴδιο δηλαδὴ σὰ νὰ θέλει κάποιος χωρὶς πηδάλιο καὶ μαζὶ καὶ χωρὶς κυβερνήτη τὸ πλοῖο νὰ κατευθύνεται σὲ εὐθεῖα γραμμὴ καὶ χωρις ἐκτροπές.

Στίχ. 6-7. «Γιατὶ θὰ ἀπευθυνθεῖ ἄνθρωπος στὸν ἀδελφό του ἢ τὸν πατέρα του καὶ θὰ τοῦ πεῖ· Ἔχεις ἔνδυμα, γίνε ἀρχηγός μας καὶ ἡ διατροφή μας ἂς ἐξαρτᾶται ἀπὸ σένα. Κι αὐτὸς ἀπαντώντας θὰ πεῖ ἐκείνη τὴν ἡμέρα· Δὲν θὰ γίνω ἀρχηγός σου, γιατὶ δὲν ἔχω ἄρτο στὸ σπίτι οὔτε ἱμάτιο· δὲν θὰ γίνω ἀρχηγὸς τοῦ λαοῦ αὐτοῦ».

Ὁ προφητικὸς λόγος φανερώνει τὴν ἀθλιότητα τῶν Ἰουδαίων καὶ τὸ μέγεθος τῆς στὸ ἔπακρο ταλαιπωρίας τους. Βασίλευαν κατὰ καιροὺς στὰ Ἱεροσόλυμα βασιλεῖς ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, ποὺ ἦταν λαμπροὶ καὶ ἐπιφανεῖς, γεμᾶτοι ἀπὸ πλοῦτο καὶ στεφανωμένοι ἄριστα μὲ τὶς στὸ ἀποκορύφωμά τους τιμές. Ὑπῆρχαν καὶ ἄλλοι ἄρχοντες ἀπὸ τὴ φυλὴ τοῦ Λευὶ κατὰ τὴν τάξη τοῦ Ἀαρών. Προϊστάμενος βέβαια ἦταν ὁ ἀρχιερέας, ὑπηρετούμενος ἀπὸ πρεσβυτέρους καὶ Λευῖτες, καὶ ἦταν κι αὐτοὶ σεβαστοὶ στοὺς Ἰουδαίους ὅλης τῆς χώρας. Ἐπειδὴ ὅμως εἶχαν διαπράξει ἀνεπίτρεπτα πράγματα καὶ δὲν εἶχε μείνει ἀπὸ αὐτοὺς ἀχρησιμοποίητος κανένας τρόπος ἀσέβειάς τους πρὸς τὸν Χριστό, ξέπεσαν ἀπὸ ἐκείνη τὴν ἀρχαία λαμπρότητα καὶ περιφάνεια ποὺ προερχόταν ἀπὸ τὸν πλοῦτο καὶ τὴ δόξα, καὶ ἔφτασε ἡ κατάστασή τους σὲ τέτοιο βαθμὸ χυδαιότητας καὶ εὐτέλειας, ὥστε κανένας ἀπολύτως ἡγέτης τους δὲν μποροῦσε νὰ ἔχει τὴν προηγούμενη ὑπεροχὴ λαμπρότητας, οὔτε βέβαια πλοῦτο καὶ δύναμη ἢ γνώση τοῦ νόμου. Κι αὐτὸ ἀκριβῶς διδάσκει λέγοντας· «Θ' ἀπευθυνθεῖ ὁ ἄνθρωπος στὸν ἀδελφό του ἢ τὸν πατέρα του καὶ θὰ τοῦ πεῖ· Ἔχεις ἔνδυμα, γίνε ἀρχηγός μας, καὶ τὸ τί θὰ τρώγω ἂς εἶναι στὴ διάθεσή σου».

Συγκεχυμένων γὰρ τῶν πραγμάτων καὶ πολὺ παθόντων τὸ ἄτακτον, ὡς συμπίπτειν αὐτοὺς ἀλλήλοις καὶ μηδεμίαν εἶναι τιμὴν ἢ αἰδῶ, πρεσβύτου ἢ νέοις, ἦγουν ἀτίμοις ἢ ἐνδόξων, ἕκαστος ἐφ' ἑαυτῷ, φησί, ζητήσει ἡγούμενον, καὶ τοῦτον ἐκλέξεται τῇ κατὰ γένος ἀγχιστείᾳ μόλις ἐκδυσωπῶν καὶ καλῶν εἰς ἔλεον. Ἐκλέξεται δέ, φησίν, οὐχ ὡς ἔχοντα πλοῦτον, ἀλλ' ὡς οὐκ ὄντα γυμνόν, ἀγαπήσει τε ὑπ' αὐτοῦ τρέφεσθαι καὶ δουλεύειν πτωχῷ. Πλήν, εἰ καὶ ὁ τοιοῦτος, οὐχ ἁρπάσει τὴν ἡγεμονίαν, καίτοι μηδὲν αἰτούμενος παρὰ τῶν ὑποκεῖσθαι βεβουλευμένων. Ζητοῦσι γὰρ ἄρτον, ἵνα καὶ ὑποτάττοιντο καὶ τροφῆς εὐτελεστάτης ἀντιπροσάγοιεν αὐτῷ τὴν δουλείαν. Τίς οὖν ἡ παραίτησις; Πτωχεία που πάντως Ἐρεῖ γάρ, φησίν, «Οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου». Ὁρᾷς τὸ παντὸς πάλαι παρ' αὐτοῖς ἄξιον λόγου, τὸ καθηγεῖσθαί φημι τὸ πολλοῖς. Ἔσθ' ὅτε τεχνήμασι ζητούμενον καὶ προσγεγονὸς ὀλίγοις, προσκείσεται μὲν τοῖς θέλουσιν. Ἐπειδὴ δὲ ἐν δεινῇ καὶ ἀπράκτῳ πτωχείᾳ τὰ πάντων ἐστί, καὶ αὐτῷ γενήσεται φευκτόν. Ἔνεστι τοίνυν ἐξ αὐτῶν ἡμῖν τῶν πραγμάτων ἰδεῖν, ἐξ οἵων εἰς οἷα μετακεχώρηκε τὰ τῶν Ἰουδαίων. Προσκεκρούκασι γὰρ οἱ τάλανες τῷ Χριστῷ, τῷ πάντα ἡμῖν πλουσίως διανέμοντι τὰ ἀγαθά, καὶ στεφανοῦντι μὲν δόξῃ τοὺς ἀγαπῶντας αὐτόν, χαρίσμασι δὲ τοῖς πνευματικοῖς τὰς τῶν γνησίων ψυχὰς καταπλουτίζοντι.

Στίχ. 8. «Ὅτι ἀνεῖται ἡ Ἱερουσαλὴμ καὶ Ἰουδαία συμπέπτωκεν, καὶ ἡ γλῶσσα αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Θεὸν ἀπειθοῦντες».

Συμπεπτωκέναι φησὶ τὴν Ἰουδαίαν, καθάπερ ἀμέλει καὶ οἶκον ἕνα. Παθεῖν δὲ τοῦτο διϊσχυρίζεται διὰ ποίαν αἰτίαν; Τί δὲ καὶ ἀνεῖται; Τοῦτ' ἔστιν, ἠφήθη ἢ καταλέλειπται, φροντίδος ἀμέτοχος γενομένη τῆς παρὰ Χριστοῦ. Ἡ-

Ἐπειδὴ λοιπὸν τὰ πράγματα βρίσκονταν σὲ σύγχυση καὶ σὲ πολὺ μεγάλη ἀκαταστασία, ὥστε νὰ ἐπιτίθενται ὁ ἕνας στὸν ἄλλο καὶ νὰ μὴν ὑπάρχει καμμιὰ τιμὴ καὶ κανένας σεβασμὸς ἢ ἀπὸ νέους σὲ γέροντα ἢ ἀπὸ τοὺς κατώτερους σὲ ἀνώτερους, ὁ καθένας, λέγει, ἂς ζητήσει γιὰ τὸν ἑαυτό του ἄρχοντα κι ἂς τὸν ἐκλέξει ἀπὸ τοὺς συγγενεῖς μὲ πολλὲς παρακλήσεις καὶ ζητώντας τὴν εὐσπλαγχνία του. Καὶ θὰ τὸν ἐκλέξει, λέγει, ὄχι γιατὶ ἔχει πλούτη, ἀλλ' ἐπειδὴ δὲν εἶναι γυμνός, θὰ δεχθεῖ νὰ τρέφεται ἀπὸ αὐτὸν καὶ νὰ δουλεύει σὲ φτωχό. Ὅμως καὶ τέτοιος ἂν εἶναι, δὲν θὰ ἁρπάξει τὴν εὐκαιρία νὰ γίνει ἀρχηγός, μολονότι δὲν τοῦ ζητοῦν τίποτε αὐτοὶ ποὺ θέλησαν νὰ γίνουν ὑπήκοοί του. Γιατὶ ζητοῦν ἄρτο γιὰ νὰ γίνουν ὑπήκοοί του καὶ ἔναντι εὐτελέστατης τροφῆς τοῦ ἀντιπροσφέρουν τὴ δουλεία τους. Ποιὰ εἶναι λοιπὸν ἡ αἰτία τῆς ἄρνησής του; Ἡ φτώχεια του ὁπωσδήποτε. Γιατὶ θὰ πεῖ, λέγει, «Δὲν ἔχω στὸ σπίτι ἄρτο, οὔτε ἔνδυμα, δὲν θὰ γίνω ἀρχηγὸς τοῦ λαοῦ αὐτοῦ». Βλέπεις αὐτὸ ποὺ ἦταν ἀπὸ παλαιὰ τὸ πλέον ἀξιόλογο γι' αὐτούς, τὸ νὰ εἶναι δηλαδὴ κανεὶς ἀρχηγὸς πολλῶν, πολλὲς φορὲς ἐπιζητεῖται αὐτὸ τὸ πρᾶγμα μὲ τεχνάσματα καὶ ἀποκτᾶται ἀπὸ λίγους, ἀπὸ αὐτοὺς ποὺ τὸ θέλουν. Ἐπειδὴ ὅμως ὅλοι βρίσκονται σὲ δεινὴ καὶ ἀναπόφευκτη φτώχεια, θὰ τὸ ἀποφύγει καὶ αὐτός. Μποροῦμε λοιπὸν νὰ δοῦμε ἀπὸ τὰ ἴδια τὰ πράγματα ἀπὸ ποιὰ κατάσταση σὲ ποιὰ πέρασαν τὰ τῶν Ἰουδαίων. Γιατὶ ἦρθαν οἱ δύστυχοι σὲ σύγκρουση μὲ τὸν Χριστό, ποὺ διανέμει σ' ἐμᾶς πλούσια ὅλα τὰ ἀγαθὰ καὶ στεφανώνει μὲ δόξα αὐτοὺς ποὺ τὸν ἀγαποῦν καὶ καταπλουτίζει μὲ πνευματικὰ χαρίσματα τὶς ψυχές τους.

Στίχ. 8. «Γιατὶ θὰ ἐγκαταλειφθεῖ ἡ Ἱερουσαλὴμ καὶ ἡ Ἰουδαία θὰ περιπέσει στὴν ἴδια κατάσταση, ἐπειδὴ ἡ γλώσσα τους διατύπωσε παρανομίες χωρὶς ὑπακοὴ στὸν Θεό».

Λέγει ὅτι ἡ Ἰουδαία περιέπεσε στὴν ἴδια κατάσταση, σὰ νὰ ἦταν μιὰ οἰκογένεια. Κι αὐτὸ τὸ ἔπαθε, λέγει, γιὰ ποιὰ αἰτία; Ἀλλὰ καὶ τί σημαίνει «ἀνεῖται»; Δηλαδὴ ἀφέθηκε κι ἐγκαταλείφθηκε, βρέθηκε ἔξω ἀπὸ τὴ φροντίδα τοῦ Χριστοῦ. Γιατὶ τὸν

κουον γάρ λέγοντος ἐναργῶς· «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν». Πέπτωκε τοίνυν οὐκ ἔχουσα τὸν ἐγείροντα, καὶ σώζειν εἰδότα καὶ δυνάμενον Θεμέλιος μὲν γάρ ἐστιν ὁ Χριστὸς καὶ ἐπ' αὐτῷ πάντες ἐποικοδομούμεθα, λίθοι ζῶντες καὶ πνευματικοί, καὶ συναρμολογούμενοι καὶ συμβιβαζόμενοι νοητῶς εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι, καὶ ἐσμὲν ἐπ' αὐτῷ κείμενοι, καὶ ὑποβάθραν λαχόντες αὐτόν, ἀκλόνητον ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἵδρυσίν τε καὶ στάσιν, οἱ δὲ οὐκ ἔχοντες αὐτόν, σαθροί τε λίαν καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων εὐπαρακόμιστοι. Πέπτωκε τοιγαροῦν Ἰουδαία, ἀνεῖται δὲ καὶ Ἱερουσαλήμ. Τοῦτό τοι καὶ ἕτερος τῶν ἁγίων προφητῶν προανακεκράγει, λέγων· «Οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκ ἔσται ὁ ἀναστήσων αὐτόν». Συμβέβηκε δὲ τὰ τοιαῦτα παθεῖν αὐτούς, ὅτι πρὸς ταῖς ἀπειθείαις, δυσσεβῆ καὶ ἀνομωτάτην ἐσχήκασι γλῶσσαν. Τί γάρ ἐστι τῶν αἰσχρῶν, ὃ μὴ εἰρηκότας αὐτοὺς εὑρήσομεν κατά γε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ; Σαμαρίτην καὶ δαιμονιῶντα, καὶ μὴν καὶ φάγον καὶ οἰνοπότην ὠνόμαζον, καὶ ἐκ πορνείας γεγενημένον. Οὐκοῦν μετὰ τῆς ἀπειθείας διατετέλεκεν ἡ γλῶσσα αὐτῶν δυσσεβοῦσα εἰς Χριστόν. Φαίη δ' ἄν τις καὶ ἐπ' αὐτοῖς· «Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά, ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή».

Στίχ. 9. «Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς, τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν».

Τῆς Ἰουδαίων ταπεινώσεως τὸν καιρὸν κατασημαίνει, καί φησιν· «Νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν», πληροφορῶν, ὅτι κατ' ἐκεῖνο μάλιστα τοῦ καιροῦ, καθ' ὃν ἡ γλῶσσα αὐ-

67. Ματθ. 23,38. 68. Ἀμὼς 5,1.

ἄκουαν νὰ λέγει ὁλοκάθαρα «Νά, ἐγκαταλείπεται ὁ οἶκος σας»[67]. Ἔπεσε λοιπὸν χωρὶς νὰ ἔχει ἐκεῖνον ποὺ θὰ τὴ σηκώσει, καὶ ποὺ γνωρίζει καὶ μπορεῖ νὰ σώζει. Γιατὶ θεμελιόπετρα εἶναι ὁ Χριστὸς καὶ ἐπάνω σ' αὐτὸν οἰκοδομοῦμε ὅλοι, πέτρες ζωντανὲς καὶ πνευματικές, ποὺ συναρμολογούμαστε καὶ συνταιριαζόμαστε νοητὰ σὲ ναὸ ἅγιο, σὲ κατοικητήριο τοῦ Θεοῦ, μὲ τὴ χάρη τοῦ Πνεύματος, καὶ εἴμαστε τοποθετημένοι ἐπάνω σ' αὐτόν, καὶ ἔχοντας αὐτὸν ὑπόβαθρο, ἔχουν ἀκλόνητη τὴν ἑδραίωση καὶ τὴ σταθερότητα σὲ ὅλα τὰ ἀγαθά. Ἀντίθετα αὐτοὶ ποὺ δὲν τὸν ἔχουν θεμέλιο, εἶναι πολὺ σαθροὶ καὶ παρασύρονται εὔκολα σὲ κάθετι παράλογο. Ἔπεσε λοιπὸν ἡ Ἰουδαία καὶ ἐγκαταλείφθηκε ἡ Ἱερουσαλήμ. Αὐτὸ βέβαια τὸ διακηρύξει προηγουμένως κι ἄλλος ἀπὸ τοὺς ἁγίους προφῆτες, λέγοντας· «Ἔπεσε ὁ οἶκος τοῦ Ἰσραήλ, δὲν θὰ ὑπάρξει ἐκεῖνος ποὺ θὰ τὸν σηκώσει»[68]. Ὅλα αὐτὰ βέβαια τὰ ἔπαθαν, ἐπειδή, ἐκτὸς ἀπὸ τὴν ἀνυπακοή, εἶχαν ἀσεβῆ καὶ παρανομότατη γλώσσα. Ποιὸ δηλαδὴ αἰσχρὸ ὑπάρχει ποὺ θὰ βροῦμε ὅτι δὲν τὸ ξεστόμισαν ἐναντίον τοῦ Σωτήρα ὅλων μας Χριστοῦ; Τὸν ἀποκαλοῦσαν Σαμαρείτη καὶ δαιμονισμένο, ἀλλὰ καὶ φαγᾶ καὶ οἰνοπότη καὶ ὅτι εἶχε γεννηθεῖ ἀπὸ πορνεία. Ἄρα λοιπὸν μαζὶ μὲ τὴν ἀνυπακοὴ ἡ γλώσσα τους ἔδειχνε συνεχῶς ἀσέβεια στὸν Χριστό. Θὰ μποροῦσε νὰ πεῖ κανεὶς καὶ γι' αὐτούς· «Δὲν στήνονται ἄσκοπα τὰ δίχτυα στὰ πουλιά. Γιατὶ αὐτοὶ οἱ ἴδιοι ποὺ μετέχουν στοὺς φόνους, θησαυρίζουν γιὰ τὸν ἑαυτό τους δεινά, καὶ ἡ καταστροφὴ τῶν παρανόμων ἀνδρῶν θὰ εἶναι φοβερή»[69].

Στίχ. 9. «Γιατὶ τώρα ταπεινώθηκε ἡ δόξα τους καὶ ἡ ντροπὴ τοῦ προσώπου τους γίνεται κατήγορος εἰς βάρος τους. Διαλάλησαν καὶ παρουσίασαν τὴν ἁμαρτία τους ὡς ἁμαρτία τῶν Σοδόμων».

Δηλώνει τὸν καιρὸ τῆς ταπείνωσης τῶν Ἰουδαίων καὶ λέγει· «Τώρα ταπεινώθηκε ἡ δόξα τους», διαβεβαιώνοντας ὅτι κυρίως ἐκεῖνο τὸν καιρό, κατὰ τὸν ὁποῖο ἡ γλώσσα τους ἔδειξε παρανο-

69. Παροιμ. 1, 17-18.

τῶν μετὰ ἀνομίας δεδυσσέβηκεν εἰς Χριστόν, τότε καὶ πᾶν εἶδος αὐτοῖς ἐπενήνεκται ταλαιπωρίας καὶ πεπτώκασιν εἰς τὸ δυσκλεές. Τίνα δὲ τρόπον ἡ γλῶσσα αὐτῶν δεδυσσέβηκε μετὰ ἀπειθείας, αὐτὸς ἡμῖν ὁ προφήτης διατρανοῖ, παρεὶς μὲν τὰ ἕτερα, διαμνημονεύσας δὲ μόνης τῆς τελευταίας αὐτῶν δυσσεβείας Ἦσαν μὲν γὰρ ἀεὶ διάφοροι τῷ Χριστῷ, καὶ τοῖς τοῦ φθόνου βέλεσι τετρωμένοι, κατὰ πολλοὺς ἐπεβούλευον τρόπους, ἐπειδὴ δὲ Πιλάτῳ προσήγαγον, τότε δὴ μάλιστα τὴν ἑαυτῶν ἁμαρτίαν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. Ὥσπερ γὰρ οἱ τῶν Σοδόμων οἰκήτορες, τὸ ἀκρατὲς εἰς ὀρέξεις νενοσηκότες ἀγρίως καὶ ταῖς παρὰ φύσιν ἡδοναῖς ἡττημένοι, κατεπεφύοντο τοῦ μακαρίου Λὼτ, αἰτοῦντες τοὺς ἄνδρας τοὺς εἰσπεπορευμένους πρὸς αὐτὸν εἰς κατάχρησιν, αἰδοῦς τε ἁπάσης αὐτοῖς πεπατημένης καὶ ἀθραύστου λοιπὸν κρατούσης ἀναισχυντίας, τὸν αὐτόν, οἶμαι, τρόπον καὶ Ἰουδαῖοι τὴν ἀνομίαν αὐτῶν ἀνήγγειλαν κατακεκραγότες τε καὶ λέγοντες τῷ Πιλάτῳ περὶ Χριστοῦ· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν». Ταύτην αὐτῶν κατητιᾶτο φωνὴν καὶ δι' ἑνὸς τῶν προφητῶν, λέγων· «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, δέδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν».

Στίχ. 9-11. «Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβουλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ».

Ταλανίζει καὶ νῦν ὁ προφήτης τῶν Ἰουδαίων τοὺς δήμους, καὶ τῶν ἐπ' αὐτοῖς ὀδυρμῶν ἀποδίδωσι τὰς αἰτίας. Εἶπον γάρ, φησίν, ἐν ἑαυτοῖς· «Δήσωμεν τὸν δίκαιον, ὅτι δύσ-

μία καὶ ἀσέβεια στὸν Χριστό, τότε τοὺς βρῆκε κάθε εἴδους ταλαιπωρία καὶ ἔπσαν στὴν ταπείνωση. Μὲ ποιὸ τρόπον ὅμως ἔσβησε ἡ γλώσσα τους καὶ δὲν ὑπάκουσε, μᾶς τὸ διασαφηνίζει ὁ ἴδιος ὁ προφήτης ἀφήνοντας τὰ ἄλλα καὶ μνημονεύοντας μόνο τὴν τελευταία τους δυσσέβεια. Ἦταν βέβαια πάντοτε ἐχθρικοὶ πρὸς τὸν Χριστὸ καὶ πληγωμένοι ἀπὸ τὰ βέλη τοῦ φθόνου ἐπιδίωκαν νὰ τὸν βλάψουν μὲ πολλοὺς τρόπους. Ὅταν ὅμως τὸν ὁδήγησαν στὸν Πιλάτο, τότε πρὸ πάντων διαλάλησαν καὶ ἔδειξαν τὴν ἁμαρτία τους παρόμοια μὲ τὴν τῶν Σοδόμων. Γιατί, ὅπως οἱ κάτοικοι τῶν Σοδόμων ἀφοῦ κυριεύθηκαν βαριὰ ἀπὸ τὴ νόσο τῆς ἀκράτειας στὶς ὀρέξεις τους καὶ νικημένοι ἀπὸ τὶς παραφύση ἡδονὲς ἔτρεξαν στὸ μακάριο Λὼτ ζητώντας νὰ τοὺς παραδώσει ἐκείνους ποὺ μετέβαιναν σ᾽ αὐτόν, ποδοπατώντας κάθε ντροπὴ καὶ διατηρώντας ἀλύγιστη μόνο τὴν ἀδιαντροπιά τους, κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ Ἰουδαῖοι, νομίζω, διαλάλησαν τὴν ἀνομία τους κατακραυγάζοντας πρὸς τὸν Πιλάτο γιὰ τὸν Χριστό· «Πάρε τον, πάρε τον καὶ σταύρωσέ τον»[70]. Γι᾽ αὐτὰ τά λεγόμενά τους τοὺς κατηγοροῦσε καὶ μέσω ἑνὸς ἀπὸ τοὺς προφῆτες, λέγοντας· «Ἐγκατέλειψα τὸν οἶκο μου, ἄφησα τὴν κληρονομία μου, παρέδωσα τὴν ἀγαπημένη ψυχή μου στὰ χέρια τῶν ἐχθρῶν, καὶ ἡ κληρονομιά μου μοῦ ἔγινε σὰν λιοντάρι μέσα στὸ δάσος καὶ ὕψωσε φωνὴ ἐναντίον μου· γι᾽ αὐτὸ τὴ μίσησα»[71].

> Στίχ. 9-11. «Ἀλλοίμονο σ᾽ αὐτούς, γιατὶ ἔλαβαν ἀπόφαση κακὴ καὶ εἰς βάρος τους, λέγοντας· Ἂς δέσομε τὸν δίκαιο, γιατὶ εἶναι δύσχρηστος γιὰ μᾶς. Γι᾽ αὐτὸ θὰ γευθοῦν τοὺς καρποὺς τῶν ἔργων τους. Ἀλλοίμονο στὸν παράνομο· θὰ τοῦ συμβοῦν κακὰ σύμφωνα μὲ τὰ ἔργα τῶν χεριῶν του».

Ἐλεηνολογεῖ καὶ τώρα ὁ προφήτης τὰ πλήθη τῶν Ἰουδαίων καὶ ἀποδίδει στοὺς ἴδιους τὶς αἰτίες τῶν θρήνων τους. Γιατὶ λέγει, σκέφτηκαν καὶ εἶπαν· «Ἂς δέσομε τὸν δίκαιο, γιατὶ εἶναι δύσ-

70. Ἰω. 19, 15.
71. Ἱερ. 12, 7-8.

ρηστος ἡμῖν ἐστιν». Οὐ γὰρ παρεδέχοντο διὰ τῆς πίστεως τὸν τῶν ὅλων Σωτῆρα Χριστόν, ἀτιμάζοντες δὲ διατετελέκασιν, ᾧοντό τε κατὰ τὸ ἀληθές, ὅτι κατ' οὐδένα τρόπον χρήσιμον ἔσεσθαι τῷ βίῳ τὸν ἀφιγμένον εἰς τοῦτο, ἵνα πάντα ἐν αὐτῷ καινὰ τὰ καθ' ἡμᾶς γένηται, καὶ ἐκ νομικῆς πολιτείας μεταστήσει εἰς πνευματικὴν τοὺς ἐξ αἵματος Ἰσραήλ. Οὐκοῦν κατ' οὐδὲν ἔσεσθαι χρήσιμον ὑπειληφότες αὐτὸν ἔδησαν τῷ θανάτῳ, τό γε ἦκον εἰς αὐτούς, εἰ καὶ ἀνεβίω πάλιν ὡς Θεὸς κενώσας τὸν ᾅδην καὶ τὸ τῆς φθορᾶς κατα-
10 λύσας κράτος Ζωὴ γάρ ἐστι καὶ ζωοποιός. Πλὴν κατ' αὐτῶν ἐβουλεύοντο δῆσαι θέλοντες τὸν δίκαιον· «φάγονται δὲ καὶ τὰ γεννήματα τῶν ἔργων αὐτῶν». «Ὃ γὰρ ἐάν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει». Καὶ οἱ μὲν τοὺς τρόπους ἐπιεικεῖς καὶ φιλόθεον ἔχοντες γνώμην, ἀγαθοὺς ἐντεῦθεν
15 εὑρήσουσι τοὺς καρπούς, οἱ δὲ ἀπονεύοντες καὶ ἀπειθεῖς καὶ τῇ θείᾳ δόξῃ μαχόμενοι, φάγονται τὰ γεννήματα τῶν ἔργων αὐτῶν, τοῦτ' ἔστι πῦρ καὶ δίκην καὶ κόλασιν καὶ τὰ ἐξ ὀργῆς συμβαίνοντα. Ἕψεται γὰρ πάντως τὰ τοιάδε τῶν κακῶν τοῖς θεομαχεῖν ᾑρημένοις. Ἀληθὲς οὖν ὅτι, «Οὐαὶ
20 τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ»· ὥσπερ γὰρ προσεκόμισαν Πιλάτῳ τὸν Ἰησοῦν καὶ ταῖς τῶν στρατιωτῶν ἀτιθάσσοις ὀργαῖς, οὕτω καὶ αὐτοὶ παραδοθήσονται, φησί, ταῖς Ῥωμαίων στρατιαῖς. Καὶ δὴ τοῦτο λέγοντα σαφῶς καὶ διὰ φωνῆς Ἰεζεχιὴλ
25 εὑρήσομεν. Εἴρηται γὰρ πρὸς τὴν ἀνοσίαν καὶ κυριοκτόνον Ἱερουσαλήμ· «Καθὼς ἐποίησας, οὕτως ἔσται σοι. Τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου».

---

72. Γαλ. 6,7.

χρηστος γιὰ μᾶς». Δὲν ἀποδέχονταν δηλαδὴ μέσω τῆς πίστεως τὸν Σωτήρα τῶν ὅλων Χριστό, ἀλλὰ συνέχιζαν ἀδιάκοπα τὴν περιφρόνησή τους, καὶ πίστευαν πραγματικά, ὅτι δὲν θὰ γινόταν μὲ κανένα τρόπο χρήσιμος στὴ ζωή τους αὐτὸς ποὺ γι᾽ αὐτὸ ἀκριβῶς ἦρθε, γιὰ νὰ γίνουν μὲ αὐτὸν καινούργια τὰ σχετικὰ μὲ μᾶς, καὶ νὰ μεταφέρει τοὺς ἐξ αἵματος Ἰσραηλίτες ἀπὸ τὴ νομικὴ πολιτεία στὴν πνευματική. Ἐπειδὴ λοιπὸν ὑπέθεσαν ὅτι δὲν θὰ τοὺς ἦταν ὠφέλιμος σὲ τίποτα, τὸν ἔδεσαν μὲ τὸ θάνατο, ὅσο τοὺς ἦταν δυνατό, ἂν καὶ ἀναστήθηκε πάλι ὡς Θεὸς ἀδειάζοντας τὸν ἅδη καὶ καταλύοντας τὸ κράτος τῆς φθορᾶς. Γιατί εἶναι ζωὴ καὶ ζωοποιός. Πλὴν ὅμως ἔλαβαν ἀποφάσεις ἐναντίον τοῦ ἑαυτοῦ τους θέλοντας νὰ δέσουν τὸν δίκαιο, καὶ θὰ γευθοῦν τοὺς καρποὺς τῶν ἔργων τους. Γιατὶ λέγει· «Αὐτὸ ποὺ θὰ σπείρει ὁ ἄνθρωπος, αὐτὸ καὶ θὰ θερίσει»[72]. Καὶ αὐτοὶ βέβαια ποὺ ἔχουν τρόπους ἀγαθοὺς καὶ εἶναι φίλοι τοῦ Θεοῦ, θὰ βροῦν ἐξαιτίας αὐτοῦ τοὺς καρποὺς ὠφέλιμους, ὅσοι ὅμως ἀντιστέκονται καὶ δὲν ὑπακούουν καὶ πολεμοῦν τὴ θεία δόξα, θὰ φᾶνε τοὺς καρποὺς τῶν ἔργων τους, δηλαδὴ φωτιὰ καὶ τιμωρία καὶ βασανιστήρια καὶ ὅσα προξενοῦνται ἀπὸ τὴν ὀργή. Γιατὶ τέτοια δεινὰ ὁπωσδήποτε θὰ ἀκολουθήσουν ἐκείνους ποὺ θέλουν νὰ πολεμοῦν τὸν Θεό. Εἶναι λοιπὸν ἀλήθεια ὁ λόγος, «Ἀλλοίμονο στὸν παράνομο, θὰ τοῦ συμβοῦν κακὰ πράγματα σύμφωνα μὲ τὰ ἔργα τῶν χεριῶν του. Ὅπως δηλαδὴ ὁδήγησαν τὸν Ἰησοῦ στὸν Πιλάτο καὶ στὸ ἄγριο πάθος τῆς ὀργῆς τῶν στρατιωτῶν, ἔτσι κι αὐτοί, λέγει, θὰ παραδοθοῦν στοὺς στρατιῶτες τῶν Ρωμαίων. Αὐτὸ βέβαια θὰ βροῦμε νὰ τὸ λέγει μὲ σαφήνεια καὶ μέσω τοῦ στόματος τοῦ Ἰεζεκιήλ[73]. Γιατὶ ἔχει λεχθεῖ πρὸς τὴν ἀνίερη Ἱερουσαλὴμ ποὺ σκότωσε τὸν Κύριο· «Κατὰ τὸν τρόπο ποὺ τὰ ἔκανες αὐτά, κατὰ τὸν ἴδιο θὰ τὰ πάθεις. Τὸ κακὸ ποὺ ἔκανες, θὰ λάβεις τὴν ἀνταμοιβὴ στὸ κεφάλι σου»[74].

---

73. Πρόκειται ὄχι γιὰ τὸν προφήτη Ἰεζεκιήλ, ἀλλὰ γιὰ τὸν Ὀβδιοῦ.
74. Ὀβδιοῦ 1, 15.

ΚΕΦ. 3, στίχ. 12. «Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν».

Ὅτι παντὸς ἀγαθοῦ νοσήσει τὴν ἐρημίαν ἡ τῶν Ἰουδαίων χώρα, διαφανέστατα καὶ μάλα σαφῶς προεξηγησάμενος, καὶ τὸ τί συμβήσεται τοῖς εἰς Χριστὸν πεπαροφνηκόσιν διειπών, προαναπείθει πάλιν ἀποσχέσθαι τῶν πλημμελημάτων, καὶ τοῖς ἐξ ἡμερότητος λόγοις μονονουχὶ κατα-
γοητεύει χρησίμως, μεθιστὰς ἐπὶ τὸ ἄμεινον, καὶ τοὺς ἁπάντων αὐτοῖς κακῶν γεγονότας αἰτίους παραιτεῖσθαι διδάσκων. Οὐ γὰρ οἶμαι δεῖν τοῖς καθηγεῖσθαι λαχοῦσιν ὑποκεῖσθαι φιλεῖν, κἂν εἰ μή τι τῶν ὅσα ἐστὶ τελούντων πρὸς ὄνησιν ἐπιχειρῶσι διδάσκειν, μήτε μὴν ...(ἐθέλ)οιεν διαβολῆς ἀξιοῦν τὸ ἐν μοίρᾳ τετάχθαι φαυλότητος δικαίως ἂν εἶναι πεπιστευμένον. Ἀρετὴ γὰρ διδασκάλου τὸ ἀποκομίζειν δύνασθαι πρὸς ἀκριβῆ τοῦ συμφέροντος εἴδησιν τοὺς παιδαγωγουμένους, κατακιβδηλεύειν δὲ τὸ κατασίνεσθαι πεφυκὸς καὶ παραιτεῖσθαι κελεύειν τὸ ἀδικεῖν εἰωθός. Ἐπαίνου δ' ἂν εἶεν ἄξιοι παντὸς καὶ οἱ τελοῦντες ἐν μαθηταῖς, εἰ μὴ ταῖς δόξαις τῶν διδασκόντων ἐνορῷεν ἁπλῶς, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει, καὶ θαυμάζουσι μὲν τοὺς διδάσκοντας, εἴπερ τινὲς εἶεν ὀρθοὶ καὶ ἐπιστήμονες καὶ τῶν ἀρίστων εἰσηγηταί, καταψέγωσι δὲ τοὺς οἵσπερ ἂν εἴη μὴ τοιοῦτος ὁ σκοπός. Κατανέμουσι μὲν γάρ τινες ἐν ὄρεσι καὶ νάπαις τὰς οἰῶν ἀγέλας, ἀλλ' εἰ παρακέοιτο τοῖς θρέμ-

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΚΕΦ. 3, στίχ. 12. «Λαέ μου, οἱ εἰσπράκτορές σου σοῦ παίρνουν ἀκόμα καὶ τὰ σταχιολογήματα, καὶ αὐτοὶ ποὺ τὰ ἀπαιτοῦν γίνονται ἐξουσιαστές σας».

Ὅτι ἡ χώρα τῶν Ἰουδαίων θὰ ταλαιπωρηθεῖ ἀπὸ τὴν ἔλλειψη κάθε ἀγαθοῦ, ἀφοῦ τὸ ἐξήγησε προηγουμένως μὲ κάθε καθαρότητα καὶ μὲ πολλὴ σαφήνεια, κι ἀφοῦ προεῖπε καὶ τὸ τί θὰ συμβεῖ σ' αὐτοὺς ποὺ φέρθηκαν μὲ παραφροσύνη κατὰ τοῦ Χριστοῦ, προσπαθεῖ νὰ τοὺς πείσει πάλι νὰ παύσουν τὶς παρανομίες καὶ μὲ τὰ ἥμερα λόγια του τοὺς καταγοητεύει κατὰ κάποιο τρόπο πρὸς ὄφελός τους, μεταθέτοντάς τους πρὸς τὸ καλύτερο καὶ διδάσκοντας νὰ ἀποφεύγουν ἐκείνους ποὺ τοὺς ἔγιναν αἴτιοι τῶν συμφορῶν. Γιατὶ δὲν πρέπει, νομίζω, ἐμεῖς νὰ ἐπιθυμοῦμε νὰ ὑποκύπτομε σὲ ἐκείνους ποὺ ἔλαχε νὰ ἔχουν τὴν ἐξουσία, κι ὅταν ἀκόμα δὲν ἐπιχειροῦν νὰ διδάσκουν κάτι ἀπὸ ὅσα ὠφελοῦν, οὔτε βέβαια θέλουν νὰ θεωροῦν κατηγορία αὐτὸ ποὺ δίκαια πιστεύεται ὅτι ἔχει ταχθεῖ στὴ μοῖρα τῆς φαυλότητας. Γιατὶ ἀρετὴ τοῦ δασκάλου εἶναι τὸ νὰ μπορεῖ νὰ ὁδηγεῖ ἐκείνους ποὺ παιδαγωγεῖ στὴν ἀκριβῆ γνώση τοῦ συμφέροντος καὶ νὰ δείχνει κίβδηλο ἐκεῖνο ποὺ ἀπὸ τὴ φύση του εἶναι βλαβερότατο καὶ νὰ συμβουλεύει ν' ἀποφεύγουν αὐτὸ ποὺ ἀδικεῖ. Ἄξια ὅμως γιὰ κάθε ἔπαινο εἶναι καὶ ὅσοι χρηματίζουν μαθητές, ἂν δὲν προσέχουν ἁπλῶς τὶς γνῶμες τῶν δασκάλων, ἀλλὰ τὴ φύση τῶν πραγμάτων, καὶ θαυμάζουν βέβαια τοὺς διδασκάλους, ἂν κάποιοι ἀπὸ αὐτοὺς εἶναι σωστοὶ καὶ γνῶστες καὶ εἰσηγητὲς τῶν ἄριστων, καταψέγουν ὅμως ἐκείνους ποὺ δὲν ἔχουν αὐτὸ τὸ σκοπό. Γιατὶ βόσκουν κάποιοι σὲ βουνὰ καὶ κοιλάδες τὰ κοπάδια τῶν προβάτων τους,

μασι βόθρος, ἤγουν ὀρῶν ὁ κρημνός, περιφοιτᾷ τὰ πρόβατα, καὶ οὐ καθίησιν ἑαυτὰ πρὸς θάνατον· παιδαγωγεῖται γὰρ ὥσπερ δι' ἐμφύτου νόμου, πρὸς τὸ χρῆναι τῆς ἑαυτῶν φείδεσθαι ζωῆς. Εἶτα πῶς οὐκ ἄτοπον, εἰ μὲν τοῖς ἀλόγοις ζώοις τοῦτο φαίνεσθαι κρατοῦν, ἐν δὲ ἡμῖν αὐτοῖς, καίτοι λογικοῖς ὑπάρχουσι, τὴν τοῦ χρησίμου καὶ ἀναγκαίου πρὸς ζωὴν οὐκ εἶναι γνῶσιν;

Χρὴ τοιγαροῦν, κἂν εἴ τινες ἡμᾶς τῶν εἰς διδασκάλους καὶ καθηγητὰς τεταγμένων ἐφ' ἃ μὴ προσῆκεν ἀποκομίζειν ἔλοιντο, μὴ ἁπλῶς ἀνέχεσθαι φιλεῖν, μηδὲ μὴν ἀκαταισκέπτως ἔπεσθαι πρὸς τὸ αὐτοῖς δοκοῦν, ἀλλὰ δοκιμάζειν ἕκαστα τῶν πρακτέων, ο(ὕτω τε) χωρεῖν ἐπὶ τὸ ὅτι μάλιστα τῶν ὠφελεῖν εἰωθότων. [5]Ἦσαν τοίνυν οἱ τῶν Ἰουδαίων καθηγηταί, τοῦτ' ἔστιν οἱ Γραμματεῖς τε καὶ οἱ Φαρισαῖοι, δεινοὶ πρὸς τὸ χρῆναι τοὺς τῶν χρημάτων ἐρανίζεσθαι πορισμοὺς καὶ τὰς ἐκ τῶν λαῶν συγκομίζειν δωροφορίας, ἀπαρχάς, δεκάτας, καὶ ὅσα τοῖς ἱερᾶσθαι λαχοῦσιν ὁ νόμος εἰς κλῆρον ἐδίδου. Σκοπὸς δὲ ἦν αὐτοῖς καὶ διὰ πάσης τέθειτο σπουδῆς, τὸ ἀναπείθειν τοὺς τὸ χρῆναι φυλάττειν ἔν γε δὴ τούτοις μάλιστα τὸν νόμον· τῶν γε μὴν ἑτέρων ἐντολῶν οὐ πολὺς ἦν ἄγαν παρ' αὐτοῖς ὁ λόγος. Ταύτῃ τοι πρὸς αὐτοὺς καὶ αὐτὸς ἔφασκεν ὁ Σωτήρ· «Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἄνηθον καὶ τὸ ἡδύοσμον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸ ἔλεος καὶ τὴν πίστιν».

[5]Ἦσαν οὖν ἄρα φιλοκερδεῖς καὶ ἐρασιχρήματοι, καὶ πικρὰς ἔσθ' ὅτε τοῖς πταίουσιν ἐπῆγον τὰς δίκας, ἵνα, ἐκδειματοῦντες τοὺς ἐφ' ὁτῳοῦν ἐγκαλουμένους, προσάγειν αὐτοῖς ἀναπείθωσιν καὶ τὰ ὑπὲρ δύναμιν ἔσθ' ὅτε. Ταύτῃ τοί φησι πρὸς τοὺς παρ' αὐτῶν ἀδικουμένους· «Λαός μου, οἱ

75. Στὸ κείμενο ὑπάρχει χάσμα· συμπληρώνομε τὰ ἐντὸς παρενθέσεως.

ἀλλὰ ἂν ὑπάρχει κοντὰ στὰ ζωντανὰ βόθρος ἢ βαθειὰ χαράδρα, προσέχουν τὰ πρόβατα νὰ μὴ πέσουν στὸ γκρεμὸ καὶ σκοτωθοῦν. Γιατὶ παιδαγωγοῦνται, σὰν ἀπὸ ἔμφυτο νόμο, ὅτι πρέπει νὰ φροντίζουν τὴ ζωή τους. Καὶ πῶς τότε δὲν εἶναι ἀνόητο, ἂν αὐτὸ φαίνεται νὰ ἰσχύει στὰ ἄλογα ζῶα, καὶ ἐμεῖς, ἐνῶ εἴμαστε λογικὰ ὄντα, νὰ μὴ γνωρίζομε αὐτὸ ποὺ εἶναι χρήσιμο καὶ ἀπαραίτητο στὴ ζωή;

Πρέπει λοιπόν, κι ἂν ἀκόμα κάποιοι ἀπὸ ἐκείνους ποὺ ἔχουν ὁρισθεῖ δάσκαλοι καὶ καθηγητές μας, θέλουν νὰ μᾶς παρασύρουν σὲ ὅσα δὲν πρέπει, νὰ μὴ θέλομε νὰ τοὺς ἀγαποῦμε τυχαῖα, οὔτε νὰ τοὺς ἀκολουθοῦμε ἀπερίσκεπτα σ' αὐτὸ ποὺ τοὺς ἀρέσει, ἀλλὰ νὰ ἐξετάζομε κάθετι ἀπὸ αὐτὰ ποὺ πρέπει νὰ πραχθοῦν καὶ ἔτσι[75] νὰ προχωροῦμε σ' αὐτὸ ποὺ συνήθως παρέχει τὴ μεγαλύτερη ὠφέλεια. Ἦταν λοιπὸν οἱ καθηγητὲς τῶν Ἰουδαίων, δηλαδὴ οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, φοβεροὶ στὸ νὰ μαζεύουν χρηματικοὺς πόρους καὶ νὰ συγκεντρώνουν τὶς εἰσφορὲς τοῦ κόσμου, τὶς ἀπαρχές, τὶς δεκάτες, καὶ ὅσα ὁ νόμος ἔδινε ὡς δικαιώματα στοὺς ἱερεῖς. Ὁ σκοπός τους ἦταν, καὶ τὸν ἐπιδίωκαν μὲ κάθε ἐπιμέλεια, νὰ πείσουν τοὺς τηρητὲς τοῦ νόμου, ὅτι ἔπρεπε νὰ τὸν τηροῦν ὡς πρὸς αὐτὰ κυρίως, ἐνῶ γιὰ τὶς ἄλλες ἐντολὲς αὐτοὶ δὲν ἔδιναν καὶ πολλὴ σημασία. Γι' αὐτὸ καὶ ὁ ἴδιος ὁ Σωτήρας ἔλεγε σ' αὐτούς· «Ἀλλοίμονό σας, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριτές· γιατὶ δίνετε τὸ δέκατο ἀπὸ τὸν ἄνηθο καὶ τὸν δύοσμο καὶ τὸ κύμινο, καὶ ἀφήσατε τὰ σπουδαιότερα τοῦ νόμου, τὴ δικαιοσύνη, τὴν εὐσπλαγχνία καὶ τὴν πίστη»[76].

Ἦταν λοιπὸν κερδοσκόποι καὶ φιλοχρήματοι καὶ μερικὲς φορὲς ἐπέβαλλαν τιμωρίες σκληρές, ὥστε, προκαλώντας φόβο σὲ ἐκείνους ποὺ κατηγοροῦσαν γιὰ ὁτιδήποτε, νὰ τοὺς πείθουν νὰ προσφέρουν πολλὲς φορὲς σ' αὐτοὺς καὶ περισσότερα ἀπὸ τὶς δυνάμεις τους. Γι' αὐτὸ λέγει πρὸς ἐκείνους ποὺ ἀδικοῦνταν ἀπὸ αὐτούς· «Λαέ μου· οἱ εἰσπράτορες σᾶς παίρνουν ἀκόμα καὶ τὰ στα-

76. Ματθ. 23, 23.

πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν». Καὶ διὰ μὲν τοῦ λαὸν εἰπεῖν, ἔτι τὸν Ἰσραὴλ δίδωσι νοεῖν, ὡς εἴπερ ἔλοιντο μεταφοιτᾷν ἐπὶ τὸ αὐτῷ δοκοῦν, τῶν ἐξ ἡμερότητος τεύξονται καὶ φιλανθρωπίας, καὶ οὐκ εἰσάπαν ἀποπεσοῦνται τῆς πρὸς αὐτὸν οἰκειότητος σχετικῆς. Καλαμᾶσθαι δὲ εἰπὼν τοὺς πράκτορας, τῆς ἐνούσης αὐτοῖς ἀπληστίας τε ὁμοῦ καὶ φιλοκερδίας δείκνυσι τὸ μέγεθος. Ἐν μὲν γὰρ τοῖς ληΐοις οἱ μὲν ἀποκείρουσι σιδήρῳ τὸν στάχυν, οἱ δὲ τοὺς ἐκπίπτοντας τῆς τοῦ κείροντος χειρὸς συλλέγοντες, οὐδὲν ἀφιᾶσιν ἐν ἀγροῖς. Ἔθος δὲ καὶ τοῖς τὰς ἀμπέλους τρυγῶσι τοῦτο δρᾷν. «Καλαμῶνται τοίνυν ὑμᾶς», φησίν, «οἱ πράκτορες ὑμῶν». Ὅμοιον ὡς εἰ λέγοι· Τετρυγήκασιν ὑμῶν τὰς περιουσίας, καὶ οὐ μέχρι τούτου τὰ τῆς ἀπληστίας αὐτοῖς. Ἀλλ' ἤδη καὶ καλαμῶνται, τοῦτ' ἔστι τὰς χεῖρας ἐπάγουσι καὶ τοῖς ἔτι καταλελειμμένοις. Εὖ δὲ δὴ σφόδρα, καὶ πρεπόντως αὐτοῖς, οὐ καθηγητάς, οὐ διδασκάλους, οὐχ ἕτερόν τι τῶν τοιούτων εἶναί φησιν, πράκτορας δὲ ὀνομάζει καὶ ἀπαιτητάς. Διδάσκει δὲ ὅτι κατεξουσιάζουσιν αὐτῶν, οὐχ ὡς διδάσκαλοι μαθηταῖς ἠπίως προσφερόμενοι, ἀλλ' οἷον σκληροὶ καὶ ἄγριοι δεσπόται, τὸ δοκοῦν αὐτοῖς φρονεῖν ἀναγκάζοντες, καὶ πρὸς πᾶν ὁτιοῦν ἀποφέροντες, καὶ τῶν παρὰ γνώμην ἔσθ' ὅτε.

Ἀλλ' ὅ γε τῶν ἐν Χριστῷ σκοπὸς οὐ τοιοῦτος ἦν. Γράφει γοῦν ὁ θεσπέσιος Πέτρος τοῖς κεκλημένοις εἰς ἐπισκοπὴν καὶ καθηγεῖσθαι λαχοῦσι τῶν λογικῶν ποιμνίων, μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γενόμενοι τοῦ ποιμνίου. Οἶδεν δὲ ὁ λόγος ὁ μυστικὸς καὶ πράκτορας ἑτέρους, οὓς ἀνάγκη παραιτεῖσθαι τοῖς ἐθέλουσι βιοῦν ὀρθῶς. Αἱ γὰρ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις ἕκαστον

77. Α' Πέτρ. 5,2-3.

χυολογήματα, καὶ αὐτοὶ ποὺ σᾶς τὰ ἀπαιτοῦν γίνονται ἐξουσιαστές σας». Καὶ λέγοντας βέβαια «λαό», ἀφήνει νὰ ἐννοήσομε ἀκόμα τὸν Ἰσραήλ, κι ἂν θελήσουν ν' ἀλλάξουν στάση καὶ νὰ βαδίσουν σύμφωνα μὲ τὸ θέλημά του, θὰ δεχθοῦν τοὺς καρποὺς τῆς ἀγαθότητας καὶ τῆς φιλανθρωπίας του καὶ δὲν θὰ ἀποπέσουν γιὰ πάντα ἀπὸ τὴν οἰκειότητα καὶ τὴ σχέση μαζί του. Λεγόντας πάλι ὅτι οἱ εἰσπράκτορες τοὺς παίρνουν καὶ τὰ σταχυολογήματα (ὑπολείμματα), δείχνει τὸ μέγεθος τῆς ἀπληστίας καὶ τῆς φιλοχρηματίας τους. Μέσα στὰ χωράφια αὐτοὶ θερίζουν μὲ τὰ δρεπάνια τὰ στάχυα, ἐνῶ ἐκεῖνοι μαζεύοντας τὰ στάχυα ποὺ ξεφεύγουν ἀπὸ τὰ χέρια τῶν θεριστῶν, δὲν ἀφήνουν τίποτα μέσα στὰ χωράφια. Εἶναι συνήθεια νὰ κάνουν τὸ ἴδιο καὶ σὲ ἐκείνους ποὺ τρυγοῦν τὰ ἀμπέλια. «Σᾶς παίρνουν» λοιπόν, λέγει, «οἱ εἰσπράκτορές σας τὰ σταχυολογήματα». Εἶναι τὸ ἴδιο σὰ νὰ λέγει· Ἔχουν τρυγήσει τὶς περιουσίες σας καὶ δὲν σταματᾶ ὡς ἐδῶ ἡ ἁπληστία τους, ἀλλὰ καὶ σᾶς παίρνουν καὶ τὰ σταχυολογήματα, δηλαδὴ ἁπλώνουν τὰ χέρια τους καὶ σὲ ὅ,τι ἔχει ἀπομείνει. Πάρα πολὺ σωστὰ λοιπὸν κι ὅπως ἔπρεπε γι' αὐτούς, δὲν λέγει ὅτι εἶναι καθηγητὲς οὔτε διδάσκαλοι οὔτε κάτι ἄλλο παρόμοιο, ἀλλὰ τοὺς ὀνομάζει εἰσπράκτορες κι ἀπαιτητές. Διδάσκει ἐπίσης ὅτι τοὺς κατεξουσιάζουν ὄχι συμπεριφερόμενοι ὅπως οἱ δάσκαλοι πρὸς τοὺς μαθητὲς μὲ ἥπιο τρόπο, ἀλλὰ σὰν σκληροὶ καὶ ἄγριοι ἐξουσιαστές, τοὺς ἀναγκάζουν νὰ δέχονται τὴ δική τους γνώμη καὶ τοὺς ὁδηγοῦν σὲ ὁτιδήποτε, πολλὲς φορὲς καὶ σὲ ἀντίθετα μὲ ὅσα πιστεύουν.

Ἀλλὰ ὁ σκοπὸς τῶν πιστῶν τοῦ Χριστοῦ δὲν ἦταν τέτοιος. Γράφει λοιπὸν ὁ θεσπέσιος Πέτρος γιὰ ἐκείνους ποὺ ἔχουν κληθεῖ στὸ ἀξίωμα τοῦ ἐπισκόπου καὶ τοὺς ἔλαχε νὰ ὁδηγοῦν τὰ λογικὰ ποίμνια, νὰ μὴ συμπεριφέρονται σὰν ἐξουσιαστὲς στὸν κλῆρο τους, ἀλλὰ νὰ γίνονται πρότυπα τοῦ ποιμνίου[77]. Ὁ μυστικὸς βέβαια λόγος γνωρίζει κι ἄλλους εἰσπράκτορες, τοὺς ὁποίους εἶναι ἀνάγκη νὰ τοὺς ἀποφεύγουν ὅσοι θέλουν νὰ ζοῦν ὀρθά. Γιατὶ οἱ πονηρὲς κι ἀντίθετες δυνάμεις ἀπαιτοῦν κατὰ κάποιο

τῶν ἐπὶ γῆς μονονουχὶ καὶ ἀπαιτοῦσι τὴν εἰς τὸ φαῦλον σπουδὴν καὶ ὥσπερ τινὰ δασμὸν παρ' ἡμῶν συλλέγουσι, τὴν εἰς τὰ πάθη τῆς διανοίας ῥοπήν. Καὶ γοῦν ὁ ἱερὸς μακαρίζει λόγος τοὺς μὴ ἀκούσαντας φωνὴν φορολόγου· οἱ γὰρ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν κατεξανιστάμενοι καὶ νεανικῷ φρονήματι τὰ ἐκ τῆς ἁμαρτίας παρωθούμενοι βλάβη, καὶ πατοῦντες ἀρχὰς καὶ νικῶντες τὰ πνεύματα τῆς πονηρίας, κρείττους γεγόνασι τῆς τοῦ φορολόγου φωνῆς Δεῖ τοίνυν τοὺς τοιούτους παραιτεῖσθαι πράκτορας, καὶ μήτε θερίζειν ἐν ἡμῖν τὸ εἰς ἁμαρτίαν ἀποτέλεσμα συγχωρεῖν, μήτε μὴν καλαμᾶσθαι. Δράσομεν δὲ τοῦτο διὰ Χριστοῦ νευρούμενοι, καὶ τῆς ἑαυτῶν διανοίας ἐκπέμποντες διαλογισμοὺς πονηρούς, ἐπιθυμίας αἰσχράς, καὶ πᾶν εἶδος φαυλότητος.

Στίχ. 12. «Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν».

Εἰς νῆψιν ἐγείρει πάλιν καὶ δοκιμαστὰς εἶναι τῶν πραγμάτων βούλεται, οὐ χρηστολογίαις ἁπλῶς χαυνοῦσθαι πρὸς ῥᾳθυμίαν. Περιφοιτῶντες μὲν γὰρ οἱ Φαρισαῖοι τοὺς τῶν Ἰουδαίων οἴκους χρηστοεπεῖν ἐπεχείρουν, ηὐλογημένον τε λαὸν ὠνόμαζον καὶ κλῆρον Θεοῦ, καὶ τάχα που τὸ διὰ φωνῆς τοῦ Βαρούχ ἐπεφώνουν αὐτοῖς· «Μακάριοί ἐσμεν, Ἰσραήλ, ὅτι τὰ ἀρέσκοντα Θεῷ γνωστὰ ἡμῖν ἐστιν». Ἵνα γοῦν προσεπάγοιεν τάς τε ἐκ νόμου τεταγμένας αὐτοῖς δωροφορίας, καὶ μὴν καὶ δεκάτας, ἤγουν ἀπαρχὰς ἐσκήπτοντο χρηστολογεῖν, εὐπρόσιτοί τε εἶναι πολλάκις ἤθελον, καὶ τὸ ἡμεροφανὲς ἐπετήδευον, κερδῶν δὲ ἕνεκα καὶ λημμάτων καὶ αὐτὸν ἐδίδασκον παραλύειν τὸν νόμον τοὺς ὑπὸ χεῖρα λαούς. Ἠτιᾶτο γοῦν αὐτοῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὡς ἀκυροῦντας τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν ἑαυ-

78. Βαρούχ 4, 4.

τρόπο ἀπὸ κάθε ἄνθρωπο τὴν προθυμία πρὸς τά φαῦλα καὶ σὰν κάποιο φόρο μαζεύουν ἀπὸ μᾶς τὴ ροπὴ τῆς διάνοιάς μας στὰ πάθη. Μακαρίζει λοιπὸν ὁ ἱερὸς λόγος ἐκείνους ποὺ δὲν ἄκουσαν τὴ φωνὴ τοῦ φοροεισπράκτορα. Γιατὶ αὐτοὶ ποὺ ἀντιστέκονται στὶς ἐπιθυμίες τῆς σάρκας καὶ μὲ νεανικὸ φρόνημα ἀπωθοῦν τὶς βλάβες ποὺ προκαλεῖ ἡ ἁμαρτία καὶ καταπατοῦν τὶς ἐξουσίες καὶ νικοῦν τὰ πνεύματα τῆς πονηρίας ἔχουν ἀναδειχθεῖ ἀνώτεροι ἀπὸ τὴ φωνὴ τοῦ φοροεισπράκτορα. Πρέπει λοιπὸν ν' ἀποφεύγονται οἱ φοροεισπράκτορες αὐτοί, καὶ οὔτε νὰ ἐπιτρέπουμε νά θερίζουν ἀπὸ μᾶς τὸ πρὸς τὴν ἁμαρτία ἀποτέλεσμα οὔτε βέβαια νὰ μᾶς παίρνουν καὶ τὰ σταχυολογήματα. Αὐτὸ φυσικὰ θὰ τὸ ἐπιτύχομε μὲ τὴν ἐνίσχυση τοῦ Χριστοῦ καὶ ἀπομακρύνοντας ἀπὸ τὴ διάνοιά μας τοὺς διαλογισμοὺς τῆς πονηρίας, τὶς αἰσχρὲς ἐπιθυμίες καὶ κάθε εἶδος φαυλότητας.

Στίχ. 12. «Λαέ μου, αὐτοὶ ποὺ σᾶς μακαρίζουν σᾶς παραπλανοῦν καὶ ταράσσουν τὸ δρόμο ποὺ βαδίζετε».

Προτρέπει πάλι πρὸς ἐπαγρύπνηση καὶ θέλει νὰ εἶναι ἐξεταστὲς τῶν πραγμάτων, καὶ ὄχι ν' ἀποχαυνώνονται ἁπλῶς μὲ χρηστολογίες καὶ νὰ ἐφησυχάζουν. Πράγματι ἐπισκεπτόμενοι οἱ Φαρισαῖοι τὰ σπίτια τῶν Ἰουδαίων ἐπιχειροῦσαν νὰ τοὺς κολακεύουν μὲ χρηστόλογα, καὶ τοὺς ὀνόμαζαν λαὸ εὐλογημένο καὶ κληρονομία τοῦ Θεοῦ, καὶ ἴσως τοὺς ἔλεγαν κατὰ κάποιο τρόπο μὲ τὴ φωνὴ τοῦ Βαρούχ· «Εἴμαστε μακάριοι, Ἰσραηλῖτες, γιατὶ μᾶς εἶναι γνωστὰ αὐτὰ ποὺ ἀρέσουν στὸν Θεό»[78]. Γιὰ νὰ τοὺς πηγαίνουν λοιπὸν τὰ δῶρα ποὺ ὅριζε ὁ νόμος καὶ βέβαια καὶ τὶς δεκάτες ἢ τὶς ἀπαρχές, τοὺς μιλοῦσαν προσποιητὰ μὲ χρηστόλογα, ἤθελαν πολλὲς φορὲς νὰ εἶναι εὐπρόσιτοι καὶ προσποιοῦνταν ἡμερότητα, καὶ ἐξαιτίας τῶν κερδῶν καὶ τῶν δώρων δίδασκαν τὸν κόσμο ποὺ ἦταν στὴν ἐξουσία τους νὰ καταλύουν καὶ τὸν ἴδιο τὸ νόμο. Τοὺς κατηγοροῦσε λοιπὸν ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ὅτι ἀκύρωναν τὴν ἐντολὴ τοῦ Θεοῦ γιὰ χάρη τῆς δικῆς

τῶν παράδοσιν. «Πλανῶσι τοίνυν ὑμᾶς», φησίν, «οἱ μακαρίζοντες ὑμᾶς καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν». Οὐ γὰρ ἐῶσιν ὀρθοποδεῖν. Παρεξάγοντες δὲ ὥσπερ τῆς εὐθείας ὁδοῦ κατὰ κρημνῶν φέρουσι καὶ βόθρων. Ὁδὸς δὲ ἡ εὐθεῖα καὶ ὁμαλὴ ἡ εἰς Χριστὸν οἰκείωσις διὰ πίστεως. Ἐπειδὴ δὲ ἤδεσαν οἱ τῶν Ἰουδαίων καθηγηταί, ὅτι τῆς διὰ Μωσέως καταργουμένης ἐντολῆς, ἔξω κείσονται κερδῶν καὶ λημμάτων, συνετάραττον ὥσπερ τὴν τρίβον τῶν ποδῶν τοῦ λαοῦ, τὸν Χριστοῦ λόγον κατακιβδηλεύοντες, καὶ ταῖς τοῦ νόμου σκιαῖς προσκεῖσθαι κελεύοντες. Τετολμήκασι γὰρ εἰπεῖν οἱ δείλαιοι· «Ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν»· καὶ πάλιν· «Εἰ ἦν οὗτος ἀπὸ Θεοῦ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον». Καὶ τὸ ἔτι τούτων δυσσεβέστερον, τοῖς γὰρ ἐθέλουσιν ἀκροᾶσθαι Χριστοῦ καὶ τοῖς παρ' αὐτοῦ προσκεῖσθαι λόγοις, ἀνοσίως ἔφασκον· «Δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ;».

Δεῖν δὲ δὴ καὶ ἑτέρως ὑπολαμβάνω τὸν πνευματικὸν ἄνθρωπον καὶ τὸν ἀρετῆς ἐργάτην παραιτεῖσθαι σφόδρα τοὺς εἰς νοῦν καὶ καρδίαν μακαρίζοντας αὐτὸν λογισμούς Δεινὸς γὰρ ὑπάρχων εἰς κακουργίαν ὁ Σατανᾶς, ὅτε τοὺς εὐδοκιμοῦντας τῆς αὐτοῖς φιλαιτάτης ζωῆς τε καὶ πολιτείας κατακομίζειν οὐ δύναται, πρὸς τὸ αὐτῷ δοκοῦν ἑτέρῳ παραλύειν πειρᾶται τρόπῳ. Ἐπαινεῖ γὰρ ὡς κατωρθωκότας, ἀποδέχεται δὲ ὡς ἁγίους λοιπόν, μακαρίζει δὲ καὶ ὡς φίλους ἤδη γεγονότας Θεοῦ, καὶ εἰς λῆξιν ἁπάσης ἀρετῆς ἀναβεβηκότας. Εἶτα τὸ τῆς ὑπεροψίας αὐτοῖς πάθος ἐν τεκών, προσκρούειν παρασκευάζει τῷ Θεῷ, καὶ κατασείει λοιπὸν καθάπερ τι φυτὸν ἐκ βάθρου. Οὐ γὰρ ἠγνόηκεν, «ὅτι ταπεινοῖς μὲν δίδωσι χάριν ὁ τῶν ὅλων Θεός, ἀντιτάσσεται δὲ τοῖς ὑπερηφάνοις». Παραιτητέον τοίνυν, ὡς ἔφην,

79. Ἰω. 9, 29.
80. Ἰω. 9, 16.

τους παράδοσης. «Σᾶς παραπλανοῦν» λοιπόν, λέγει, «ὅσοι σᾶς μακαρίζουν καὶ κλονίζουν τὸ δρόμο ποὺ βαδίζετε». Γιατὶ δὲν σᾶς ἀφήνουν νὰ βαδίζετε ὀρθά. Παρεκκλίνοντάς σας κατὰ κάποιο τρόπο ἀπὸ τὴν εὐθεῖα, σᾶς σπρώχνουν στοὺς κρημνοὺς καὶ τὰ βάραθρα. Ἡ ὁδὸς ὅμως ἡ εὐθεῖα καὶ ὁμαλὴ εἶναι ἡ οἰκείωση μὲ τὸν Χριστὸ μέσω τῆς πίστεως. Ἀλλ' ἐπειδὴ οἱ καθοδηγητὲς τῶν Ἰουδαίων γνώριζαν ὅτι μὲ τὴν κατάργηση τῆς ἐντολῆς τοῦ Μωυσῆ θὰ βρεθοῦν ἔξω ἀπὸ τὰ κέρδη καὶ τὰ δῶρα, συντάραζαν κατὰ κάποιο τρόπο τὸ δρόμο ποὺ βάδιζε ὁ λαός, παρουσιάζοντας κίβδηλο τὸν λόγο τοῦ Χριστοῦ, καὶ τοὺς προέτρεπαν νὰ μείνουν προσκολλημένοι στὶς σκιὲς τοῦ νόμου. Πράγματι τόλμησαν οἱ ταλαίπωροι νὰ ποῦν· «Ἐμεῖς γνωρίζομε ὅτι ὁ Θεὸς μίλησε στὸν Μωυσῆ, αὐτὸν ὅμως δὲν γνωρίζομε ἀπὸ ποῦ μᾶς ἔρχεται»[79]. Καὶ ἀλλοῦ· «Ἂν αὐτὸς ἦταν ἄνθρωπος σταλμένος ἀπὸ τὸν Θεό, δὲν θὰ καταργοῦσε τὸ Σάββατο»[80]. Καὶ τὸ ἀκόμα ἀσεβέστερο ἀπὸ αὐτά· σὲ ἐκείνους δηλαδὴ ποὺ ἤθελαν ν' ἀκοῦν τὸν Χριστὸ καὶ νὰ ἐκτελοῦν τὰ λόγια του, ἔλεγαν μὲ τρόπο ἀσεβῆ· «Ἔχει δαιμόνιο καὶ παραφέρεται· τί τὸν ἀκοῦτε;»[81].

Πρέπει ὅμως, νομίζω, καὶ διαφορετικὰ ὁ πνευματικὸς ἄνθρωπος καὶ ὁ ἐργάτης τῆς ἀρετῆς ν' ἀποφεύγει μὲ δύναμη τοὺς λογισμοὺς ποὺ τὸν μακαρίζουν μέσα στὸ νοῦ καὶ τὴν καρδιά του. Γιατί, ὄντας ὁ Σατανᾶς φοβερὸς στὸ νὰ κακουργεῖ, ὅταν αὐτοὺς ποὺ εὐδοκιμοῦν στὴν πάρα πολὺ ἀγαπητή τους ζωὴ καὶ πολιτεία δὲν μπορεῖ νὰ τοὺς μεταφέρει στὸ θέλημά του, προσπαθεῖ νὰ τοὺς κάμψει μὲ ἄλλο τρόπο. Τοὺς ἐπαινεῖ δηλαδὴ ὡς ἐπιτυχημένους, τοὺς ἀποδέχεται σὰν ἁγίους, καὶ τοὺς μακαρίζει σὰ νὰ ἔχουν γίνει ἤδη φίλοι τοῦ Θεοῦ κι ἔχουν φτάσει στὴν κορυφὴ κάθε ἀρετῆς. Ἔπειτα, κάνοντας νὰ γεννηθεῖ μέσα τους τὸ πάθος τῆς ὑπεροψίας, τοὺς ἑτοιμάζει νὰ προσκρούσουν στὸν Θεὸ καὶ τοὺς συγκλονίζει σὰν κάποιο δένδρο ἀπὸ τὴ ρίζα. Γιατὶ δὲν ἀγνοεῖ ὅτι «ὁ Θεὸς τῶν ὅλων δίνει βέβαια χάρη στοὺς ταπεινούς, ἀντιτάσσεται ὅμως στοὺς ὑπερήφανους»[82]. Ἂς ἀπορρίπτο-

81. Ἰω. 10, 20.

82. Ἰακ. 4, 6. Α΄ Πέτρ. 5, 5.

τοὺς εἰς νοῦν ἔσω καὶ καρδίαν μακαρίζοντας ἡμᾶς λογισμούς. Οἱ γάρ τοι τὴν εὐθεῖαν ἡμᾶς οὐκ ἐπιτρέπουσι διάττειν ὁδόν, δι' ἧς ἄν τις ἴοι, καὶ μάλα ῥᾳδίως, ἐπὶ τὸ ἀρέσκον Θεῷ.

Στίχ. 13-15. «Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὰ πρόσωπα τῶν πτωχῶν καταισχύνετε;».

Οὐκ ἀνεπικούρητον ἔσεσθαι, φησὶν ὁ προφήτης, τὴν ἀδικουμένων πληθύν, οὔτε μὴν ἁπάσης φροντίδος ἐρήμην, ὑπεραθλήσειν δὲ μᾶλλον αὐτῶν τὸν τῶν ὅλων Θεὸν εὖ μάλα διϊσχυρίζεται. Δικάσεται γὰρ ὑπὲρ αὐτῶν, φησί, τοῖς καλαμωμένοις καὶ μακαρίζουσιν αὐτούς, ταράξει δὲ καὶ τὴν τρίβον τῶν ποδῶν αὐτῶν. Δικάσεται δὲ πρὸς τοὺς πρεσβυτέρους τοῦ λαοῦ, καὶ προσέτι τοὺς ἄρχοντας, ἤτοι τοὺς καθηγουμένους. Ἐλυτρώσατο μὲν γὰρ ἐξ οἴκου δουλείας τὸν λαὸν αὐτοῦ, ἐξείλετο δὲ τῆς τῶν κρατούντων σκαιότητος, ὅλην αὐτοῖς ἐπαναστήσας τὴν κτίσιν. Καὶ ὑδάτων μὲν εἰς αἷμα μεταβολὰς ἐργασάμενος, χαλάζαις δὲ καταπαίων, βαθεῖ τε καὶ τριημέρῳ σκότῳ, καὶ τοῖς ἄλλοις ἅπασι. Μακρὸν γὰρ ἕκαστα διειπεῖν. Εἶτα διαβιβάσας διὰ θαλάσσης μέσης ἔθρεψεν ἐν τῇ ἐρήμῳ. Εἰσκεκόμικεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἔθνη μεγάλα καὶ μαχιμώτατα καθάπερ ἀκάνθας ἐξελών. Καὶ τοῦτο ἡμῖν ὁ θεοπέσιος Δαβὶδ κατεδήλου λέγων πρὸς τὸν τῶν ὅλων σωτῆρα καὶ λυτρωτήν· «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν, ὡδοποίησας ἔμπροσθεν αὐτῆς· ἐξέτεινας τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν παραφυάδας αὐτῆς». Γέγονε γάρ, ὡς προφήτης φησὶν Ἱερεμίας,

με λοιπόν, ὅπως εἶπα, τοὺς λογισμοὺς ποὺ μᾶς μακαρίζουν μέσα στὸ νοῦ καὶ στὴν καρδιά μας. Γιατὶ αὐτοὶ δὲν μᾶς ἀφήνουν νὰ βαδίσομε τὴν εὐθεῖα ὁδό, μέσω τῆς ὁποίας μπορεῖ κανεὶς νὰ βαδίσει, καὶ πολὺ εὔκολα, σ' αὐτὸ ποὺ εἶναι ἀρεστὸ στὸν Θεό.

Στίχ. 13-15. «Ἀλλὰ τώρα ὁ Κύριος θὰ στήσει δικαστήριο καὶ θὰ δικάσει τὸν λαό του. Αὐτὸς ὁ ἴδιος θὰ δικάσει τοὺς πρεσβυτέρους τοῦ λαοῦ καὶ τοὺς ἄρχοντές του. Ἐσεῖς γιατί βάλατε φωτιὰ καὶ κάψατε τὸν ἀμπελώνα μου, καὶ ἁρπάξατε ἀπὸ τὸν λαὸ ὅσα βρίσκονταν στὰ σπίτια σας; Γιατί ἀδικεῖτε τὸν λαό μου καὶ ἐξευτελίζετε τὰ πρόσωπα τῶν φτωχῶν;».

Δὲν θὰ μείνει χωρὶς βοήθεια, λέγει ὁ προφήτης, τὸ πλῆθος τῶν ἀδικουμένων, οὔτε γυμνὸ ἀπὸ κάθε φροντίδα, ἀλλὰ βεβαιώνει ὅτι θὰ τοὺς ὑπερασπισθεῖ ὁπωσδήποτε δυνατὰ ὁ Κύριος τῶν ὅλων. Γιατὶ λέγει θὰ τοὺς δικάσει γιὰ χάρη τους αὐτοὺς ποὺ τοῦ παίρνουν καὶ τὰ ὑπολείμματά τους καὶ τοὺς μακαρίζουν, καὶ θὰ ταράξει τὸν δρόμο ποὺ περπατοῦν. Θὰ δικάσει τοὺς πρεσβυτέρους τοῦ λαοῦ καὶ ἀκόμα μὲ τοὺς ἄρχοντες δηλαδὴ τοὺς καθοδηγητές τους. Γιατὶ λύτρωσε ἀπὸ τὸν οἶκο τῆς δουλείας τὸν λαό του καὶ τοὺς γλύτωσε ἀπὸ τὴ βαναυσότητα τῶν ἐξουσιαστῶν, ἐξεγείροντας ἐναντίον τους ὅλη τὴν κτίση, πραγματοποιώντας μεταβολὴ τῶν νερῶν σὲ αἷμα, χτυπώντας τους μὲ τὸ χαλάζι καὶ μὲ τὸ βαθὺ τριήμερο σκοτάδι, καὶ ὅλα τὰ ἄλλα. Θὰ πᾶμε μακριὰ ἂν τὰ ἐξιστορήσομε ὅλα λεπτομερῶς. Ἔπειτα περνώντας τους ἀπὸ τὴ μέση τῆς θάλασσας τοὺς ἔδωσε τροφὴ μέσα στὴν ἔρημο, τοὺς ὁδήγησε στὴ γῆ τῆς ἐπαγγελίας, ξεριζώνοντας σὰν ἀγκάθια ἔθνη μεγάλα καὶ πολὺ πολεμικά. Κι αὐτὸ μᾶς δήλωνε ὁ θεοπέσιος Δαβὶδ λέγοντας πρὸς τὸν σωτήρα καὶ λυτρωτὴ τῶν ὅλων· «Μεταφύτευσες ἀμπέλι ἀπὸ τὴν Αἴγυπτο, ἔβγαλες ἔθνη ἀπὸ τὴ μέση καὶ φύτευσες αὐτό, ἄνοιξες τὸ δρόμο μπροστά τους, καὶ ἄπλωσες τὰ κλήματα αὐτοῦ μέχρι τὴ θάλασσα καὶ μέχρι τὰ ποτάμια τὶς παραφυάδες του»[83]. Γιατὶ ἔγινε, ὅπως λέγει ὁ προφήτης Ἱερεμίας, ἀμπέ-

83. Ψαλμ. 79, 9-12.

ἄμπελος εὐκληματοῦσα Ἰσραὴλ καὶ ὁ καρπὸς εὐθηνῶν αὐτῆς. Ἀλλὰ τετάχασι μὲν εἰς γεωργοὺς οἱ καθηγεῖσθαι λαχόντες, ἠδικήκασι δὲ οὕτως ἀμπελῶνα τὸν δεσποτικόν, ὡς εἰς ἅπαν ἤδη καὶ ἐμπεπρῆσθαι δοκεῖν.

Ταύτην οὖν ἄρα τὴν αἰτίαν αὐτὸς ποιήσεται λέγων· «Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου;». Οὓς γὰρ ἦν εἰκὸς καὶ εὐφοροτέραν ἀποφαίνειν τὴν νοητὴν ἐκείνην καὶ εὐκληματοῦσαν ἄμπελον, τοῦτ' ἔστι τὸν Ἰσραήλ, οὗτοι κατεκόμισαν εἰς ἐρήμωσιν παντελῆ, ξηράν τε καὶ ἄχρηστον ἀπετέλεσαν τῷ δεσπότῃ. Ἐμπεπύρισται δὲ τοίνυν παρ' ὧν εἰκὸς ἦν εὔβοτρυν ἔσεσθαι καὶ καρποῖς διαβρυθῆ καὶ παντὸς ἐπέκεινα βλάβους. Τίνα δὲ τρόπον ἐμπυρίσαι λέγονται τὸν νοητὸν ἀμπελῶνα, πῶς οὐκ ἄξιον ἰδεῖν; Ἔδει μὲν γὰρ τὸ διδασκαλικὸν ἔχοντας ἐπιτήδευμα, καὶ νόμον εἰδότας τὸν εἰς πᾶν ὁτιοῦν ἀποφέροντα τῶν ἀρεσκόντων Θεῷ, καὶ πρό γε τῶν ἄλλων ἐννομώτατά τε διαζῆν αὐτούς, καὶ τοῖς εἰς δικαιοσύνην αὐχήμασιν εὖ μάλα κατακαλλύνεσθαι, ὥστε τῆς ἐξαιρέτου ζωῆς τύπον ὥσπερ τινὰ καὶ εἰκόνα τῶν ὑπὸ χεῖρα λαῶν τὸν αὐτῶν γενέσθαι βίον. Εἶτα πρὸς τούτῳ καὶ ταῖς ἐκ νόμου παιδαγωγίαις ἀποκομίζειν ἤθελον τοὺς ὑπεξευγμένους πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν, καὶ πλημμελοῦντας ἐλέγχειν, καὶ παίοντας ἐπανορθοῦν, καὶ τῆς εὐσεβείας καταδεικνύειν τὴν ὁδόν, καὶ πρὸς τὰ ἀμείνω παιδαγωγεῖν, καὶ πρὸς τὸ τοῦ νόμου τέλος ἀναπείθειν ὁρᾷν, φημὶ δὴ Χριστόν· «Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός». Καὶ περὶ αὐτοῦ λελάληκεν ὁ Μωσῆς, διὰ σκιᾶς καὶ τύπων προαναφωνῶν τοῖς πάλαι τὸ σεπτὸν καὶ μέγα μυστήριον. Ἀλλὰ τούτων ἁπάντων ἠφειδηκότες, αὐτοί τε ἦσαν πονηροὶ τοὺς τρόπους, ἀχάλινοι πρὸς πλεονεξίαν, ἀκρατεῖς εἰς φιλοκερδίας, ὀλίγου παντελῶς ἀξιοῦντες λόγου τὸ κρίνειν ὀρθῶς, καὶ οἷς ἦν ἄμεινον ἐπερυθριᾷν, ἐπ' αὐτοῖς δὴ τούτοις ἐπαυχεῖν εἰωθότες.

---

84. Ρωμ. 10, 4.

λι γεμᾶτο κλήματα εἶναι ὁ Ἰσραὴλ καὶ ὁ καρπὸς αὐτοῦ ἄφθονος. Ἀλλὰ τοποθετήθηκαν ὡς γεωργοὶ ἐκεῖνοι ποὺ ἔλαχαν νὰ εἶναι καθοδηγητές του, καὶ ἔβλαψαν τόσο πολὺ τὸν δεσποτικὸ ἀμπελώνα, ὥστε νὰ φαίνεται ὅτι ἤδη ὑπέστη ὁλικὴ πυρπόληση.

Τὴν κατηγορία λοιπὸν αὐτὴ θὰ τὴν κάνει ὁ ἴδιος λέγοντας· «Γιατί ἐσεῖς βάλατε φωτιὰ καὶ κάψατε τὸ ἀμπέλι μου;». Ἐκεῖνοι δηλαδὴ ποὺ εὔλογο ἦταν ν᾽ ἀναδείξουν γονιμότερο τὸ νοητὸ ἐκεῖνο καὶ μὲ τὰ ὡραῖα κλήματα ἀμπέλι, δηλαδὴ τὸν Ἰσραήλ, αὐτοὶ τὸ ἔρριξαν σὲ τέλεια ἐρήμωση καὶ τὸ κατάντησαν γιὰ τὸν Κύριό του ξερὸ καὶ ἄχρηστο. Κατακάηκε λοιπὸν ἀπὸ ἐκείνους ποὺ εὔλογο ἦταν νὰ γίνει ἀμπέλι μὲ ὡραία κλήματα καὶ γεμᾶτο ἀπὸ καρπὸ καὶ πέρα ἀπὸ κάθε βλάβη. Καὶ πῶς δὲν ἀξίζει νὰ δοῦμε μὲ ποιὸ τρόπο λέγεται ὅτι ἔκαψαν τὸ νοητὸ ἀμπέλι; Ἔπρεπε δηλαδή, ἀφοῦ εἶχαν τὸ διδασκαλικὸ ἀξίωμα καὶ γνώριζαν τὸ νόμο ποὺ ὁδηγοῦσε σὲ κάθε ἀρεστὸ στὸν Θεό, πρὶν ἀπὸ τὰ ἄλλα νὰ ζοῦν ἀπολύτως σύμφωνα μὲ τὸ νόμο καὶ νὰ κοσμοῦνται κατὰ τρόπο ἐξαίρετο μὲ τὰ καυχήματα τῆς δικαιοσύνης, ὥστε νὰ γίνει ὁ βίος τους ὑπόδειγμα κατὰ κάποιο τρόπο καὶ εἰκόνα ἐξαίρετης ζωῆς γιὰ τοὺς λαοὺς ποὺ βρίσκονταν κάτω ἀπὸ τὴν ἐξουσία τους. Ἔπειτα, μαζὶ μ᾽ αὐτό, ἔπρεπε νὰ ἐπιδιώκουν νὰ ὁδηγοῦν σὲ κάθε ἀγαθὸ ἐκείνους ποὺ ἦταν κάτω ἀπὸ τὴν παιδαγωγία τοῦ νόμου, διαπράττοντας πλημμελήματα νὰ τοὺς ἐλέγχουν, πέφτοντας νὰ τοὺς ἀνορθώνουν, νὰ τοὺς δείχνουν τὸ δρόμο τῆς εὐσέβειας, νὰ τοὺς παιδαγωγοῦν πρὸς τὰ καλύτερα καὶ νὰ τοὺς πείθουν νὰ ἀποβλέπουν στὸ τέλος τοῦ νόμου, ἐννοῶ τὸν Χριστό· «Γιατὶ τὸ τέλος τοῦ νόμου καὶ τῶν προφητῶν εἶναι ὁ Χριστός»[84]. Καὶ γι᾽ αὐτὸν μίλησε ὁ Μωυσῆς μὲ σκιὲς καὶ τύπους, προαναγγέλλοντας στοὺς παλαιοὺς τὸ σεπτὸ καὶ μέγα μυστήριο. Ἀλλὰ αὐτοί, ἀδιαφορώντας γιὰ ὅλα αὐτά, ἦταν πονηροὶ στοὺς τρόπους, ἀχαλίνωτοι στὴν πλεονεξία, ἀσυγκράτητοι στὴν ἀγάπη πρὸς τὸ κέρδος, ἔκριναν πολὺ λίγο ἄξια λόγου τὴν ὀρθὴ κρίση, καὶ γι᾽ αὐτὰ ποὺ ἦταν προτιμότερο νὰ κοκκινίζουν ἀπὸ ντροπή, γι᾽ αὐτὰ ἀκριβῶς αὐτοὶ συνήθως καυχῶνταν.

Ἐμπεπύρισται τοίνυν ὁ ἀμπελών, οὔτε τῷ βίῳ τῶν καθηγεῖσθαι λαχόντων ὠφελούμενος, οὔτε μὴν ταῖς νομικαῖς εἰσηγήσεσι παιδαγωγούμενος εἰς ὀρθὴν καὶ ἀνεπίληπτον ζωήν, ἤγουν εἰς ἐπίγνωσιν Χριστοῦ, καὶ τοῦτο ἐπιλάμψαντός τε ἤδη τοῖς ἐπὶ τῆς γῆς καὶ λέγοντος ἐναργῶς· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ἐγώ εἰμι ἡ ὁδός, καὶ ἐγώ εἰμι ἡ ἀλήθεια». Ἀκουέτωσαν τοίνυν· «Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου καὶ τὰ πρόσωπα τῶν πτωχῶν καταισχύνετε;». Συνήρπαζον γὰρ τοὺς πτωχοὺς εἰς σύνεσιν ἐπὶ τὸ αὐτοῖς δοκοῦν, καὶ καταισχύνεσθαι παρεσκεύαζον τὰ πρόσωπα αὐτῶν. Ὅνπερ γὰρ τρόπον οἱ τῆς δικαιοσύνης ἐπιμεληταὶ μονονουχὶ λαμπρῷ προσώπῳ καὶ πολλῆς γέμοντι παρρησίας ἐν ὀφθαλμοῖς ἑστήκασι τοῦ Θεοῦ, οὕτω φαμὲν τοὺς τῆς φαυλότητος ἐραστὰς στυγνόν τε καὶ ἀμειδές, αἰσχύνης τε καὶ ἐντροπῆς ἀνάμεστον τὸ τῆς καρδίας πρόσωπον ἔχειν. Ἀλλ' ὥσπερ ὀνίνησιν ὁ παιδαγωγῶν εἰς σύνεσιν καὶ τῶν καλλίστων εἰσηγητὴς, οὕτως ἀδικεῖ παστισοῦν οἶμαι τῶν τεταγμένων εἰς διδασκάλους, εἰ μὴ τῶν ἀμεινόνων ἐραστὴν ἀποτελοίη τὸν παιδευόμενον. Καταισχύνει γὰρ ὥσπερ τὸ πρόσωπον αὐτοῦ, καὶ πτωχὸν ὄντα πρὸς σύνεσιν, μονονουχὶ καὶ καταβιάζεται, καὶ συναρπάζει πρὸς τὰ αἰσχίω. Ἦσαν δὲ καὶ ἑτέρως ἀδικοί τε καὶ ἅρπαγες οἱ τῶν Ἰουδαίων καθηγηταί, καὶ καταισχύνοντες μὲν τὰ τῶν πτωχῶν πρόσωπα, προσκείμενοι δὲ πλουσίοις, καίτοι τοῦ νόμου λέγοντος· «Κρίμα δίκαιον κρίνατε», καὶ παρεγγυῶντος πανταχῇ τό, «Οὐ μὴ λήψῃ πρόσωπον ἐν κρίσει».

Στίχ. 16-17. «Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ

85. Ἰω. 8, 12 καὶ 14, 6. 86. Ζαχ. 7, 9. 87. Δευτ. 1, 17.

Πυρπολύθηκε λοιπὸν ὁ ἀμεπλώνας, οὔτε ὠφελούμενος ἀπὸ τὸ βίο ἐκείνων ποὺ τοὺς ἔλαχε ἡ καθηγεσία, οὔτε παιδαγωγούμενος ἀπὸ τὶς διατάξεις τοῦ νόμου πρὸς ὀρθὴ καὶ ἀνεπίληπτη ζωή, δηλαδὴ πρὸς τὴν ἐπίγνωση τοῦ Χριστοῦ, καὶ αὐτὸ τὴ στιγμὴ ποὺ ἤδη ὁ Χριστὸς εἶχε λάμψει στὴ γῆ καὶ ἔλεγε καθαρά· «Ἐγὼ εἶμαι τὸ φῶς τοῦ κόσμου, ἐγὼ εἶμαι ἡ ὁδός, ἐγὼ εἶμαι ἡ ἀλήθεια»[85]. Ἂς ἀκούσουν λοιπόν· «Γιατί βάλατε σεῖς φωτιὰ καὶ κάψατε τὸ ἀμπέλι μου καὶ αὐτὰ ποὺ ἁρπάξατε ἀπὸ τὸν φτωχὸ βρίσκονται στὰ σπίτια σας; Γιατί ἀδικεῖτε τὸν λαό μου καὶ ἐξευτελίζετε τὰ πρόσωπα τῶν φτωχῶν;». Πράγματι ἔπειθαν τοὺς φτωχοὺς νὰ ἀναγνωρίσουν αὐτὸ ποὺ ἄρεσε στοὺς ἴδιους, καὶ ἔτσι ἐξευτέλιζαν τὰ πρόσωπά τους. Μὲ ὅποιον δηλαδὴ τρόπο οἱ ἐπιμελητὲς τῆς δικαιοσύνης στέκονται κατὰ κάποιο τρόπο μπροστὰ στὰ μάτια τοῦ Θεοῦ μὲ λαμπρὸ πρόσωπο καὶ γεμᾶτο πολλὴ παρρησία, ἔτσι λέμε ὅτι καὶ οἱ ἐραστὲς τῆς φαυλότητας ἔχουν σκυθρωπὸ κι ἀγέλαστο τὸ πρόσωπο τῆς καρδιᾶς καὶ γεμᾶτο ἀπὸ αἰσχύνη καὶ ντροπή. Ἀλλ' ὅπως ὠφελεῖ πρὸς σύνεση ὁ παιδαγωγὸς καὶ εἰσηγητὲς τῶν ἀρίστων, ἔτσι, νομίζω, βλάπτει καθένας ἀπὸ ἐκείνους ποὺ ἔχουν ταχθεῖ σὲ δασκάλους, ἂν δὲν κάνει ἐραστὴ τῶν ἀρίστων τὸν μαθητή του. Γιατὶ κατεξευτελίζει κατὰ κάποιο τρόπο τὸ πρόσωπό του, καὶ καθὼς εἶναι φτωχὸς στὴ γνώση, ἐκβιάζεται κατὰ κάποιο τρόπο καὶ παρασύρεται πρὸς τὰ αἰσχρά. Ἀλλὰ καὶ διαφορετικὰ ἦταν ἄδικοι καὶ ἅρπαγες οἱ καθοδηγητὲς τῶν Ἰουδαίων, ἀπὸ τὴ μιὰ ἐξευτελίζοντας τὰ πρόσωπα τῶν φτωχῶν, καὶ ἀπὸ τὴν ἄλλη προσκολλώμενοι στοὺς πλούσιους, μολονότι ὁ νόμος λέγει, «Νὰ κάνετε δίκαιη κρίση»[86], καὶ προτρέπει παντοῦ· «Δὲν θὰ δείξεις προσωποληψία σὲ δίκη»[87].

Στίχ. 16-17. «Ὁ Κύριος λέγει τὰ ἑξῆς· Ἐπειδὴ περηφανεύθηκαν οἱ θυγατέρες τῆς Σιὼν καὶ βάδισαν μὲ τὸ κεφάλι ψηλὰ καὶ βλέμματα περήφανα καὶ σέρνοντας κατὰ τὸ περπάτημά τους τοὺς χιτῶνες τους καὶ συνάμα παίζοντας μὲ τὰ πόδια τους, γι' αὐτὸ θὰ ταπεινώσει ὁ Θεὸς τὶς ἀρχόντισσες θυγατέ-

ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ».

Προαπέφηνεν ἡμῖν ὁ λόγος, ὅτι τοῖς Ἰουδαίων καθηγηταῖς ἐν σπουδῇ τέθειτο τῇ προὐργιαιτάτῃ τὸ χρῆναι πλουτεῖν καὶ δόξαν ἔχειν τὴν ἔν γε τούτῳ διαφανῆ. Πλήρεις δὲ ἦσαν ἀδικιῶν καὶ πλεονεξίας ὡς αὐτοὺς μὲν λαμπράς τε ἐν ἄστει, καὶ μὴν καὶ τὰς ἐν ἀγροῖς ποιεῖσθαι προόδους, ἵπποις τε ἐποχουμένους καὶ ταῖς ἔξωθεν φαντασίαις τῶν δορυφορεῖν εἰωθότων οὐ μετρίως ἐπευρυνομένους. Κατηγιᾶτο γὰρ αὐτοὺς ἐν τοῖς ἀνωτέρω λέγων· «Καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν». Εἶτα συνέβαινε τὰς τῶν ἐν πλούτῳ γυναῖκας, ἅτε δὲ τρυφώσας, ἐναβρύνεσθαι ζητεῖν καὶ τοῖς ἐκ χρυσίου καὶ λίθων ὡραϊσμοῖς, ἐπιγάννυσθαι δὲ λίαν καὶ στολῇ ποικίλῃ καὶ ἐσθημάτων πολυτελείαις. Ἀεί γάρ πως τὸ θῆλυ γένος ἐν ταῖς ἄγαν εὐημερίαις φιλόδοξόν τέ ἐστι καὶ φιλεπιδεικτικόν. Ἥδιστα δὲ λίαν εὐϊματεῖς, καὶ μέν τοι καὶ χρυσαΐζεται, καὶ ὑψηλὴν ἀναστῶν τὴν ὀφρύν, ἐπαυχεῖ τῇ τοῦ σώματος ὥρᾳ. Καὶ ἐπ᾽ αὐτῷ δὴ τούτῳ πλειστάκις τὸ τῶν συνοικούντων αὐταῖς ἐξογκοῦται φρόνημα, καὶ δόξαν ἰδίαν ποιοῦνταί τινες τὴν τῶν γυναικῶν ἐξιτηλίαν. Τοῦτο τάχα πεπόνθασιν οἱ τῶν Ἰουδαίων λαμπροί, τῆς εἰς Θεὸν εὐσεβείας ἠφειδηκότες.

Ἵνα γὰρ ἔχοιεν ἀεὶ μενούσας αὐτοῖς τὰς τοῦ πλουτεῖν χορηγίας, προσκομιζόντων τῶν λαῶν τὰ κατὰ τὸν νόμον οὐ προσίεντο τὴν πίστιν τὴν εἰς Χριστόν, οὔτε μὴν ἑτέρους πιστεύειν ἤθελον, κλείοντες τὴν βασιλείαν τοῦ Θεοῦ, καθὰ γέγραπται, καὶ μήτε εἰσερχόμενοι, μήτε τοῖς ἐθέλουσιν ἐφιέντες εἰσελθεῖν. Ταύτῃ τοι καὶ δέδονται ταῖς Ῥωμαίων στρατιαῖς εἰς ἐρήμωσιν, εἰς διαρπαγήν, καὶ ἀπολώλασιν,

ρες τῆς Σιὼν καὶ ὁ Κύριος θὰ φανερώσει ἐκείνη τὴν ἡμέρα τὴν περηφάνεια τους».

Μᾶς ἔδειξε ἤδη προηγουμένως ὁ λόγος ὅτι οἱ καθοδηγητὲς τῶν Ἰουδαίων συγκέντρωναν ὅλη τὴ φροντίδα τους στὴν ἀπόκτηση πλούτου καὶ στὸ νὰ ἔχουν περίλαμπρη δόξα ἀπὸ αὐτόν. Ἦταν ὅμως γεμᾶτοι ἀδικίες καὶ πλεονεξίες, ὥστε νὰ κάνουν λαμπρὲς ἐμφανίσεις τόσο στὴν πόλη ὅσο καὶ στὴν ἐξοχή, μεταφερόμενοι πάνω σὲ ἵππους καὶ ξεπερνώντας μὲ τὶς φαντασιώδεις ἐμφανίσεις τὸ μέτρο ἐκείνων ποὺ συνηθίζουν νὰ ἐμφανίζονται περιβαλλόμενοι ἀπὸ δορυφόρους. Τοὺς κατηγοροῦσε λοιπὸν γιὰ τὰ παραπάνω λέγοντας· «Καὶ γέμισε ἡ γῆ ἀπὸ ἵππους, καὶ δὲν ἦταν δυνατὸ νὰ μετρηθοῦν τὰ ἅρματά τους· ἡ γῆ γέμισε ἀπὸ ἄργυρο καὶ χρυσό, χωρὶς νὰ εἶναι δυνατὸν νὰ μετρηθοῦν οἱ θησαυροί τους. Ἔπειτα συνέβαινε οἱ γυναῖκες τῶν πλουσίων, ἐπειδὴ ζοῦσαν ζωὴ τρυφηλή, νὰ θέλουν καὶ ἐπιδειχθοῦν καὶ μὲ στολίδια ἀπὸ χρυσὸ καὶ πολύτιμες πέτρες, καὶ νὰ καμαρώνουν ὑπερβολικὰ μὲ τὶς ποικιλόμορφες φορεσιὲς καὶ πολυτελῆ ροῦχα. Γιατὶ πάντοτε οἱ γυναῖκες ποὺ ζοῦν μέσα στὰ πολλὰ πλούτη εἶναι φιλόδοξες καὶ ἀγαποῦν τὴν ἐπίδειξη. Μὲ πολλὴ εὐχαρίστηση φορᾶνε ὡραῖα ἐνδύματα καὶ βέβαια στολίζονται καὶ μὲ χρυσαφικά, καὶ κρατώντας ψηλὰ τὸ μέτωπο, καυχιοῦνται γιὰ τὴ σωματικὴ ὀμορφιά τους. Καὶ γι' αὐτὸ ἀκριβῶς πολλὲς φορὲς παραφουσκώνει τὸ φρόνημα τῶν συζύγων τους καὶ θεωροῦν κάποιοι δική τους δόξα τὴν ἐπιπολαιότητα τῶν γυναικῶν. Αὐτὸ ἴσως ἔπαθαν οἱ ἐπιφανεῖς τῶν Ἰουδαίων, περιφρονώντας τὴν εὐσέβεια στὸν Θεό.

Γιὰ νὰ ἔχουν δηλαδὴ σταθερὲς γιὰ τὸν ἑαυτό τους τὶς πηγὲς τοῦ πλουτισμοῦ τους καὶ νὰ τοὺς προσκομίζει ὁ κόσμος ὅσα ὅριζε ὁ νόμος, δὲν δέχονταν τὴν πίστη στὸ Χριστό, οὔτε καὶ ἤθελαν νὰ πιστεύουν οἱ ἄλλοι, κλείνοντας τὴ βασιλεία τοῦ Θεοῦ, ὅπως ἔχει γραφεῖ, καὶ οὔτε οἱ ἴδιοι ἔμπαιναν οὔτε ἄφηναν ἐκείνους ποὺ ἤθελαν νὰ μποῦν. Γι' αὐτὸ καὶ παραδόθηκαν στὶς στρατιὲς τῶν Ρωμαίων γιὰ νὰ τοὺς ἐρημώσουν, νὰ τοὺς λεηλατήσουν,

γυναίοις τε ὁμοῦ καὶ τοῖς φιλτάτοις, οἴκοις τε καὶ πλούτῳ. Γεγόνασι γάρ ἑτέρων τὰ ὡς ἐν πλείστῃ σπουδῇ συναγηγερμένα, οἰκτροὶ δὲ αὐτοὶ καὶ ἀλῆται καὶ πρὸς ἐσχάτην ὁρῶνται ταλαιπωρίαν. Κατατρέχει τοίνυν ὁ λόγος τῶν παρ' αὐτοῖς γυναικῶν, ἤγουν τῶν θυγατέρων οἷον τῶν ἀρχουσῶν μάλιστα καὶ περιφανεστέρων, αἳ καὶ ἦσαν τῶν ἰσχυόντων, καί φησιν· «Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν», καὶ τἄ ἑξῆς Ὑψώθησαν δὲ οὐ κατὰ ἀρετήν, ἀλλ' ὡς ἐν φρονήματι σαρκικῷ καὶ γεωδεστάτῳ. Μέγα γὰρ αὐτοῖς, ὡς ἔφην, φρονεῖν ἐδόκει, ἐπὶ πλούτῳ καὶ δόξῃ καὶ ὡραϊσμοῖς τοῖς ἔξωθεν, οὓς ἐκ λίθων καὶ χρυσίου καὶ στολῆς ποικίλης συλλέγουσι. Γράφει δὲ ἡμῖν ὁ προφητικὸς ἐν τούτοις λόγος φρόνημά τε καὶ σχῆμα φιληδόνου τε καὶ ἀσέμνου γυναικὸς καὶ κόσμῳ διαφανεῖ κατηγλαϊσμένης, οἷον ἐκ μιᾶς, ἁπάσης τῆς παρ' αὐτοῖς γυναικὸς καταδεικνὺς τὴν ἀγερωχίαν.

Ἐπορεύθησαν γάρ, φησίν, ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καίτοι γυναικὶ τῇ κοσμιωτάτῃ καὶ τὸν ἐν σεμνότητι καὶ ἐπιεικείᾳ τιμώσῃ βίον, αἰδώς τέ ἐστιν ὅτι μάλιστα φίλη, καὶ πρέποι ἂν τὸ μηδὲ ὁρᾶσθαι τοῖς ἀρρένων ὀφθαλμοῖς· αἱ δὲ πρὸς τοῦτο ἐξώκειλαν βλαβίας τε ὁμοῦ καὶ ἀναισχυντίας, ὡς ἐπιδεικτιᾶν ἐν προόδοις, καὶ αἴρειν μὲν ὑψοῦ τὸν αὐχένα, διανεύειν δὲ τοῖς ὁρῶσιν αὐτάς, προσμειδιάσας ἔσθ' ὅτε, καὶ μονονουχὶ τῷ γέλωτι καθυπισχνουμένας ἤδη τοῖς ὁρῶσι τὴν σύνοδον. Ὑδαρὲς γὰρ ἀεὶ τὸ πορνικὸν φρόνημά ἐστι, καὶ πολὺ χαλᾶται πρὸς ἑτοιμότητα τὴν εἰς ἡδονάς, ἐπιτείνει δὲ αὐταῖς τὰ τῆς ῥᾳθυμίας ἐγκλήματα, καὶ πεπορνεῦσθαί φησιν, ἅμα συρούσας τοὺς χιτῶνας καὶ παιζούσας τοῖς ποσίν. Εἰκὸς δὲ ἦν οἴεσθαι, καὶ τοῦτο εἰς κόσμον συντελεῖν αὐταῖς· πορνικὸν δὲ τὸ ἐπιτή-

καὶ νὰ τοὺς ἀφανίσουν μαζὶ μὲ τὶς γυναῖκες καὶ τὰ ἀγαπητά τους πρόσωπα, τὰ σπίτια καὶ τὶς περιουσίες τους. Ἔτσι λοιπὸν πῆγαν στὰ χέρια ἄλλων ὅλα ὅσα εἶχαν μαζέψει μὲ πάρα πολὺ μεγάλη φροντίδα, καὶ οἱ ἴδιοι ἀξιολύπητοι καὶ περιπλανόμενοι καταντοῦσαν στὴν ἔσχατη ταλαιπωρία. Κατηγορεῖ λοιπὸν ὁ λόγος τὶς γυναῖκες τους ἢ τὶς θυγατέρες τους καὶ κυρίως τὶς ἀρχόντισσες καὶ πιὸ ἐπιφανεῖς ποὺ ἀνῆκαν στοὺς ἰσχυρούς, καὶ λέγει· «Ἐπειδὴ ὑπερηφανεύθηκαν οἱ θυγατέρες τῆς Σιὼν καὶ βάδισαν μὲ ὑψωμένο κεφάλι καὶ περήφανο βλέμμα», καὶ τὰ ἑξῆς. Ὑπερηφανεύθηκαν βέβαια ὄχι γιὰ τὴν ἀρετή τους, ἀλλ' ἔχοντας φρόνημα σαρκικὸ καὶ γήινο. Γιατί, ὅπως εἶπα, ὑπερηφανεύονταν γιὰ τὸν πλοῦτο καὶ τὴ δόξα τους καὶ τὰ ἐξωτερικὰ στολίδια, τὰ ὁποῖα ἀποκόμιζαν ἀπὸ πολύτιμες πέτρες καὶ χρυσὸ καὶ ποικιλόμορφα ἐνδύματα. Μ' αὐτὰ περιγράφει ὁ λόγος τοῦ προφήτη τὸ φρόνημα καὶ τὴν ἐμφάνιση φιλήδονης καὶ ἄσεμνης γυναίκας, καταστολισμένης μὲ λαμπρὰ κοσμήματα, δείχνοντας ἀπὸ μιὰ ὅλων τῶν γυναικῶν τους τὴν ἀλαζονεία.

Πράγματι λέγει, «Βάδισαν μὲ ὑψωμένο κεφάλι καὶ περήφανο βλέμμα», μολονότι βέβαια γιὰ τὴν κοσμιότατη γυναίκα, ποὺ τιμᾶ τὸν σεμνὸ καὶ ὀρθὸ τρόπο ζωῆς, ἡ ντροπὴ εἶναι τὸ πιὸ ἀγαπητὸ πρᾶγμα, καὶ τὸ πρέπον εἶναι νὰ μὴν τὴ βλέπουν κὰν μάτια ἀνδρῶν. Αὐτὲς ὅμως τόσο πολὺ ξέκλιναν σὲ ἠλιθιότητα καὶ μαζὶ καὶ ἀδιαντροπιά, ὥστε νὰ κάνουν ἐπίδειξη κατὰ τὶς ἐμφανίσεις τους καὶ νὰ σηκώνουν ψηλὰ τὸ κεφάλι, νὰ κάνουν νεῦμα σὲ ὅσους τὶς κοιτάζουν, πολλὲς φορὲς καὶ νὰ χαμογελοῦν, καὶ μὲ τὸ χαμόγελο νὰ ὑπόσχονται κατὰ κάποιο τρόπο συνεύρεση μὲ ἐκείνους ποὺ τὶς ἔβλεπαν. Γιατὶ εἶναι χαλαρὸ πάντοτε τὸ φρόνημα τῆς πόρνης κι εὔκολα δείχνει προθυμία γιὰ ἡδονές, καὶ ἐπιτείνει μ' αὐτὲς τὰ ἐγκλήματα τῆς ραθυμίας της· λέγει ἐπίσης ὅτι πορνεύονται σέρνοντας μαζὶ τοὺς χιτῶνες τους καὶ παίζοντας μὲ τὰ πόδια. Εὔλογο ἦταν νὰ νομίζουν ὅτι καὶ αὐτὸ συντελοῦσε στὸ στολισμό τους· ἀλλὰ ἡ συμπεριφορὰ αὐτὴ εἶναι πορνικὴ καὶ ἀπό-

βδελυρίας ἀπόδειξις τῆς ἐσχάτης Ὅπου γὰρ ὁ τῶν ποδῶν κτύπος εὐρύθμοις ᾄσμασι συνηχεῖ, ἐκεῖ που πάντως καὶ αὐτὸς ὁ διὰ χειρῶν ἀνακτυπεῖ κρότος, καὶ πᾶν εἶδος αἰσχρῶν ἐπιτηδευμάτων, καὶ πρόκλησις τοῖς ὁρῶσιν εἰς ἀκαθαρσίαν. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ ταπεινώσει, φησίν, ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ ἀποκαλύψει τὸ σχῆμα αὐτῶν, τοῦτ' ἔστιν ἢ περιελεῖ τὸν κόσμον, ἢ τὴν αἰσχύνην καταθήσει φανερᾶν. Ἔσται δὲ τοῦτο, ὅταν ἔρημαι καὶ γυμναὶ κόσμου παντὸς καὶ περιβολῆς ἀποδεδειγμέναι ταῖς τῶν πολεμίων ἐναλοῖεν χερσίν, δοῦλαι καὶ αἰχμάλωτοι καὶ ἁπάσης ἔμπλεοι ταλαιπωρίας

Στίχ 18-23. «Καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοῦ κόσμου αὐτῶν, καὶ τοὺς κοσύμβους αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τῆς δόξης τοῦ κόσμου αὐτῶν, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τὸ ἐμπλόκιον, καὶ τὰ περιδέξια, καὶ τοὺς δακτυλίους, καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα, καὶ τὰ μετὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικά, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον, σὺν χρυσίῳ καὶ ὑακίνθῳ συγκαθυφασμένα καὶ θέριστρα κατάκλιτα».

Ἀποκαλυφθήσεσθαι λέγων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸ σχῆμα αὐτῶν δίεισιν ἀκριβῶς καὶ τίνα δὴ τρόπον τὸ σχῆμα αὐταῖς συμβήσεται. Ὅτι γὰρ ἐν ἐνδείᾳ καὶ ἀποβολῇ πάντων ἔσονται τῶν ἐξιτήλως ἐξηυρημένων καὶ τῆς ἀρχαίας ἐκείνης εὐημερίας καὶ τρυφῆς προσαναπείθει προστιθείς, ὅτι παντὸς ἔσονται κόσμου γυμναί, τοὺς κοσύμβους ἀποβαλοῦσαι, μηνίσκους τε καὶ τὸ κάθεμα, καὶ τὰ τούτοις συνημμένα, δι' ὧν ἔστιν ἰδεῖν ἀκορέστως ἐχούσας εἰς ὡραϊσμοὺς καὶ εἰς φρόνημα τὸ φιλόκοσμον, μᾶλλον ἤδη τὸ φιλό

δειξη τῆς ἔσχατης ἀηδίας· γιατὶ ὅπου τὸ χτύπημα τῶν ποδιῶν συνηχεῖ μὲ ρυθμικὰ τραγούδια, ἐκεῖ ὁπωσδήποτε ἐκδηλώνεται καὶ ὁ ἦχος ἀπὸ τὸ χειροκρότημα καὶ κάθε εἶδος αἰσχρῶν ἐκδηλώσεων καὶ πρόκληση γι' αὐτοὺς ποὺ βλέπουν πρὸς ἀκαθαρσία. Τὸν καιρὸ λοιπὸν ἐκεῖνο θὰ ταπεινώσει, λέγει, ὁ Θεὸς τὶς θυγατέρες τῶν ἀρχόντων τῆς Σιὼν καὶ θ' ἀποκαλύψει τὴν πραγματικὴ ὄψη τους, δηλαδὴ ἢ θὰ τὶς ἀφαιρέσει τὰ στολίδια, ἢ θὰ κάνει φανερὴ τὴ ντροπή τους. Κι αὐτὸ θὰ γίνει ὅταν φανοῦν ἔρημες καὶ γυμνὲς ἀπὸ κάθε κόσμημα καὶ κάθε ἐνδυμασία καὶ πέσουν στὰ χέρια τῶν ἐχθρῶν τους δοῦλες καὶ αἰχμάλωτες καὶ περιτυλιγμένες ἀπὸ κάθε ταλαιπωρία.

Στίχ. 18-23. «Καὶ θ' ἀφαιρέσει ὁ Κύριος τὴ λαμπρότητα τῆς ἐνδυμασίας της καὶ τοῦ στολισμοῦ της, τοὺς κροσσοὺς καὶ τὶς φουρκέτετες, τὰ χρυσὰ κοσμήματα τοῦ τραχήλου καὶ τὸ περιδέραιο, τὸ στόλισμα τοῦ προσώπου καὶ τὸ σύνολο τοῦ περίλαμπρου στολισμοῦ της, τὰ περιδέραια καὶ τὰ βραχιόλια, τὰ κοσμήματα τῶν μαλλιῶν καὶ τὰ δεξιὰ βραχιόλια, τὰ δαχτυλίδια καὶ τὰ σκουλαρίκια, τὰ ἐνδύματα μὲ τὶς πορφυρὲς γιρλάντες καὶ τὰ ὁλοπόρφυρα καὶ τὰ ἐπιθέματα καὶ τὰ ροῦχα τοῦ σπιτιοῦ καὶ τὰ διάφανα λακωνικὰ καὶ τὰ βυσσινὴ καὶ τὰ ὑακίνθινα καὶ τὰ κόκκινα καὶ τὰ λινὰ ἐνδύματα τὰ συνυφασμένα μὲ χρυσὸ καὶ ὑάκινθο, καὶ τὰ θερινὰ ροῦχα καὶ τὰ ἀνάκλιντρα».

Λέγοντας ὅτι τὴν ἡμέρα ἐκείνη θ' ἀποκαλυφθεῖ τὸ σχῆμα τους, ἐκθέτει ἀκριβῶς καὶ πῶς θὰ συμβεῖ αὐτὸ τὸ πρᾶγμα. Ὅτι βέβαια θὰ τοὺς λείψουν καὶ θὰ χάσουν ὅλα τὰ ἐφευρήματα τῆς ἐπιπολαιότητας καὶ τὰ δείγματα τῆς παλαιᾶς ἐκείνης εὐημερίας καὶ τρυφῆς, πείθει προσθέτοντας, ὅτι θὰ βρεθοῦν γυμνὲς ἀπὸ κάθε στολισμό, χάνοντας τοὺς κροσσοὺς καὶ τὰ μηνοειδῆ χρυσὰ κοσμήματα καὶ τὰ περιδέραια καὶ τὰ παρόμοια μ' αὐτά, ἀπὸ τὰ ὁποῖα μπορεῖ νὰ δεῖ κανεὶς ὅτι εἶναι ἀκόρεστες σὲ στολίδια καὶ διακατέχονται ἀπὸ φρόνημα κοσμικὸ ἢ μᾶλλον ἤδη φιλοπορνι-

πορνον. Γυναιξὶ μὲν γὰρ ταῖς ἀγαθαῖς τὴν φρένα καὶ κοσμιότητος φίλαις, ἐχθρά που πάντως ἐστὶ τὰ τοιάδε τῶν ἐπιτηδευμάτων, καὶ τὰ δι' ὧν ἂν εἶεν ἐν ἀσέμνῳ σχήματι φευκτὰ καὶ μεμισημένα, τέθεινται δὲ μᾶλλον, τὸ δεῖν ἐπαινεῖσθαι διὰ πράξεων ἀγαθῶν. Ταῖς γε μὴν ἑταίραις αἷς ἂν ὁρῷτο φίλον τὸ ἑταιρίζεσθαι καὶ πασχητιᾷν πρὸς πᾶν τοὐναντίον μετακεχώρηκεν ὁ νοῦς, καὶ τἄ τῆς προθυμίας αὐταῖς ἐξ ἀντιστρόφου φέρεται. Ἐν σπουδῇ δὲ πᾶσῃ τὸ ὡραΐζεσθαι καὶ πανταχόθεν συλλέγειν τἄ εἰς τοῦτο χρήσιμα. Καὶ πρέποι ἂν ἑκάστῃ τῶν τοιούτων ἀκούειν· «Ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος». Μέμνηται δὲ τῆς οὕτως ἀσέμνου καὶ σεσοβημένης καὶ ὁ Σολομὼν λέγων· «Τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς· ἀγαθὸς πρὸ προσώπου Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ».

Καὶ ταυτὶ μὲν ἡμῖν εἴς γε τὸ παρὸν εἰρήσεται περὶ γυναικῶν ἀσέμνων καὶ πονηρῶν. Ἰστέον δὲ ὅτι διὰ φωνῆς Ἰεζεχιὴλ πρὸς τὴν Ἰουδαίων Συναγωγὴν διαλέγεται Θεός, ὡς πρὸς μίαν γυναῖκα, ἣν καὶ κόσμῳ ποικίλῳ κατακαλλῦναί φησιν. Ἔχει δὲ οὕτω περὶ αὐτῆς γεγραμμένα· «Καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σέ, καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι. Καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει Ἀδωναϊ Κύριος, καὶ ἐγένου μοι, καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἀπέπλυνα τὸ αἷμα ἀπὸ σοῦ, καὶ ἔχρισά σε ἐν ἐλαίῳ, καὶ ἐνέδυσά σε ποικίλα, καὶ ὑπέδυσά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ, καὶ περιέβαλόν σε τριχάπτῳ, καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλλια περὶ τὰς χεῖράς σου, καὶ κἄθεμα περὶ τὸν τράχηλόν σου. Καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου, καὶ τροχίσκους περὶ τὰ ὦτά σου, καὶ στέφανον καυχήσεως περὶ τὴν κεφαλήν σου. Καὶ ἐκόσμησά σε κόσμῳ χρυσῷ καὶ ἀργυρῷ, καὶ τὰ περιβόλαιά σου βύσσινα καὶ τρίχαπτα καὶ ποικίλα».

κό. Γιατὶ γιὰ τὶς γυναῖκες ποὺ ἔχουν φρόνιμα ἀγαθὸ καὶ ἀγαποῦν τὴν κοσμιότητα ὁπωσδήποτε ὅλα αὐτὰ τὰ ἐπινοήματα εἶναι ἐχθρικά, καὶ ἄξια ἀποφυγῆς καὶ μισητὰ ὅλα τὰ τῆς ἄσεμνης περιβολῆς, καὶ μᾶλλον ἐπιδίωξή τους ἔχουν τοὺς ἀπαίνους γιὰ τὶς ἀγαθὲς πράξεις τους. Στὶς ἑταῖρες ὅμως στὶς ὁποῖες ἀρέσει νὰ πορνέυονται καὶ νὰ παραδίδονται σὲ ἀσέλγειες, ὁ νοῦς τους μεταβαίνει πρὸς τὰ τελείως ἀντίθετα καὶ ἡ ἐπιθυμία τους στρέφεται πρὸς τὰ ἀντίθετα. Ὅλη ἡ φροντίδα τους εἶναι ὁ καλλωπισμὸς καὶ ἀπὸ παντοῦ νὰ μαζεύουν τὰ χρήσιμα γι᾽ αὐτόν. Θὰ ἔπρεπε ὅμως κάθε μιὰ ἀπὸ αὐτές νὰ ἀκούει· «Κινεῖται σὰν φτερωτὴ καὶ ἀσωτεύει»[88]. Αὐτὴν τὴν τόσο ἄσεμνη καὶ παραλυμένη τὴν ἀναφέρει καὶ ὁ Σολομὼν λέγοντας· «Τὴ γυναίκα ποὺ εἶναι παγίδα γιὰ τὸν ἄνδρα καὶ ἡ καρδιὰ της δίχτυα καὶ τὰ χέρια της ἁλυσίδες· ὁ εὐσεβὴς ἐνώπιον τοῦ Θεοῦ θὰ γλυτώσει ἀπὸ αὐτήν, ἐνῶ ὁ ἁμαρτωλὸς θὰ αἰχμαλωτισθεῖ ἀπὸ αὐτήν»[89].

Καὶ αὐτὰ βέβαια θὰ ποῦμε πρὸς τὸ παρὸν γιὰ τὶς ἄσεμνες καὶ φαῦλες γυναῖκες. Πρέπει ὅμως νὰ γνωρίζομε, ὅτι μέσω τοῦ Ἰεζεκιὴλ ὁ Θεὸς συνομιλεῖ μὲ τὴ Συναγωγὴ τῶν Ἰουδαίων σὰν μὲ κάποια γυναίκα, τὴν ὁποία λέγει ὅτι θὰ τὴν στολίσει καὶ μὲ κάθε εἴδους κοσμήματα. Γράφει τὰ ἑξῆς γι᾽ αὐτήν· «Ἄπλωσα τὰ φτερά μου ἐπάνω σου καὶ σκέπασα τὴν ἀσχημοσύνη σου καὶ σοῦ ὁρκίσθηκα, καὶ ἔκανα συμφωνία μαζί σου, λέγει Ἀδωναῖ ὁ Κύριος, καὶ ἔγινες δική μου. Σὲ ἔλουσα τότε μὲ νερὸ καὶ ἀφοῦ ἔπλυνα τὰ αἵματα ἀπὸ πάνω σου καὶ σέ ἔχρισα μὲ λάδι, σοῦ φόρεσα ποικιλόχρωμα ἐνδύματα καὶ σανδάλια μὲ ὑάκινθο, σὲ ἔζωσα μὲ ζώνη ἀπὸ βύσσο καὶ σὲ περιέβαλα μὲ ἔνδυμα λεπτὸ δαντελλωτό, σὲ στόλισα μὲ διάφορα στολίδια, σοῦ φόρεσα βραχιόλια στὰ χέρια καὶ περιδέραιο γύρω ἀπὸ τὸ λαιμό, σοῦ ἔβαλα σκουλαρίκι στὴ μύτη καὶ σκουλαρίκια στὰ αὐτιά σου καθὼς καὶ λαμπρὸ στεφάνι στὸ κεφάλι σου. Σὲ στόλισα καὶ μὲ κοσμήματα χρυσὰ καὶ ἀργυρά, τὰ ἐνδύματά σου ἦταν ἀπὸ βύσσο καὶ ὁ μανδύας σου ἀπὸ δαντέλλες καὶ ἄλλα πολύχρωμα στολίδια»[90].

---

88. Παροιμ. 7, 11. 89. Ἐκκλησ. 7, 26. 90. Ἰεζ. 16, 8-13.

Οὐκοῦν ποικίλῳ μὲν κόσμῳ καταφαιδρύνει Θεὸς τὴν προσοικειουμένην αὐτῷ ψυχὴν καὶ τοῖς ἐξ ἀρετῶν αὐχήμασιν πολυτρόπως στεφανοῖ. Ἀλλὰ τοῖς μὲν διασώζουσι τὴν ἑαυτῶν πολιτείαν ἀμώμητον καὶ διατελοῦσιν ἐν ἁγιασμῷ, τὰ τῆς εὐκοσμίας τῆς νοητῆς ἐν ἐπιδόσεσιν ἔσται μείζοσι, καὶ ἀκράδαντα διαμενεῖ, τοῖς γε μὴν διαπίπτουσιν ἐφ' ἃ μὴ προσῆκεν ἑτοίμως καὶ ἀπονεύουσιν ἐλαφρῶς εἰς τὰ τῆς φαυλότητος ἔργα, συμβήσεται πάντως ἐν ἀποβολῇ γενέσθαι παντὸς ἀγαθοῦ καὶ τῶν πάλαι δεδωρημένων νοσῆσαι τὴν ἐρημίαν. Περιπεσεῖται γὰρ πονηροῖς τε καὶ ἀκαθάρτοις ἐρασταῖς, τοῖς ἄρχουσι τοῦ αἰῶνος τούτου καὶ τοῖς κοσμοκράτορσι τοῦ σκότους τούτου, τοῖς πνευματικοῖς τῆς πονηρίας, οἳ δὴ μάλιστα τὰς ἐναρέτους θηρῶσι ψυχάς. Τρυφὴ γὰρ αὐτοῖς τὸ καταστρέφειν αὐτάς Καθάπερ ἀμέλει καὶ τοῖς τῶν πτηνῶν θηρευταῖς ἀξιόληπτον εἶναί τι τὸ χρῆμα δοκεῖ τὰ τῶν στρουθίων περικαλλέστερα. Γέγραπται δέ που καὶ περὶ τοῦ Σατανᾶ, ὅτι «τὰ βρώματα αὐτοῦ ἐκλεκτά». Οὐκοῦν ἀκόλουθον ἡμᾶς ἐγρηγορέναι τε καὶ ἀνδρίζεσθαι μετὰ Θεοῦ καὶ διαμεμνῆσθαι λέγοντος τοῦ μακαρίου Παύλου, ὥστε· «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ». Δεῖ δὲ δὴ πρὸς τούτῳ Θεῷ τῷ πάντα ἰσχύοντι προσιόντας λέγειν ἐν προσευχαῖς· «Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει δύναμιν».

Στίχ 24-26. «Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περιζώσῃ σάκκον. Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν σὺ ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται. Καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται καὶ ταπεινωθήσονται, καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ».

---

91. Ἀββακ. 1, 16. 92. Α' Κορ. 10, 12. 93. Ψαλμ. 29, 8.

Μὲ ποικίλο στολισμὸ λοιπὸν ὁ Θεὸς ὀμορφαίνει τὴν ψυχὴ ποὺ κερδίζει τὴν ἀγάπη της καὶ μὲ πολλοὺς τρόπους τὴ στεφανώνει μὲ τὰ καυχήματα τῶν ἀρετῶν. Ἀλλὰ βέβαια ὅσοι διασώζουν ἄμεμπτο τὸν τρόπο τῆς ζωῆς τους καὶ διατηροῦν στὴ ζωή τους τὸν ἁγιασμό, ἡ ἐπίδοσή τους στὴν πνευματικὴ κοσμιότητα θὰ εἶναι μεγαλύτερη καὶ θὰ μείνει ἀπαρασάλευτη, ὅσοι ὅμως πέφτουν πρόθυμα σ' αὐτὰ ποὺ δὲν θὰ ἔπρεπε καὶ ἀποκλίνουν ἐπιπόλαια στὰ ἔργα τῆς φαυλότητας θὰ συμβεῖ ὁπωσδήποτε νὰ χάσουν κάθε ἀγαθὸ καὶ νὰ στερηθοῦν καὶ ὅλα ὅσα τοὺς εἶχαν δωρηθεῖ παλαιά. Γιατὶ θὰ περιπέσουν σὲ πονηροὺς καὶ ἀκάθαρτους ἐραστές, στοὺς ἄρχοντες τοῦ αἰώνα αὐτοῦ καὶ στοὺς κοσμοκράτορες τοῦ σκότους αὐτοῦ, στὰ πνεύματα τῆς πονηρίας, ποὺ συλλαμβάνουν στὰ δίχτυα τους προπάντων τὶς ἐνάρετες ψυχές. Γιατὶ ἀπόλαυσή τους εἶναι νὰ τὶς καταστρέφουν, ὅπως βέβαια καὶ οἱ κυνηγοὶ πουλιῶν θεωροῦν ὅτι εἶναι ἀξιόλογο πρᾶγμα τὸ νὰ κυνηγοῦν τὰ ὡραιότερα ἀπὸ τὰ πουλιά. Ἔχει ἐπίσης γραφεῖ κάπου καὶ γιὰ τὸν Σατανᾶ ὅτι «τὰ φαγητά του εἶναι ἐκλεκτά»[91]. Εἶναι λοιπὸν λογικὸ ἐμεῖς νὰ βρισκόμαστε σὲ ἐγρήγορση καὶ νὰ ἀγωνιζόμαστε μὲ τὴ βοήθεια τοῦ Θεοῦ μὲ γενναιότητα καὶ νὰ θυμόμαστε τὸν μακάριο Παῦλο ποὺ λέγει· «Αὐτὸς ποὺ νομίζει ὅτι στέκεται, νὰ προσέχει μήπως πέσει»[92]. Πρέπει λοιπὸν γι' αὐτὸ νὰ προσερχόμαστε στὸν Θεὸ καὶ νὰ τοῦ λέμε στὴν προσευχή μας· «Κύριε, μὲ τὸ θέλημά σου ἔδωσες στὸ κάλλος τοῦ σώματός μου δύναμη»[93].

Στίχ. 24-26. «Καὶ θὰ συμβεῖ ἀντὶ τῆς γλυκειᾶς εὐωδίας νὰ περιβληθεῖς μὲ κονιορτό, καὶ ἀντὶ ζώνης νὰ ζωσθεῖς μὲ σχοινί, καὶ ἀντὶ τῶν χρυσῶν στολιδιῶν τοῦ κεφαλιοῦ, νὰ ἔχεις φαλάκρα ἐξαιτίας τῶν ἔργων σου, καὶ ἀντὶ τοῦ πορφυροῦ χιτώνα θὰ φορέσεις στὴ μέση σάκκο. Τὸ πανέμορφο παιδί σου ποὺ ἀγαπᾶς θὰ φονευθεῖ ἀπὸ μαχαίρι, καὶ οἱ ἰσχυροί σας θὰ πέσουν ἀπὸ μαχαίρι καὶ θὰ ταπεινωθοῦν, θὰ πενθήσουν οἱ θῆκες τῶν κοσμημάτων σας, καὶ θ' ἀπομείνεις μόνη καὶ κατεδαφισμένη κάτω στὴ γῆ».

Οὐ μάτην ἐν τούτοις οἱοιτό τις ἰσχνολογεῖ λίαν ὁ προφητικὸς ἡμῖν λόγος, ἕκαστα δὲ τὰ ταῖς τρυφώσαις καθ' ἡδονὴν δίεισιν ἀκριβῶς τά τε εἴδη τοῦ κόσμου καὶ αὐτὰς τὰς πάλαι τρυφάς. Εἶτα ὅτι συμβήσεται πάντῃ τε καὶ πάντως παθεῖν αὐτὰς τὴν τῶν οὕτως ἡδίστων ἀποβολήν, διακεῖσθαι βούλεται μονονουχὶ συντήκων εἰς λύπας, καὶ εἰς ἀνάμνησιν τῆς εὐημερίας ὡς ἤδη παθούσας ἀνακομίζων ἀστείως, ἵνα τῇ τῶν ἐσομένων προσδοκίᾳ καὶ τοῖς ἐντεῦθεν δείμασι, μᾶλλον δὲ καὶ ἀφορήτοις συμφοραῖς καταπτοήσας γοργῶς μεταστήσῃ πρὸς εὐκοσμίαν καὶ εἰς τὸ τῷ Θεῷ δοκοῦν ἀναπείσῃ παλινδρομεῖν. Συμβήσεται τοίνυν, φησίν, οὐκ ἐν μόνῃ στερήσει τοῦ κόσμου γενέσθαι τὰς οὕτω τρυφώσας, ἀλλὰ γὰρ καὶ ἔσται, ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός, τοῦτ' ἔστιν ἀντὶ τῶν οἴκων τῶν τεθυμιαμένων, ὁδοιπορίαι μακραὶ καὶ κονιορτώδεις, ἀποφερομένων αὐτῶν εἰς αἰχμαλωσίαν τρυφεροῖς ἔτι ποσί. Καὶ οὐχὶ δὴ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ἔσονται καὶ ἐν σχήματι καὶ ἐν εἴδει τῷ λίαν ἀτιμωτάτῳ, ὡς ἀντὶ ζώνης χρυσῆς σχοινίῳ περιδεδέσθαι μόνῳ, καὶ ἐν γυμνότητι κεφαλῆς, ἤγουν φαλακρώματι, καίτοι πάλαι χρυσοῖς κοσύμβοις ἀνεσφιγμένης. Ἄμφιον δὲ δίδωσιν αὐταῖς, ὃ ταῖς αἰχμαλώταις πρέπον, παχύ τε καὶ εὐτελές, ὃ καὶ ὀνομάζει σάκκον, καὶ τοῦτο αὐταῖς ἀντὶ τοῦ μεσοπορφύρου χιτῶνος καὶ τρυφερῶν ἐσθημάτων. Προσεπάγει δὲ τούτοις, ὅτι «Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται». Ἔθος γὰρ τοῖς ἑλοῦσι πόλιν ἢ χώραν ἐξ αὐτῆς ἁρπάζειν θήλεις καὶ κόλπων μητρὸς τὰ μικρά τε καὶ ὑποτίτθια βρέφη φονεύειν ὠμῶς, ἵνα βαδίζοιεν αἱ τούτων μητέρες οὐ πεφορτισμέναι, καὶ μὴ τῇ τῶν νηπίων φροντίδι κατηχθισμέναι.

Οὐκοῦν ἢ κατὰ τοῦτον τὸν τρόπον μαχαίρᾳ πεσεῖσθαί φησι τὸν ἀγαπητὸν αὐταῖς υἱόν, ἢ καὶ ἑτέρως μαχόμενον καὶ τῇ τῶν πολεμίων τεθνεῶτα χειρί. Πενθήσειν γε μὴν τὰς

Θὰ νόμιζε κανεὶς ὅτι δὲν λεπτολογεῖ μ' αὐτὰ ἀσκοπα ὁ προφητικὸς λόγος, ἀλλὰ ἐκθέτει μὲ ἀκρίβεια ὅσα προξενοῦν εὐχαρίστηση σ' αὐτὲς ποὺ ζοῦν στὴν τρυφὴ καὶ τὰ εἴδη τῶν στολιδιῶν καὶ τὶς ἴδιες τὶς παλιὲς ἀπολαύσεις. Ἔπειτα μὲ τὸ ὅτι ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο θὰ συμβεῖ νὰ ὑποστοῦν τὴν ἀπώλεια τῶν τόσο εὐχάριστων γι' αὐτές, θέλει λειώνοντάς τους κατὰ κάποιο τρόπο μὲ τὶς λύπες ποὺ ἔπαθαν ἤδη νὰ τοὺς μεταφέρει μὲ τρόπο ὡραῖο στὴν ἀνάμνηση τῆς εὐημερίας, ὥστε μὲ τὴν προσδοκία τῶν μελλοντικῶν καὶ τοὺς ἀπὸ ἐδῶ φόβους, ἢ μᾶλλον καταφοβίζοντας αὐτὲς μὲ τὶς ἀνυπόφορες συμφορές, νὰ τὶς μεταφέρει στὴν κοσμιότητα καὶ νὰ τὶς πείσει νὰ ἐπιστρέψουν στὸ ἀρεστὸ στὸν Θεό. Θὰ συμβεῖ λοιπόν, λέγει, ὅσες ἀπολάμβαναν αὐτὰ τὰ καλὰ ὄχι μόνο νὰ στερηθοῦν τὰ στολίδια τους, ἀλλὰ καὶ ἀντὶ τῆς εὐχάριστης εὐωδίας θὰ τὶς περιβάλει κονιορτός, δηλαδὴ ἀντὶ τῶν γεμάτων ἀπὸ εὐωδία σπιτιῶν, θὰ ὑποστοῦν μακρὲς ὁδοιπορίες γεμᾶτες κονιαρτό, ὅταν θὰ ὁδηγοῦνται στὴν αἰχμαλωσία μὲ τὰ τρυφερὰ ἀκόμα πόδια τους. Καὶ δὲν εἶναι μόνο αὐτό, ἀλλὰ θὰ βρεθοῦν μὲ μορφὴ καὶ ὄψη τῆς πιὸ περιφρονημένης, κι ἀντὶ χρυσῆς ζώνης θὰ εἶναι δεμένες μὲ ἁπλὸ σχοινί, καὶ μὲ κεφάλι γυμνό, δηλαδὴ φαλακρό, μολονότι παλαιὰ ἦταν περισφιγμένο μὲ χρυσοὺς κροσσούς. Ἔνδυμα πάλι δίνει σ' αὐτὲς αὐτὸ ποὺ ταιριάζει στοὺς αἰχμάλωτους, χονδρὸ καὶ μηδαμινό, τὸ ὁποῖο καὶ ὀνομάζει σάκκο, κι αὐτὸ ἀντὶ τοῦ ὁλοπόρφυρου χιτώνα καὶ τῶν ἁπαλῶν ἐνδυμάτων. Προσθέτει ἐπίσης σ' αὐτά, ὅτι «Καὶ τὸ πανέμμορφο παιδί σου, ποὺ τὸ ἀγαπᾶς θὰ σκοτωθεῖ ἀπὸ μαχαίρι». Γιατὶ ὑπάρχει συνήθεια ὅσοι καταλαμβάνουν μιὰ πόλη ἢ μιὰ χώρα ν' ἁρπάζουν ἀπὸ αὐτὴ τὶς γυναῖκες καὶ ἀποσπώντας ἀπὸ τὴν ἀγκαλιὰ τῆς μητέρας τὰ μικρὰ ποὺ θηλάζουν νὰ τὰ σκοτώνουν μὲ ἀπανθρωπιά, γιὰ νὰ περπατοῦν οἱ μητέρες τους χωρὶς φορτίο καὶ νὰ μὴ βαρύνονται μὲ τὴ φροντίδα τῶν νηπίων.

Ἄρα λοιπὸν ἢ μ' αὐτὸ τὸν τρόπο, λέγει, θὰ σκοτωθεῖ ἀπὸ μαχαίρι ὁ ἀγαπητὸς υἱός τους, ἢ καὶ μὲ ἄλλο τρόπο πολεμώντας καὶ φονευόμενος ἀπὸ τὸ χέρι τῶν ἐχθρῶν. Εἶπε ἐπίσης ὅτι θὰ

θήκας ἔφη τοῦ κόσμου αὐτῶν, οὐχ ὡς τῶν αἰσθητῶν θηκῶν πενθεῖν δυναμένων, ἀλλ' ὡς ἂν εἴ τις λέγοι καὶ οἶκον πενθεῖν οὐδενὸς οἰκοῦντος ἐν αὐτῷ. Προσεπάγει δὲ τούτοις τό, «Καὶ καταλειφθήσῃ μόνη καὶ εἰς γῆν ἐδαφισθήσῃ», τοῦτ' ἔστιν ἔσῃ τις ἐλεεινὴ καὶ κατερριμμένη καὶ οἷον εἰς γῆν κειμένη. Τοιοῦτος γάρ πως ὁ βίος τῶν ἐν αἰχμαλωσίᾳ καὶ ἀθλιότητι καὶ σκληρᾷ καὶ ἀφορήτῳ δουλείᾳ. Πάνδεινον οὖν ἄρα τὸ προσκροῦσαι Θεῷ καὶ τοῦ ἐν ψυχαῖς καταφρονῆσαι κάλλους Τοὺς γάρτοι λίαν ἀπονενευκότας ἐπὶ τὸ ῥᾴθυμον, παντὸς ἐξίστησι κόσμου Θεός, δῆλον δὲ ὅτι τοῦ νοητοῦ, καὶ γυμνοὺς ἀποφήνας ἁπάσης ἀρετῆς παραδίδωσι τοῖς ἐχθροῖς. Οὕτω φαμὲν δεδόσθαι τινὰς εἰς ἀδόκιμον νοῦν καὶ εἰς πάθη ἀτιμίας Συνέχοντος μὲν γὰρ ἡμᾶς εἰς ἰσχὺν τὴν πνευματικὴν τοῦ ἐπὶ πάντας Θεοῦ, διασώζομεν ἐν ἑαυτοῖς τὸ λαμπρὸν τῆς ἰδίας φύσεως κάλλος Ἀφιστάντος δὲ τὴν ἐπικουρίαν, γυμνοὶ δὴ πάντως ἐσόμεθα παντὸς ἀγαθοῦ, καὶ τῶν ἐξ ἀρετῆς αὐχημάτων ἀποβαλόντες τὴν ὡραιότητα, τοῖς τῆς ἀτιμίας πάθεσιν ὑποκεισόμεθα καὶ δουλεύσομεν ἐχθροῖς.

ΚΕΦ. 4, στίχ 1. «Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνός, λέγουσαι· Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν».

Διαπεράνας εὖ μάλα τὸν λόγον, ἐπί γε ταῖς Ἰουδαίων γυναιξὶ ταῖς ἐκ τρυφῆς καὶ πλούτου βαδιουμέναις εἰς αἰχμαλωσίαν, πειρᾶται δεικνύειν, ὅτι κένανδροι μὲν αἱ τῆς Ἰουδαίας ἀπομενοῦσι πόλεις, ἔσονται δὲ καὶ ἐν σπάνει πολλῇ τῶν πάλαι μαχιμωτάτων. Ἔφη γάρ, ὅτι «Πάντες οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται». Ποία τις οὖν ὧν ἔφην ἡ δεῖξις; Εὐφυῶς ἄγαν καὶ ἀστείως ἐσκευασμένη. Νόμου γὰρ

94. Ρωμ. 1, 28.

95. Ρωμ. 1, 26.

πενθήσουν οἱ θῆκες τῶν κοσμημάτων τους, ὄχι ὅτι μποροῦν νὰ πενθοῦν οἱ αἰσθητὲς θῆκες, ἀλλ' ὅπως ἂν ἔλεγε κάποιος ὅτι πενθεῖ καὶ τὸ σπίτι ἐπειδὴ δὲν κατοικεῖ κανένας σ' αὐτό. Σ' αὐτὰ προσθέτει· «Καὶ θ' ἀπομείνεις μόνη καὶ κατεδαφισμένη πάνω στὴ γῆ», δηλαδὴ θὰ εἶσαι ἐλεεινὴ καὶ γκρεμισμένη καὶ ξαπλωμένη κατὰ κάποιο τρόπο πάνω στὴ γῆ. Γιατὶ τέτοιος περίπου εἶναι ὁ βίος ἐκείνων ποὺ ζοῦν σὲ αἰχμαλωσία καὶ ἀθλιότητα σκληρὴ κι ἀνυπόφορη δουλεία. Ἄρα λοιπὸν εἶναι πολὺ φοβερὸ τὸ νὰ ρθεῖ κανεὶς σὲ σύγκρουση μὲ τὸν Θεὸ καὶ τὸ νὰ περιφρονήσει τὸ κάλλος τῆς ψυχῆς. Γιατὶ αὐτοὶ ποὺ ἔχουν παραδοθεῖ στὴν ἀδιαφορία, τοὺς ἀφαιρεῖ ὁ Θεὸς κάθε κόσμημα, καὶ ἀσφαλῶς πνευματικό, κι ἀφοῦ τοὺς παρουσιάσει γυμνοὺς ἀπὸ κάθε ἀρετή, τοὺς παραδίδει στοὺς ἐχθρούς. Ἔτσι λέμε ὅτι κάποιοι παραδόθηκαν σὲ ἀδόκιμο νοῦ[94] καὶ πάθη ἀτιμίας[95]. Ὅταν δηλαδὴ ὁ Θεὸς τῶν ὅλων μᾶς συγκρατεῖ στὴν πνευματικὴ δύναμη, διασώζουμε μέσα μας τὴ λαμπρὴ ὀμορφιὰ τῆς φύσεώς μας, ἐὰν ὅμως ἀποσύρει τὴ βοήθειά του, θὰ μείνομε ὁπωσδήποτε γυμνοὶ ἀπὸ κάθε ἀγαθὸ καὶ ἀποβάλοντας τὴν ὡραιότητα τῶν καυχημάτων τῆς ἀρετῆς, θὰ μποῦμε κάτω ἀπὸ τὸ ζυγὸ τῶν παθῶν τῆς ἀτιμίας καὶ θὰ γίνουμε δοῦλοι τῶν ἐχθρῶν μας.

ΚΕΦ. 4, στίχ. 1. «Ἑπτὰ (πολλὲς) γυναῖκες τότε θὰ πιάσουν ἕναν ἄνδρα καὶ θά του λένε· Θὰ τρῶμε τὸ ψωμί μας καὶ θὰ φοροῦμε τὰ ἐνδύματά μας, ἀρκεῖ μόνο νὰ ὀνομαζόμαστε μὲ τὸ ὄνομά σου, ἀπαλλασσόμενες ἔτσι ἀπὸ τὴν περιφρόνηση».

Ἀφοῦ τελείωσε πολὺ καλὰ τὸ λόγο γιὰ τὶς Ἰουδαῖες γυναῖκες, οἱ ὁποῖες ἀπὸ τὴν τρυφὴ καὶ τὸν πλοῦτο θὰ βαδίσουν πρὸς τὴν αἰχμαλωσία, ἐπιχειρεῖ νά δείξει ὅτι θ' ἀπομείνουν ἄδειες ἀπὸ ἄνδρες οἱ πόλεις τῆς Ἰουδαίας, καὶ θὰ ἔχουν πολὺ μεγάλη ἔλλειψη ἀπὸ τοὺς πρώην μαχιμότατους. Γιατὶ εἶπε· «Ὅλοι οἱ δυνατοὶ ἄνδρες σας θά πέσουν νεκροὶ ἀπὸ μαχαίρι». Ποιὰ λοιπὸν εἶναι ἡ ἀπόδειξη γι' αὐτὰ ποὺ εἶπα; Εἶναι κατασκευασμένη μὲ πολλὴ εὐφυΐα καὶ κομψότητα. Ἐπειδὴ δηλαδὴ ὁ Μωσαϊκὸς νόμος λέγει

δὴ τοῦ διὰ Μωσέως λέγοντος τοῖς υἱοῖς Ἰσραήλ, «Οὐκ ἔσται ἔν σοι ἄγονος οὐδὲ στεῖρα»· ἐν ἐσχάτοις ὀνειδισμοῖς παρὰ τοῖς Ἰουδαίοις λελόγιστο τὸ γυναῖκα μὴ τεκεῖν, ἤγουν ἄγονον εἶναί τινα τῶν τελούντων ἐν ἀνδράσιν. Εὐθὺς γὰρ αὐτοῖς ὁ τῆς ἀγόνου καὶ στείρας προσετρίβετο μῶμος Καὶ πνευματικὸς μὲν ὁ νόμος ἦν. Ἐπηγγέλλετο γὰρ ὁ τῶν ὅλων Θεὸς ὅτι ὁ νοητὸς Ἰσραήλ, τοῦτ' ἔστι νοῦς ὁρῶν Θεόν, οὐκ ἄκαρπος ἔσται, οὔτε ἀπεστειρωμένος, ἔγκαρπος δὲ μᾶλλον καὶ γῆ τις ὥσπερ καλὴ καὶ ἐξαίρετος. Πλὴν ἐνόουν Ἰουδαῖοι σαρκικῶς, ψυχικοὶ γὰρ ἦσαν, πνεῦμα μὴ ἔχοντες. Ἔσται τοίνυν, φησίν, τοσαύτη σπάνις ἀρρένων κατὰ τὴν χώραν, δαπανήσαντος τοῦ πολέμου τὸ γένος, ὡς ἑπτὰ γυναῖκας, ἤτοι πολλάς, ἑνὸς ἀνδρὸς ἐπιλαμβάνεσθαι καὶ λέγειν· «Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὸ ἱμάτιον ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἀφεῖλε τὸν ὀνειδισμὸν ἡμῶν». Ὁρᾷς ὅπως δεδείασι τῆς ἀτοκίας τὸν ὀνειδισμὸν καὶ τὸ τῆς ἀγόνου καὶ στείρας παραιτοῦνται ὄνομα λίαν; Προσέρχονται γὰρ οὐ τὰ συνήθη ζητοῦντες, καὶ ὅσα δέχεσθαι γυναιξὶ παρὰ τῶν συνοικούντων ἔθος, ἑαυταῖς γὰρ ἀρκέσειν εἰς τοῦτό φασιν, αἰτοῦσι δὲ μόνον, ὡς ἔφην, τοῦ ὀνειδισμοῦ τὴν ἀφαίρεσιν.

Ἄθρει δὴ οὖν τοῦ λόγου τὸ βάθος. Εἰ μὲν γὰρ πλούσιος ἦν ὁ παρακαλούμενος, οὐκ ἂν ἔφασαν αἱ γυναῖκες, Τὸν ἄρτον ἡμῶν φαγόμεθα καὶ τὸ ἱμάτιον ἡμῶν περιβαλούμεθα, ἐπειδὴ δὲ ἴσασι τοὺς ἐκ τοῦ πολέμου σεσωσμένους καὶ διαφυγόντας μόλις ἐν ἐσχάτῃ πεσόντας πτωχείᾳ καὶ πολλὴν ἔχοντας ἀθλιότητα, ζητοῦσι μὲν παρ' αὐτῶν παντελῶς οὐδέν, αἰτοῦσι δὲ μόνον τὸ τέκνων γενέσθαι μητέρες Καὶ ὁ μὲν λόγος τῆς ἱστορίας ἐν τούτοις. Ἀποκομίζουσι δὲ τὸ προκείμενον εἰς θεωρίαν πνευματικήν, οὐκ οἶδ' ὅπως, τινές, οὐ σφόδρα ποιοῦντες ὀρθῶς· ἦ γὰρ ἂν ἐπαίνου παντὸς ἦσαν ἄξιοι. Φασὶ γὰρ εἶναι ἑπτὰ τὰς γυναῖκας, τὰ ἑπτὰ πνεύμα-

στοὺς Ἰσραηλῖτες, «Δὲν θὰ ὑπάρχει σὲ σένα γυναίκα ἄγονη οὔτε στεῖρα»[96], θεωροῦνταν ἀπὸ τοὺς Ἰουδαίους ὡς ἡ μεγαλύτερη ντροπὴ τὸ νὰ μὴ κάνει παιδὶ μιᾶ γυναίκα ἢ νὰ εἶναι ἄγονος κάποιος ἄνδρας. Ἀμέσως δηλαδὴ τοὺς ἀποδιδόταν ἡ μομφὴ τῆς ἄγονης καὶ τῆς στείρας. Καὶ ὁ νόμος βέβαια εἶχε νόημα πνευματικό. Γιατὶ ὑποσχόταν ὁ Θεὸς τῶν ὅλων ὅτι ὁ πνευματικὸς Ἰσραήλ, δηλαδὴ ὁ νοῦς ποὺ βλέπει τὸν Θεό, δὲν θὰ εἶναι ἄκαρπος οὔτε στεῖρος, ἀλλὰ γεμᾶτος μᾶλλον ἀπὸ καρπὸ καὶ σὰν κάποια γῆ καλὴ καὶ ἐξαίρετη. Οἱ Ἰουδαῖοι ὅμως τὰ ἐννοοῦσαν αὐτὰ σαρκικά. Γιατὶ ἦταν ψυχικοὶ καὶ δὲν εἶχαν πνεῦμα. Θὰ ὑπάρχει λοιπόν, λέγει, τόση ἔλλειψη ἀνδρῶν στὴ χώρα, ἐπειδὴ ὁ πόλεμος θὰ ἔχει ἐξαφανίσει τὸ ἀνδρικὸ φύλο, ὥστε ἑπτὰ γυναῖκες, δηλαδὴ πολλές, θὰ παίρνουν ἕναν ἄνδρα καὶ θὰ λένε· «Θὰ τρῶμε τὸ ψωμί μας καὶ θὰ φοροῦμε τὰ ἐνδύματά μας· ἀρκεῖ μόνο νὰ ὀνομαζόμαστε μὲ τὸ ὄνομά σου· ἀπάλλαξέ μας ἀπὸ τὴ ντροπή». Βλέπεις πῶς φοβοῦνται τὴ μομφὴ τῆς ἀτεκνίας καὶ ἀποφεύγουν πάρα πολὺ τὸν χαρακτηρισμὸ τῆς ἄγονης καὶ στείρας; Γιατὶ προσέρχονται στὸ γάμο χωρὶς νὰ ζητοῦν τὰ συνηθισμένα καὶ ὅσα εἶναι συνήθεια νὰ δέχονται οἱ γυναῖκες ἀπὸ τοὺς συζύγους τους, ἀλλὰ θὰ εἶναι, λένε, ἀρκετὸ γι' αὐτὲς αὐτὸ μόνο, ὅπως εἶπα, ἡ ἀφαίρεση τοῦ ὀνειδισμοῦ.

Πρόσεχε λοιπὸν τὸ βάθος τοῦ λόγου του. Ἂν δηλαδὴ ἦταν πλούσιος ἐκεῖνος ποὺ παρακαλοῦσαν, δὲν θὰ ἔλεγαν οἱ γυναῖκες, «Θὰ τρῶμε τὸ ψωμί μας καὶ θὰ φοροῦμε τὰ ἐνδύματά μας», ἐπειδὴ ὅμως γνωρίζουν ὅτι αὐτοὶ ποὺ σώθηκαν ἀπὸ τὸν πόλεμο καὶ διέφυγαν μὲ δυσκολία βρέθηκαν στὴν ἔσχατη φτώχεια καὶ ζοῦν σὲ μεγάλη ἀθλιότητα, δὲν ζητοῦν ἀπὸ αὐτοὺς τίποτε ἀπολύτως, ἀλλὰ νὰ γίνουν μόνο μητέρες. Καὶ ἡ ἱστορία βέβαια εἶναι αὐτή. Κάποιοι ὅμως ἀποδίδουν, δὲν ξέρω πῶς, στὰ ἐξεταζόμενα πνευματικὴ ἑρμηνεία, χωρὶς νὰ εἶναι αὐτὸ πολὺ σωστό· γιατὶ ἀλλιῶς θὰ ἦταν ἄξιοι κάθε ἐπαίνου. Λένε δηλαδὴ ὅτι οἱ ἑπτὰ γυναῖκες

96. Δευτ. 7,14.

τα, ἄνθρωπόν γε μὴν ἕνα τὸν Χριστόν. Εἶτα τοῦ πρέποντος ὀλίγα πεφροντικότες, τὰ ἑπτὰ πνεύματά φασι λέγειν οὕτως· Ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν, καὶ τὸν ἄρτον ἡμῶν φαγόμεθα καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα. Καίτοι πῶς οὐκ ἄμεινον εἰπεῖν τὰς ἑπτὰ γυναῖκας πολλὰς εἶναι ψυχάς, αἳ καὶ ἐπελάβοντο διὰ πίστεως τοῦ Χριστοῦ, αὐτὸν ὡς ἄρτον ζητοῦσαι καὶ ὡς ἱμάτιον σωτηρίου καὶ τὸν ἀπ' αὐτοῦ ζητοῦσαι καρπόν; Τοιοῦτον γάρ τι καὶ ὁ μακάριος ἔφη Δαβὶδ περὶ τοῦ πάντων Σωτῆρος Χριστοῦ· «Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα τέκνων εὐφραινομένην». Εἴρηται δὲ καὶ στεῖρα τεκεῖν ἑπτά, τοῦτ' ἔστι πολλά. Διάφοροι γὰρ ἀρεταί, καὶ οὐ μία μᾶλλον, ἀλλὰ πολλαί, ὧν εἰσι μητέρες αἱ φιλόθεοι ψυχαί.

Στίχ. 2-3. «Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ, καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ καταλειφθὲν ἐν Ἰερουσαλήμ ἅγιοι κληθήσονται πάντες οἱ κληθέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ».

Ἐνδοιαζόντων τινῶν κατὰ ποῖον ἔσται καιρὸν τὰ ἐπί γε ταῖς τῶν Ἰουδαίων γυναιξίν, ἤτοι πάσης αὐτῶν τῆς χώρας προαναιρεθέντος διὰ τῆς τοῦ προφήτου φωνῆς, πότερα πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ἤγουν μετ' αὐτήν, πεπληροφόρηκεν ἁπλανῶς τῶν προκειμένων ἡ δύναμις, ὡς οὐχ ἕτερον ἡμῖν ὁ προφήτης κατασημαίνει καιρόν, ἢ ἐκεῖνον αὐτὸν καθ' ὃν τῆς εἰς Χριστὸν δυσσεβείας ἕνεκα. Πεπαρῳνήκασι γὰρ εἰς αὐτὸν οἱ δείλαιοι, καὶ τὴν αὐτοῖς ὅτι μάλιστα πρέπουσαν ἀποτετίκασι δίκην, κυκλουμένης ὑπὸ στρατοπέδων τῆς Ἰερουσαλήμ. Ὅτε καὶ εἰς τοῦτο δειμάτων κατακομισθῆναί φαμεν τῶν Ἰουδαίων τὸν νοῦν, ὡς «φάναι τοῖς ὄρεσι, «Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς, Πέσετε ἐφ' ἡμᾶς». Τῇ τοίνυν, φησίν, ἡμέρᾳ ἐκείνῃ, τοῦτ' ἔστι

εἶναι τὰ ἑπτὰ πνεύματα, καὶ ὁ ἕνας ἄνθρωπος εἶναι ὁ Χριστός. Ἔπειτα, φοντίζοντας λίγο γιὰ τὸ πρέπον, λένε ὅτι τὰ ἑπτὰ πνεύματα λέγουν τὰ ἑξῆς· Ἀφαίρεσε τὴν ντροπή μας καὶ θὰ φᾶμε τὸ ψωμί μας καὶ θὰ φορέσομε τὰ ροῦχα μας. Ἂν καὶ βέβαια πῶς δὲν ἦταν καλύτερο νὰ ποῦν, ὅτι οἱ ἑπτὰ γυναῖκες εἶναι οἱ πολλὲς ψυχὲς ποὺ καὶ ἔλαβαν μέσω τῆς πίστεως τὸν Χριστό, ζητώντας αὐτὸν ὡς ἄρτο καὶ ἔνδυμα σωτηρίας, ἀλλὰ καὶ ζητώντας τὸν καρπὸ ποὺ αὐτὸς δίνει; Γιατὶ κάτι παρόμοιο εἶπε καὶ ὁ μακάριος Δαβὶδ γιὰ τὸν Σωτήρα τῶν ὅλων Χριστό· «Αὐτὸς ποὺ ἐγκαθιστᾶ στὸ σπίτι στεῖρα, καὶ ποὺ γίνεται μητέρα γεμάτη ἀπὸ εὐφροσύνη ἀπὸ τὴν ἀπόκτηση παιδιῶν»[97]. Εἰπώθηκε ἐπίσης καὶ ὅτι μιὰ στεῖρα γέννησε ἑπτὰ παιδιὰ[98], δηλαδὴ πολλά. Γιατὶ εἶναι διάφορες οἱ ἀρετές, καὶ ὄχι μόνο μία, ἀλλὰ πολλές, τῶν ὁποίων μητέρες εἶναι οἱ φιλόθεες ψυχές.

Στίχ. 2-3. «Ἐκείνη τὴν ἡμέρα σύμφωνα τὴν ἀπόφασή του θὰ λάμψει ὁ Θεὸς πάνω στὴ γῆ μὲ δόξα, γιὰ νὰ ἐξυψώσει καὶ νὰ δοξάσει τὸ ὑπόλοιπο τοῦ Ἰσραήλ, καὶ τότε τὸ ὑπόλειμμα τῆς Σιὼν καὶ τὸ ὑπόλειμμα τῆς Ἱερουσαλὴμ θὰ ὀνομασθοῦν ἅγιοι, ὅλοι ὅσοι κλήθηκαν στὴ ζωὴ μέσα στὴν Ἱερουσαλήμ».

Ἐπειδὴ ἀμφέβαλλαν κάποιοι ποιὸ καιρὸ θὰ συμβοῦν ὅσα γράφονται γιὰ τὶς γυναῖκες τῶν Ἰουδαίων, ἢ γιὰ ὅλη τὴ χώρα τους ὅσα προαναγγέλθηκαν μὲ τοὺς λόγους τοῦ προφήτη, ποιὸ ἀπὸ τὰ δύο· πρὶν ἀπὸ τὴν ἔλευση τοῦ Σωτήρα, ἢ ἔπειτα ἀπὸ αὐτήν, μᾶς πληροφόρησε ἀλάνθαστα τὸ νόημα ὅσων εἴπαμε, ὅτι ὁ προφήτης δὲν δηλώνει ἄλλον καιρό, παρὰ ἐκεῖνον κατὰ τὸν ὁποῖο θὰ συμβοῦν ὅλα ἐκεῖνα ἐξαιτίας τῆς ἀσέβειάς τους πρὸς τὸν Χριστό. Γιατὶ φέρθηκαν μὲ παραφροσύνη ἐναντίον του οἱ δυστυχεῖς καὶ πλήρωσαν μὲ τὴν τιμωρία ποὺ τοὺς ταίριαζε, ὅταν περικύκλωσαν τὰ στρατεύματα τὴν Ἱερουσαλήμ, ὅταν σὲ τόσο μεγάλο φόβο περιῆλθε ὁ νοῦς τῶν Ἰουδαίων, ὥστε «νὰ ποῦν στὰ ὄρη, «Σκεπάστε μας, καὶ στὰ βουνά, Πέσατε πάνω μας»[99]. Ἐκείνη

97. Ψαλμ. 112, 9. 98. Α΄ Βασ. 2, 5. 99. Λουκᾶ 23, 30.

κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν εἰς πέρας δραμεῖται τὰ προηγγελμένα, ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ. Ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς Λόγος «οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ», βαθὺ δέ τι καὶ ἀπόρρητον ἐβουλεύσατο περὶ ἡμῶν. Ἐν μορφῇ γὰρ καὶ ἰσότητι Θεοῦ καὶ Πατρὸς ὑπάρχων, γέγονε καθ' ἡμᾶς, καὶ ἐπεφάνη μὲν τοῖς ἐπὶ τῆς γῆς, πλὴν οὐ δίχα δόξης, καὶ εἰ γέγονε σάρξ Εἰργάσατο γὰρ τὰ θεοπρεπῆ καὶ σημείων γέγονεν ἀποτελεστής, ἃ δὴ καὶ παντὸς ἄξιοῦται καὶ λόγου καὶ θαύματος. Ἐπιλάμψας γὰρ κατηλέησε τὸν Ἰσραήλ, οὐ γὰρ ἀπόλωλεν εἰσάπαν. Τετήρηται δὲ τὸ κατάλειμμα, ὑψώθη τε καὶ δεδόξασται, καὶ ἐν βίβλῳ γέγραπται ζωῆς διαπρέψαν ἐν ἁγιασμῷ.

Ἴδοι δ' ἄν τις ἀληθῆ τῆς προφητείας τὸν λόγον, ὡς ἐν ἀπαρχῇ τῶν σεσωσμένων τοῖς ἁγίοις ἀποστόλοις, οἳ καὶ ὑψώθησαν ἀληθῶς, καὶ τοῖς θείοις χαρίσμασιν ἐκλελαμπρυσμένοι, τὸ ἐν δόξῃ περιφανὲς πεπλουτήκασιν. Ἔλαβον γὰρ ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά. Τεθεραπεύκασι γὰρ καὶ ἐν ἀρρωστίαις ὄντας πολλούς, ἀλλ' ἦσαν καὶ ἐν βίβλῳ γεγραμμένοι ζωῆς Καὶ γοῦν ἔχαιρον μὲν ὅτι τὰ δαιμόνια ὑπετάσσετο αὐτοῖς, καὶ τοῦτο λέγουσιν ὑπήντα Χριστός, καὶ τοῖς ἔτι μείζοσιν ἐπιγάννυσθαι διδάσκων αὐτούς· «Μὴ χαίρετε», φησίν, «ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Ὑψώθησαν τοίνυν οἱ ἐξ Ἰσραήλ, ὡς ἐν μοίρᾳ τῇ τοῦ ἐγκαταλείμματος περισεσωσμένοι· ἠξίωνται γὰρ τῆς παρὰ Χριστοῦ φιλοτιμίας καὶ χάριτος· υἱοὶ κεχρηματίκασι Θεοῦ, ἀδελφοὶ δὲ αὐτοῦ καὶ φίλοι, κοινωνοὶ τέθεινται τῆς δόξης, ἠξίωνται δὲ καὶ τῆς ἄνωθεν καὶ ἐν οὐρανοῖς ἀπογραφῆς, καὶ πολῖται κεχρηματίκασι τῆς νοητῆς Ἱερουσαλήμ, τῆς τῶν ἁγίων μητρός, ἧς αὐτὸς ὁ προφήτης Ἡσαΐας διαμέμνηται λέγων·

λοιπὸν τὴν ἡμέρα, λέγει, δηλαδὴ ἐκεῖνον τὸν καιρὸ ποὺ θὰ ἐκπληρωθοῦν τὰ προαγγελμένα, θὰ λάμψει πάνω στὴ γῆ ὁ Θεός, σύμφωνα μὲ τὸ σχέδιό του, μὲ δόξα, γιὰ νὰ ἐξυψώσει καὶ νὰ δοξάσει τὸ ὑπόλειμμα τοῦ Ἰσραήλ. Γιατὶ ὁ Λόγος ποὺ προῆλθε ἀπὸ τὸν Θεὸ Πατέρα δὲν θεώρησε ἁρπαγῆς τὴν ἰσότητά του μὲ τὸν Θεό, ἀλλὰ σχεδίασε γιὰ μᾶς κάτι βαθὺ κι ἀνέκφραστο. Ἂν καὶ εἶχε δηλαδὴ τὴ μορφὴ καὶ τὴν ἰσότητα μὲ τὸν Θεὸ Πατέρα, ἔγινε ἄθρωπος καὶ φανερώθηκε στοὺς ἀνθρώπους, ὄχι ὅμως χωρὶς δόξα, μολονότι εἶχε λάβει σάρκα. Γιατὶ ἔπραξε ὅσα ταιριάζουν στὸν Θεὸ καὶ πραγματοποίησε καταπληκτικὰ ἔργα, ποὺ εἶναι ἄξια γιὰ κάθε λόγο καὶ θαυμασμό. Ὅταν βέβαια ἔλαμψε πάνω στὴ γῆ ἐλέησε τὸν Ἰσραήλ, ἀφοῦ δὲν χάθηκε ὁλοσχερῶς. Γιατὶ διατηρήθηκε τὸ ὑπόλοιπο, ὑψώθηκε καὶ δοξάσθηκε καὶ ἔχει γραφεῖ στὸ βιβλίο τῆς ζωῆς, λάμποντας μὲ τὸν ἁγιασμό του.

Μπορεῖ νὰ δεῖ κανεὶς ὅτι ἐπαλήθευσε ὁ λόγος τῆς προφητείας ἔχοντας ὡς ἀπαρχὴ τοὺς ἁγίους ἀποστόλους, οἱ ὁποῖοι καὶ ὑψώθηκαν ἀληθινά, καὶ λαμπροὶ ἀπὸ τὰ θεῖα χαρίσματα δέχθηκα πλούσια τὴ λαμπρότητα τῆς δόξας. Γιατὶ ἔλαβαν ἐξουσία ἐναντίον τῶν ἀκαθάρτων πνευμάτων, ὥστε νὰ τὰ βγάζουν ἀπὸ τοὺς ἀνθρώπους, θεράπευσαν ἐπίσης καὶ πολλοὺς ἀρρώστους, ἀλλὰ ἦταν καὶ γραμμένοι στὸ βιβλίο τῆς ζωῆς. Καὶ χαίρονταν βέβαια ποὺ τὰ δαιμόνια ὑπάκουαν σ' αὐτούς, ἀλλὰ λέγοντάς το τοὺς ἀπαντοῦσε ὁ Χριστός, διδάσκοντάς τους νὰ χαίρονται γιὰ τὰ ἀκόμα μεγαλύτερα· γιατὶ τοὺς ἔλεγε· «Μὴ χαίρεστε ποὺ τὰ δαιμόνια ὑπακούουν σὲ σᾶς, ἀλλὰ νὰ χαίρεστε πιὸ πολὺ ποὺ τὰ ὀνόματά σας ἔχουν γραφεῖ στοὺς οὐρανούς»[1]. Ὑψώθηκαν λοιπὸν οἱ Ἰσραηλῖτες ὡς πρὸς τὸ μέρος ποὺ ἔμεινε καὶ περισώθηκε. Γιατὶ ἀξιώθηκαν τὴ δόξα τοῦ Χριστοῦ καὶ τὴ χάρη, ἔγιναν υἱοὶ τοῦ Θεοῦ, ἀδελφοί του καὶ φίλοι του, ἔγιναν κοινωνοὶ τῆς δόξας του, ἀξιώθηκαν τῆς ἄνω καὶ οὐράνιας ἀπογραφῆς, καὶ ἔγιναν πολίτες τῆς νοητῆς Ἱερουσαλήμ, τῆς μητέρας τῶν ἁγίων, ποὺ τὴν ἀναφέρει ὁ ἴδιος ὁ προφήτης Ἡσαΐας λέγοντας· «Τὰ μάτια σου

1. Λουκᾶ 10, 20.

«Οἱ ὀφθαλμοί σου ὄψονται Ἰερουσαλήμ· πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν».

Στίχ. 4. «Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως».

Ἀνανήφει πάλιν ὁ τοῦ προφήτου λόγος καὶ τὰς ἐσομένας ἔσθ' ὅτε παρά τινων εὐρεσιλογίας περιττὰς ἀποφαίνει, καὶ τῶν τοῦ Θεοῦ κριμάτων κατεξανίστασθαί τισι κατ' οὐδένα τρόπον ἐφιεὶς προαπολογεῖται χρησίμως, ὥσπερ γάρ τινος ἐκεῖνο βοῶντος· Ὑψωθήσονται πάλιν οἱ υἱοὶ Ἰσραήλ· δοξασθήσονται δὲ καὶ τὴν ἄνω κερδανοῦσιν ἀπογραφήν, καίτοι δεδυσσεβήκασιν οὐ μετρίως, ἀπεκτόνασι τοὺς προφήτας, ἐλιθοβόλησαν τοὺς ἀπεσταλμένους, καὶ αὐτὸν δὲ τελευτῶντες προσέθεσαν τὸν Χριστόν, καὶ γεγόνασιν αὐτῶν αἱ χεῖρες αἵματος πλήρεις Τί οὖν ὁ προφήτης; «Ἐκπλυνεῖ», φησί, «Κύριος τὸν ῥύπον τῶν υἱῶν, καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως». Πεπλημμελήκασι μὲν γὰρ ὁμολογουμένως· ἐδικαίου δὲ πάντας ἡ χάρις ἡ διὰ Χριστοῦ, καὶ αὐτοῖς δὲ τοῖς πεφονευκόσιν ἐχαρίζετο τὴν ἀμνηστίαν. Καὶ γοῦν ὁ θεσπέσιος Πέτρος τοῖς Ἰουδαίων δήμοις προσεφώνει λέγων, ποτὲ μέν, ὅτι «Ὑμεῖς δὲ τὸν Ἅγιον καὶ Δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσατε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν», ποτὲ δὲ πάλιν· «Καὶ νῦν, ἀδελφοί, οἶδα, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν». «Μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος· ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι καὶ τοῖς τέκνοις ὑμῶν».

Ὁ τοίνυν, φησίν, ὁ τῶν ὅλων δημιουργὸς καὶ Κύριος, ὁ πολὺς εἰς ἔλεος, ὁ νικῶν ἡμερότητι τὰς ἀνθρωπίνας μικροψυχίας, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ

2. Ἡσ. 33, 20. 3. Πράξ. 3, 14.

θὰ δοῦν τὴν Ἱερουσαλήμ, πόλη πλούσια, μὲ σκηνὲς ποὺ δὲν θὰ κλονισθοῦν»[2].

Στίχ. 4. «Ὁ Κύριος θὰ ξεπλύνει τὴν ἀκαθαρσία τῶν υἱῶν καὶ τῶν θυγατέρων τῆς Σιὼν καὶ θὰ καθαρίσει τὸ αἷμα ἀπὸ ἀνάμεσά τους μὲ καταδικαστικὴ ἀπόφαση, μὲ φλόγα φωτιᾶς».

Γίνεται πάλι νηφάλιος ὁ προφητικὸς λόγος καὶ ἀποδεικνύει περιττὲς τὶς εὐρεσιλογίες πολλὲς φορὲς κάποιων καὶ μὴ ἐπιτρέποντας μὲ κανένα τρόπο νὰ ξεσηκώνονται κάποιοι ἐναντίον τῶν ἀποφάσεων τοῦ Θεοῦ προαπολογεῖται μὲ τρόπο χρήσιμο, φωνάζοντας σὰν κάποιος ἐκεῖνο· Θὰ ὑψωθοῦν πάλι οἱ Ἰσραηλῖτες, θὰ δοξασθοῦν καὶ θὰ κερδίσουν τὴν οὐράνια ἀπογραφή τους, μολονότι βέβαια ἔδειξαν ὄχι μικρὴ ἀσέβεια, ἀφοῦ σκότωσαν τοὺς προφῆτες, λιθοβόλησαν τοὺς ἀπεσταλμένους, καὶ τέλος πρόσθεσαν στὸν κατάλογο καὶ τὸν ἴδιο τὸν Χριστὸ καὶ γέμισαν τὰ χέρια τους μὲ αἵματα. Τί λέγει ὅμως ὁ προφήτης; «Θὰ ξεπλύνει», λέγει, «ὁ Κύριος τὴν ἀκαθαρσία τῶν υἱῶν καὶ τῶν θυγατέρων τῆς Σιὼν καὶ θὰ καθαρίσει τὸ αἷμα ἀπὸ ἀνάμεσά τους μὲ καταδικαστικὴ ἀπόφαση καὶ φλόγα φωτιᾶς». Ἔσφαλαν βέβαια πραγματικά· δικαίωνε ὅμως ὅλους ἡ χάρη τοῦ Χριστοῦ καὶ χάριζε καὶ σ' αὐτοὺς ἀκόμα ποὺ τὸν σκότωσαν τὴν ἀμνηστία. Καὶ πράγματι ὁ θεσπέσιος Πέτρος ἀπευθυνόταν στὸν Ἰουδαϊκὸ λαὸ καὶ τοὺς ἔλεγε, ἄλλοτε, «Ἐσεῖς ἀρνηθήκατε τὸν Ἅγιο καὶ Δίκαιο καὶ ζητήσατε νὰ σᾶς χαρισθεῖ ἕνας φονιάς»[3], καὶ ἄλλοτε πάλι· «Καὶ τώρα, ἀδελφοί, γνωρίζω ὅτι τὸ κάνατε αὐτὸ ἀπὸ ἄγνοια, ὅπως καὶ οἱ ἄρχοντές σας. Μετανοῆστε λοιπὸν καὶ βαπτισθεῖτε καθένας σας στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ, καὶ θὰ λάβετε τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος· γιατὶ σ' ἐσᾶς δόθηκαν οἱ ὑποσχέσεις καὶ στὰ παιδιά σας»[4].

Ὁ δημιουργός, λέγει, καὶ Κύριος τῶν ὅλων μὲ τὸ ἀμέτρητο ἔλεος, αὐτὸς ποὺ νικᾶ μὲ τὴν ἡμερότητά του τὶς μικροψυχίες τῶν ἀνθρώπων, ποὺ δὲν θέλει τὸ θάνατο ἐκείνου ποὺ πεθαίνει, παρὰ

4. Πράξ. 3, 17 καὶ 2, 38.

ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν, ἐκπλυνεῖ τὸν ῥύπον τῶν ἡμαρτηκότων, ἐκκαθαριεῖ δὲ καὶ τὸ αἷμα ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως Καὶ τὸ μὲν τῆς κρίσεως πνεῦμά φαμεν τὴν μετὰ κρίσεως ὀρθῆς, ἤτοι δικαιοσύνης, ἐξενεχθεῖσαν ἐφ' ἡμῖν παρὰ Θεοῦ ψῆφον. Οὕτω γάρ πού φησιν ὁ Σωτήρ· «Νῦν κρίσις ἐστὶ τοῦ αἰῶνος τούτου». Ἐδίκασε γὰρ τῷ αἰῶνι τούτῳ καὶ τῷ Σατανᾷ, καὶ τὸν μὲν ἐκβέβληκεν ὡς ἠδικηκότα, δεδικαίωκε δὲ τοὺς ἐν τῷ κόσμῳ διὰ τῆς πίστεως ὡς ἠδικημένους. «Καύσεως δὲ πνεῦμά» φαμεν τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι χάριν, οὐ δίχα Πνεύματος ἐν ἡμῖν γινομένην. Βεβαπτίσμεθα μὲν γὰρ οὐκ ἐν ὕδατι γυμνῷ, ἀλλ' οὐδὲ σποδῷ δαμάλεως. ἐρραντίσμεθα δὲ πρὸς μόνην τὴν τῆς σαρκὸς καθαρότητα, καθά φησιν ὁ μακάριος Παῦλος, ἀλλ' ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ τῷ θείῳ καὶ νοητῷ, τοὺς τῆς ἐν ἡμῖν φαυλότητος δαπανῶντι ῥύπους καὶ τὸν ἐκ τῆς ἁμαρτίας ἐκτήκοντι μολυσμόν.

Τοιαύτην ἡμῖν τοῦ Σωτῆρος τὴν ἄφιξιν καὶ ἕτερος τῶν ἁγίων προφητῶν προκαταμεμήνυκε λέγων· «Ὅτι ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον». Περὶ μὲν γὰρ τῶν Ἰουδαίων, οἳ καὶ τοῖς τῆς ἀπειθείας ἐγκλήμασιν ἔνοχοι μεμενήκασιν· «Ἐξέλιπε», φησί, «φυσητὴρ ἀπὸ πυρός, ἐξέλιπε μόλιβδος, εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ. Πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν· ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτούς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος». Ἐφ' ἡμῖν δὲ τοῖς πεπιστευκόσιν, οὐκ εἰς κενὸν κεκοπίακεν ἀργυροκόπος, οὔτε μὴν ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς ἢ μόλιβδος, κεκαθάρμεθα γὰρ ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως. Εἰ δὲ δὴ βούλοιτό τις τὴν ἐν πνεύματι καύσεως ἀποκάθαρσιν γεγενῆσθαι λέγειν ἐπὶ τοῖς Ἰουδαίων δήμοις διὰ τῆς ἐκ τοῦ πολέμου συμφορᾶς καὶ ὧν

τὸ νὰ ἐπιστρέψει ἀπὸ τὸ δρόμο τῆς κακίας καὶ νὰ ζήσει, θὰ ξεπλύνει τὴν ἀκαθαρσία τῶν ἁμαρτωλῶν, θὰ καθαρίσει καὶ τὸ αἷμα ἀπὸ ἀνάμεσά τους μὲ πνεῦμα καταδικαστικῆς κρίσης καὶ φλόγα φωτιᾶς. Καὶ πνεῦμα βέβαια καταδικαστικῆς κρίσης ὀνομάζομε τὴν ἀπόφαση τοῦ Θεοῦ ποὺ πάρθηκε γιὰ μᾶς μὲ ὀρθὴ κρίση. Γιατὶ αὐτὸ λέγει κάπου ὁ Σωτήρας· «Τώρα γίνεται δίκη τοῦ κόσμου αὐτοῦ»[5]. Πράγματι δίκασε τὸν κόσμο αὐτὸ καὶ τὸν Σατανᾶ. Καὶ τὸν Σατανᾶ βέβαια τὸν πέταξε ἔξω ἐπειδὴ ἀδίκησε, δικαίωσε ὅμως τοὺς ἀνθρώπους μέσω τῆς πίστεως ἐπειδὴ εἶχαν ἀδικηθεῖ. Πνεῦμα πάλι φωτιᾶς λέμε τὴ χάρη κατὰ τὸ ἅγιο βάπτισμα, ποὺ δὲν δίνεται σὲ μᾶς χωρὶς τὸ ἅγιο Πνεῦμα. Δὲν βαπτισθήκαμε δηλαδὴ μὲ ἁπλὸ νερό, οὔτε ραντισθήκαμε μὲ στάχτη δαμαλιοῦ γιὰ τὴν καθαριότητα τῆς σάρκας μόνο, ὅπως λέγει ὁ μακάριος Παῦλος[6], ἀλλὰ μὲ Πνεῦμα ἅγιο καὶ φωτιὰ θεία καὶ πνευματική, ποὺ ἐξαλείφει τοὺς ρύπους τῆς φαυλότητας ποὺ ὑπάρχει σὲ μᾶς καὶ διαλύει τὸν μολυσμὸ τῆς ἁμαρτίας.

Τέτοιον προανήγγειλε τὸν ἐρχομὸ τοῦ Σωτήρα κι ἕνας ἄλλος ἅγιος προφήτης λέγοντας· «Νά, αὐτὸς πορεύεται σὰν φωτιὰ σὲ χωνευτήρι καὶ σὰν σταχτόνερο (ἁλισίβα) αὐτῶν ποὺ πλύνουν, καὶ θὰ κατεβεῖ μὲ βίαιο τρόπο ἀναχωνεύοντας τοὺς ἀνθρώπους ὅπως τὸ ἀσήμι καὶ τὸ χρυσάφι»[7]. Γιὰ τοὺς Ἰουδαίους βέβαια, ποὺ ἔμειναν ἔνοχοι τῶν ἐγκλημάτων τῆς ἀνυπακοῆς, λέγει· «Σταμάτησε πιὰ νὰ ὑπάρχει τὸ φυσερὸ στὴ φωτιά, ἔλειψε τὸ μολύβι, μάταια ὁ νομισματοκόπτης ἐπεξεργάζεται τὸν ἄργυρο. Οἱ πονηρίες τους δὲν ἔλειωσαν· χαρακτηρίστε τους ἀργύριο ἀποδοκιμασμένο (ἀκατάλληλο), γιατὶ τοὺς ἀπέρριψε ὁ Κύριος»[8]. Γιὰ μᾶς ὅμως ποὺ πιστέψαμε δὲν κοπίασε ἄσκοπα ὁ νομισματοκόπος, οὔτε ἔπαυσε νὰ ὑπάρχει τὸ φυσερὸ στὴ φωτιὰ ἢ τὸ μολύβι, γιατὶ καθαρισθήκαμε μὲ πνεῦμα καταδικαστικῆς ἀπόφασης καὶ φλόγα φωτιᾶς. Κι ἂν θελήσει κάποιος νὰ πεῖ, ὅτι ἡ κάθαρση στὸν Ἰουδαϊκὸ λαὸ μὲ πνεῦμα (φλόγα) φωτιᾶς ἔγινε μὲ τὴ συμφορὰ

5. Ἰω. 12, 31.
6. Ἑβρ. 9, 13-14.
7. Μαλαχ. 3, 2-3.
8. Ἱερ. 6, 29.

ὑπομεμενήκασιν (ἀποκαθαίρουσι μὲν γὰρ αἱ κολάσεις καὶ ἀπαλλάττει ἔσθ' ὅτε πολλῶν πλημμεληµάτων τὸ ὑποσχεῖν τὰς δίκας τῷ πάντων κριτῇ), φορέσει καὶ οὕτω τὸ ἀληθὲς ὁ λόγος

Στίχ. 5-6. «Καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. Καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ».

Περὶ τίνος ἄρα τό, «Ἥξει», φησί; Πότερα, τοῦ καιροῦ καθ' ὃν ἔσται ταῦτα, ἢ περὶ τοῦ καθέντος ἑαυτὸν εἰς κένωσιν καὶ καταβάντος ἐξ οὐρανοῦ, ἵνα τὸ ἀνθρώπινον διασώσῃ γένος; Ἁρμόσει τοίνυν ὁ λόγος, κἂν εἴ τέ τις λέγοι περὶ τοῦ καιροῦ τῆς ἐπιδημίας εἰρῆσθαι ταυτί, κἂν εἴτ' οὖν ἐπ' αὐτοῦ βούλοιτο τοῦ Χριστοῦ. Ἀφικόμενος γὰρ τοὺς τῆς νοητῆς Σιὼν υἱοὺς καὶ τῆς ἐλευθέρας Ἱερουσαλὴμ τῆς παρ' ἑαυτοῦ χάριτος στεφανῶν ἀπέφηνε μακαρίους, καὶ οἷόν τις αὐτοῖς γέγονε σκεπαστής, μονονουχὶ τὴν ἀρχαίαν ἐκείνην ἐπαρτήσας νεφέλην τὴν πάλαι κατασκιάζουσαν ἐν τῇ ἐρήμῳ τὸν Ἰσραήλ· ταύτῃ τοί φησι· «Καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ τὰ πάντα τὰ περὶ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας». Ἵνα γὰρ τοῦ παρόντος βίου τὸν καύσωνα καὶ τὰς ἐκ τῶν πειρασμῶν δοκιμασίας, ἤγουν πυρώσεις, διαδιδράσκοιεν οἱ τὴν νοητὴν οἰκοῦντες Σιών, τοῦτ' ἔστι τὴν Ἐκκλησίαν, νεφέλης δίκην μονονουχὶ καὶ ἐπικρεμάμενος σκεπαστὴς ἔσται, φησίν, ὁ Χριστός· ὁ αὐτὸς δὲ πάλιν τὸν ἐκ τῆς ἀμαθίας καὶ διαβολικῆς σκαιότητος ἀποσοβεῖ σκότον, ἐπιλάμπων εἰς νοῦν ὡς φῶς ἐν σκότῳ καὶ ὡς πυρὸς αὐγή. Γέγραπται δὲ περὶ τῶν υἱῶν Ἰσραήλ, ὅτι

τοῦ πολέμου καὶ μὲ ὅσα ὑπέμειναν (γιατὶ καθαρίζουν οἱ τιμωρίες καὶ πολλὲς φορὲς ἀπαλλάσουν ἀπὸ πολλὰ πταίσματα γιὰ νὰ ἐμπιστευθεῖς τὴν κρίση στὸν κριτὴ τῶν ὅλων), κι ἔτσι ὁ λόγος θὰ εἶναι ἀληθινός.

Στίχ. 5-6. «Καὶ θὰ ἔρθει, καὶ τότε κάθε τόπος τοῦ ὄρους Σιὼν καὶ ὅλα τὰ γύρω ἀπὸ τὴν Ἱερουσαλὴμ θὰ τὰ σκιάσει σύννεφο τὴν ἡμέρα, ἐνῶ τὴ νύχτα θὰ φωτίζεται σὰν ἀπὸ καπνὸ καὶ φῶς φωτιᾶς ποὺ θὰ καίει, καὶ ὁ τόπος θὰ σκεπασθεῖ ἀπὸ ὅλη τὴ δόξα του. Καὶ θὰ εἶναι ὅλα σὲ σκιὰ προστατευόμενα ἀπὸ τὸν καφτερὸ ἥλιο, σκεπασμένα καὶ κρυμμένα ἀπὸ τὸν σκληρὸ καιρὸ καὶ τὴ βροχή».

Γιὰ ποιὸν ἄραγε λέγει τό, «Θὰ ἔρθει»; Γιὰ ποιὸ ἀπὸ τὰ δύο, γιὰ τὸν καιρὸ ποὺ θὰ συμβοῦν αὐτά, ἢ γιὰ Ἐκεῖνον ποὺ δέχθηκε νὰ κενωθεῖ καὶ κατέβηκε ἀπὸ τὸν οὐρανὸ γιὰ νὰ σώσει τὸ ἀνθρώπινο γένος; Ὁ λόγος βέβαια ταιριάζει εἴτε ὑποστηρίζει κανεὶς ὅτι αὐτὰ εἰπώθηκαν γιὰ τὸν καιρὸ τῆς ἐπιδημίας, εἴτε θέλει νὰ τὰ ἐκλάβει γιὰ τὸν ἴδιο τὸν Χριστό. Γιατὶ ὅταν ἦρθε, στεφανώνοντας μὲ τὴ χάρη του τοὺς υἱοὺς τῆς νοητῆς Σιὼν καὶ τῆς ἐλεύθερης Ἱερουσαλήμ, τοὺς παρουσίασε μακάριους καὶ ἔγινε σὰν κάποιος σκεπαστής τους, ἁπλώνοντας κατὰ κάποιο τρόπο ἐπάνω τους τὴν ἀρχαία ἐκείνη νεφέλη, ποὺ ἐπισκίαζε στὴν ἔρημο τὴν παλαιὰ ἐκείνη ἐποχὴ τὸν Ἰσραήλ. Γι᾽ αὐτὸ βέβαια λέγει· «Καὶ θὰ ἔρθει, καὶ τότε κάθε τόπος τοῦ ὄρους Σιὼν καὶ ὅλα τὰ γύρω ἀπὸ τὴν Ἱερουσαλὴμ μέρη θὰ τὰ σκιάσει τὴν ἡμέρα σύννεφο». Γιὰ νὰ ἀποφύγουν δηλαδὴ τὸν καύσωνα τῆς παρούσας ζωῆς καὶ τὶς δοκιμασίες ἀπὸ τοὺς πειρασμούς, ἤτοι τὶς πυρώσεις, ὅσοι κατοικοῦν στὴ νοητὴ Σιών, δηλαδὴ τὴν Ἐκκλησία, σὰν σύννεφο κατὰ κάποιο τρόπο καὶ σκεπαστὴς κρεμασμένος ἀπὸ πάνω της θὰ εἶναι, λέγει, ὁ Χριστός, καὶ ὁ ἴδιος πάλι θὰ ἀπομακρύνει τὸ σκοτάδι τῆς ἀμάθειας καὶ τῆς διαβολικῆς κακίας, λάμποντας στὸ νοῦ σὰν φῶς στὸ σκοτάδι καὶ σὰν πύρινη φλόγα. Ἔχει βέβαια γραφεῖ γιὰ τοὺς Ἰσραηλῖτες, ὅτι τοὺς ὁδήγησε μὲ

«Ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός».

Ἀλλὰ τύποι μὲν ἐκεῖνα καὶ τῶν νοητῶν εἰκόνες, ἀλήθεια δὲ τὰ διὰ Χριστοῦ. Καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια, οὗ τῆς ἐπικουρίας ἠξιωμένοι, πάντῃ τε καὶ πάντως ἔσονται, φησίν, ὡς εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Σκληρότητι δὲ καὶ ὑετοῖς παρεικάζει πάλιν τὴν τῶν πειρασμῶν φαιδρότητα καὶ ἀκμαιοτάτην προσβολήν. Οὕτω γάρ πού φησιν ὁ Χριστός· «Πᾶς οὖν ὅστις ἀκούῃ λόγους τούτους καὶ ποιῇ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ πέτραν». Προστιθεὶς δέ, ὅτι «Πάσῃ τῇ δόξῃ σκεπασθήσεται», δίδωσι νοεῖν, ὡς οὐ μερική τις ἔσται παρὰ Χριστοῦ τοῖς πεπιστευκόσιν εἰς αὐτὸν ἡ χάρις, ἀλλ' ἐν ὁλοκλήρῳ προθυμίᾳ τῆς ἐπ' αὐτοῖς ἔσται φειδοῦς. Ἔσονται δὲ ἐν περιβολῇ καὶ σκηνῇ τοῦ σώζειν ἰσχύοντος καὶ παντὸς ἔξω τιθέντος κακοῦ.

ΚΕΦ. 5, στίχ. 1. «Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου».

Ὅρος ὥσπερ τις καὶ προγραφὴ τῶν εἰρῆσθαι μελλόντων ὁ πρῶτος ἂν εἴη τοῦ προκειμένου στίχος. Τί γὰρ βούλεται δρᾶν ὁ προφήτης ὑποσημαίνει, λέγων, «Ἄσω δὴ τῷ ἠγαπημένῳ», τοῦτ' ἔστι Χριστῷ. Οὕτω γὰρ ἡμῖν αὐτὸν καὶ ὁ Θεὸς καὶ Πατὴρ ὠνόμαζε λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα». Ἆρ' οὖν, ὦ προφῆτα, τῆς σῆς ἀκουσώμεθα φωνῆς καὶ ὡς ἐκ μόνων τῶν σῶν ἐννοιῶν ἀναβύουσιν οἱ λόγοι; Βλέπει δὲ ὅποι φράσον τῆς ᾠδῆς ὁ σκοπός. Οὐκοῦν εἰ καὶ δι' ἐμοῦ, φησίν, ἀλλ' οὐκ

σύννεφο τὴν ἡμέρα καὶ ὅλη τὴ νύχτα φωτίζοντάς τους μὲ τὸ φῶς φωτιᾶς.

Ἀλλ' αὐτὰ βέβαια εἶναι τύποι καὶ εἰκόνες τῶν νοητῶν, ἐνῶ τὰ τοῦ Χριστοῦ εἶναι ἡ ἀλήθεια. Γιατὶ αὐτὸς εἶναι ἡ ἀλήθεια, καὶ ἂν ἀξιωθοῦν τὴ βοήθειά του θὰ εἶναι ὁπωσδήποτε καὶ σὲ κάθε περίπτωση, λέγει, σὰν σὲ σκιὰ σὲ μεγάλη ζέστη καὶ κάτω ἀπὸ σκέπη καὶ προστατευόμενοι ἀπὸ τὸν σκληρὸ καιρὸ καὶ τὴ βροχή. Μὲ σκληρότητα βέβαια καὶ βροχὴ παρομοιάζει πάλι τὴ σφοδρότητα τῶν πειρασμῶν καὶ τὴν πολὺ ἰσχυρὴ ἐπίθεση. Γιατὶ κάτι τέτοιο λέγει ὁ Χριστός· «Καθένας λοιπὸν ποὺ ἀκούει τὰ λόγια αὐτὰ καὶ τὰ πράττει, θὰ γίνει ὅμοιος μὲ ἄνθρωπο φρόνιμο ποὺ ἔχτισε τὸ σπίτι του πάνω σὲ βράχο. Καὶ ἔπεσε βέβαια ἡ βροχὴ καὶ ἦρθαν οἱ ποταμοὶ καὶ φύσηξαν οἱ ἄνεμοι καὶ ἔπεσαν μὲ ὁρμὴ πάνω τὸ σπίτι ἐκεῖνο, ἀλλὰ δὲν ἔπεσε· γιατὶ εἶχε θεμελιωθεῖ πάνω σὲ βράχο»[9]. Προσθέτοντας ὅμως, ὅτι «Θὰ σκεπασθεῖ μὲ ὅλη τὴ δόξα», ἀφήνει νὰ νοήσομε, ὅτι δὲν θὰ εἶναι μικρὴ ἡ χάρη ποὺ θὰ δοθεῖ ἀπὸ τὸν Χριστὸ σ' αὐτοὺς ποὺ πίστεψαν σ' αὐτόν, ἀλλὰ ἡ φροντίδα του γι' αὐτοὺς θὰ ἐκδηλωθεῖ μὲ ὁλόκληρη τὴν προθυμία του. Γιατὶ θὰ βρίσκονται στὸν αὐλόγυρο καὶ τὴ σκηνὴ ἐκείνου ποὺ ἔχει τὴ δύναμη νὰ σώζει καὶ νὰ ἀπομακρύνει ἀπὸ κάθε κακό.

ΚΕΦ. 5, στίχ. 1. «Θὰ ψάλω λοιπὸν στὸν ἀγαπημένο μου ἀμπελώνα τὸν ὕμνο τοῦ ἀγαπητοῦ μου».

Ὁ πρῶτος στίχος τοῦ κεφαλαίου αὐτοῦ εἶναι σὰν κάποιος ὅρος καὶ προϋπόθεση ἐκείνων ποὺ πρόκειται νὰ εἰπωθοῦν. Τί θέλει βέβαια νὰ κάνει ὁ προφήτης τὸ ὑποδηλώνει λέγοντας· «Θὰ ψάλω λοιπὸν στὸν ἀγαπημένο μου», δηλαδὴ στὸν Χριστό. Ἔτσι βέβαια τὸν ὀνόμαζε ὁ Θεὸς καὶ Πατέρας λέγοντας· «Αὐτὸς εἶναι ὁ Υἱός μου ὁ ἀγαπητός, στὸν ὁποῖο ἔδειξα τὴν εὐαρέσκειά μου»[10]. Ἄρα λοιπόν, προφήτη μου, θ' ἀκούσομε τὴ δική σου φωνὴ καὶ ἀπὸ τὰ δικά σου μόνο νοήματα ἀναβρύουν οἱ λόγοι; Πές μας ποῦ ἀποβλέψει ὁ σκοπὸς τοῦ ὕμνου; Ἂν καὶ βέβαια, λέγει, ὁ λόγος

9. Ματθ. 7, 24-25.

10. Ματθ. 3, 17.

ἐμὸς ὁ λόγος, ἀλλ' ἔστι τοῦ ἀγαπητοῦ· πεποίηται δὲ ἐπὶ τῷ ἀγαπητῷ ἀμπελῶνί μου· ἤ, καθά φασιν οἱ ἕτεροι τῶν ἑρμηνευτῶν, τῷ ἀμπελῶνι αὐτοῦ. Εἰ δὲ δὴ καὶ λέγοι «ἐπὶ τῷ ἀμπελῶνί μου», οὐχ ὡς αὐτοῦ τυχὸν τοῦ ἀμπελῶνος ὄντος τὰ τοιάδε φησίν, ἀλλ' ὡς ὑπάρχων εἷς τῶν τελούντων εἰς τὸν ἀμπελῶνα. Εὑρήσομεν γὰρ τοὺς προφήτας καὶ ἐπὶ τοῦ λαοῦ τοῦ Θεοῦ ταῖς τοιαύταις ἔσθ' ὅτε κεχρημένους φωναῖς. Οἷον ὁ προφήτης Ἱερεμίας· «Τίς δώσει μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ καταλείψω τὸν λαόν μου καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν;». Ὡς γὰρ εἷς ὑπάρχων τοῦ λαοῦ, λαὸν ἑαυτοῦ φησι τοὺς καθ' αἷμά τε καὶ γένος οἰκείους. Ἄδει τοίνυν ὁ προφήτης τῷ ἠγαπημένῳ, καὶ ἔστιν αὐτοῦ τὸ ᾆσμα εἰρημένον ἐπὶ τῷ ἀμπελῶνι τῷ ἀγαπητῷ, τοῦτ' ἔστι τοῦ Ἰσραήλ. Γέγραπται γάρ, ὅτι «Ἀμπελὼν Κυρίου Σαβαὼθ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον».

Στίχ. 1-2. «Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρήκ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας».

Ἀμπελῶνι παρεικάσας τὸν Ἰσραήλ, ἐπιμένει δι' ὅλου τῇ τοῦ λόγου μεταφορᾷ· «Γέγονε τοίνυν», φησίν, «ἀμπελὼν τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι». Φασὶ τοὺς ἑτέρους τῶν ἑρμηνευτῶν ἀρκεσθῆναι τῷ εἰπεῖν «ἐν τόπῳ πίονι», ὡς τοῦ κέρατος ἡμῖν οὐδὲν ἕτερον, ἢ τοῦτο αὐτὸ σημαίνοντος. Δοκεῖ δέ τισιν τὸ ὡς «ἐν κέρατι» νοεῖν, ὡς ἐν δυνάμει Θεοῦ. Κεκληρονόμηκε γὰρ ὁ Ἰσραὴλ τῆς ἐπαγγελίας τὴν γῆν, τοὺς πάλαι κατῳκηκότας ἐν αὐτῇ νικήσας διὰ Θεοῦ. Τοιγάρτοι φησὶ πρὸς αὐτὸν ἐν τεσσαρακοστῷ τρίτῳ ψαλμῷ· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί

11. Ἱερ. 9,2.

διατυπώνεται ἀπὸ μένα, δὲν εἶναι ὅμως δικός μου, ἀλλ᾽ εἶναι τοῦ ἀγαπητοῦ μου, κι ἔγινε γιὰ τὸν ἀγαπητὸ ἀμπελώνα μου. Ἤ, ὅπως λένε οἱ ἄλλοι ἑρμηνευές, γιὰ τὸν ἀμπελώνα του. Ἂν καὶ βέβαια λέγει «γιὰ τὸν ἀμπελώνα μου», δὲν τὰ λέγει αὐτὰ ἐπειδὴ εἶναι τυχὸν δικός του ὁ ἀμπελώνας, ἀλλ᾽ ἐπειδὴ εἶναι ἕνας ἀπὸ αὐτοὺς ποὺ ἐργάζονται μέσα στὸν ἀμπελώνα. Γιατὶ θὰ βροῦμε τοὺς προφῆτες νὰ χρησιμοποιοῦν κάποιες φορὲς τέτοιους λόγους καὶ γιὰ τὸν λαὸ τοῦ Θεοῦ. Γιὰ παράδειγμα ὁ προφήτης Ἱερεμίας λέγει· «Ποιὸς θὰ μοῦ δώσει μέσα στὴν ἔρημο κατάλυμα τὸ πιὸ μακρινό, γιὰ νὰ ἐγκαταλείψω τὸν λαό μου καὶ νὰ φύγω ἀπὸ αὐτούς;»[11]. Σὰν ἕνας κι αὐτὸς ἀπὸ τὸν λαό, λέγει λαό του τοὺς συγγενεῖς ἐξ αἵματος καὶ φυλῆς. Ψάλλει λοιπὸν ὁ προφήτης στὸν ἀγαπημένο καὶ τὸ ἆσμα αὐτὸ ἔχει λεχθεῖ γιὰ τὸν ἀγαπητό του ἀμπελώνα, δηλαδὴ γιὰ τὸν Ἰσραήλ. Γιατὶ ἔχει γραφεῖ· «Ἀμπελώνας τοῦ Κυρίου τῶν δυνάμεων εἶναι οἱ ἄνθρωποι ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, μιὰ νέα γενεὰ ἀγαπημένη»[12].

Στίχ. 1-2. «Ὁ ἀγαπημένος μου εἶχε ἀμπελώνα σὲ λόφο, σὲ μέρος εὔφορο. Τοῦ ἔκανα φράχτη ὁλόγυρα, ἄνοιξε χαντάκια καὶ φύτεψα κλήματα τοῦ εἴδους Σωρήκ, καὶ στὸ μέσον αὐτοῦ ἔχτισα πύργο, ἄνοιξα καὶ πατητήρι καὶ περίμενα νὰ κάνει σταφύλια, ἀλλ᾽ ὅμως ἔκανε ἀγκάθια».

Ἀφοῦ παρομοίασε τὸν Ἰσραὴλ μὲ ἀμπελώνα, ἐπιμένει στὴ συνέχεια ὅλου τοῦ λόγου στὴν παρομοίωση· γιατὶ λέγει· «Ὁ ἀγαπημένος μου εἶχε ἀμπελώνα σὲ λόφο, σὲ τόπο εὔφορο». Λένε ὅτι οἱ ἄλλοι ἑρμηνευτὲς ἀρκέσθηκαν νὰ ποῦν «σὲ τόπο εὔφορο», ἐπειδὴ ἡ λέξη κέρας (=λόφος) γιὰ μᾶς δὲν σημαίνει τίποτε ἄλλο, παρὰ αὐτὸ ἀκριβῶς. Κάποιοι ὅμως νομίζουν ὅτι τὸ «μὲ τὸ κέρας» σημαίνει "μὲ τὴ δύναμη τοῦ Θεοῦ". Γιατὶ ὁ Ἰσραὴλ κληρονόμησε τὴ γῆ τῆς ἐπαγγελίας, ἀφοῦ νίκησε τοὺς παλαιοὺς κατοίκους της μὲ τὴ δύναμη τοῦ Θεοῦ. Γι᾽ αὐτὸ λέγει πρὸς αὐτὸν στὸν τεσσαρακοστὸ τρίτο ψαλμό· «Μὲ τὴ δύναμή σου θὰ καταβάλομε

12. Ἡσ. 5, 7.

σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν». Λαμβάνεται δὲ τὸ κέρας παρὰ τῇ θείᾳ Γραφῇ εἰς ἰσχὺν καὶ εἰς δύναμιν καὶ εἰς δόξαν τὴν βασιλικήν. Ἔστι γοῦν ἀκοῦσαι τοῦ μακαρίου Δαβὶδ ποτὲ μὲν λέγοντος, ὡς ἐκ προσώπου δικαίου παντός, «Ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου», ποτὲ δὲ πάλιν περὶ Χριστοῦ· «Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ». Περιφανεστάτη γὰρ ἡ βασιλεία Χριστοῦ.

Ὅτι δὲ πίων τῆς ἐπαγγελίας ἡ γῆ, μεμαρτύρηκε τὸ Γράμμα τὸ ἱερόν. Πανταχῇ γὰρ αὐτὴν ὀνομάζει γῆν ῥέουσαν γάλα καὶ μέλι. Προσεμπεδοῖ δὲ τὸ λόγον καὶ ὁ θεσπέσιος Μελῳδὸς ψάλλων τε καὶ λέγων περὶ τοῦ Ἰσραήλ· «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν». Ὁρᾷς τὸ «ἐν κέρατι», τὸ ὡς ἐν δυνάμει Θεοῦ σημαῖνον ἐν τούτοις; Καταπεφύτευται γὰρ ἐκβεβλημένων ἐθνῶν. Εἰρῆσθαι δὲ καὶ ἑτέροις τὸ «ἐν κέρατι» δοκεῖ, ὡς ἐν ὑψηλῷ τε καὶ ἐπηρμένῳ χωρίῳ· τοιαύτη γὰρ ἡ Σιὼν ἐν ὄρει κειμένη. Καταφυτεύσας δὴ οὖν τὸν ἀμπελῶνα, φησί, καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα καὶ κατεφύτευσα ἄμπελον Σωρήκ. Περιεδέδετο δέ, καθάπερ τινὶ φραγμῷ, καὶ ἀγγελικαῖς δυνάμεσι καὶ ταῖς ἄνωθεν ἐπικουρίαις ὁ Ἰσραήλ. Ἐχαρακώθη δὲ πρὸς τούτῳ. Καὶ τί δὴ τοῦτό ἐστιν; Οἱ τῆς τῶν ἀμπελώνων γεωργίας ἐπιστήμονες δόνακας ἑκάστῃ παραπηγοῦντες εὐτεχνῶς, αἴρουσί τε αὐτὰς ὑψοῦ καὶ ἀναδεσμοῦσι τῆς γῆς. Σῶος γὰρ οὕτως ὁ ἐξ αὐτῶν καὶ ἀδιαλώβητος ἔσται καρπός. Τοιοῦτόν τι πέπραχε καὶ ὁ τῶν ὅλων Θεός, νόμῳ τῷ διὰ Μωσέως μονονουχὶ χαρακώσας τὸν ἀμπελῶνα τὸν νοητόν, ἵνα μή, εἰς γῆν ἐρριμμένος καὶ μόνα φρονῶν τὰ σαρκός, καταφθείρηται πολυτρόπως, δύναιτο δὲ καὶ τὸ ἄνω φρονεῖν. Ἀποφέρει γὰρ τῶν γηΐνων ὁ τοῦ Θεοῦ νόμος, οἷον ἀνέχων ὑψοῦ τῶν παιδαγωγουμένων τὸν νοῦν.

Ὅτι δὲ καὶ εὐγενὴς ὁ ἀμπελών, διατρανοῖ λέγων, οὐχ ἁ-

13. Ψαλμ. 43, 6. 14. Ψαλμ. 91, 11. 15. Ψαλμ. 111, 9.

τοὺς ἐχθρούς μας, καὶ μὲ τὸ ὄνομά σου θὰ ἐκμηδενίσομε ἐκείνους ποὺ ἐξεγείρονται ἐναντίον μας»[13]. Ἡ λέξη «κέρας» χρησιμοποιεῖται ἀπὸ τὶς θεῖες Γραφὲς μὲ τὴν ἔννοια τῆς ἰσχύος καὶ τῆς δυνάμεως καὶ τῆς βασιλικῆς δόξας. Μποροῦμε λοιπὸν ν' ἀκούσομε τὸν μακάριο Δαβὶδ ἄλλοτε νὰ λέγει σὰν ἐκπρόσωπος κάθε δίκαιου, «Θὰ ὑψωθεῖ ἡ ἰσχύς μου σὰν τὸ κέρας τοῦ μονοκέρωτος»[14], καὶ ἄλλοτε πάλι γιὰ τὸν Χριστό· «Ἡ δύναμή του θὰ ὑψωθεῖ μὲ δόξα»[15]. Γιατὶ εἶναι περίλαμπρη ἡ βασιλεία τοῦ Χριστοῦ.

Ὅτι εἶναι εὔφορη ἡ γῆ τῆς ἐπαγγελίας τὸ ἔχει ἐπιβεβαιώσει ἡ ἱερὴ Γραφή. Γιατὶ παντοῦ τὴν ὀνομάζει γῆ ποὺ ρέει γάλα καὶ μέλι[16]. Ἐπιβεβαιώνει τὸν λόγο καὶ ὁ θεσπέσιος Μελωδός, ψάλλοντας καὶ λέγοντας γιὰ τὸν Ἰσραήλ· «Ἀμπέλι μετέφερες ἀπὸ τὴν Αἴγυπτο, ἔδιωξες λαοὺς καὶ φύτεψες αὐτό»[17]. Βλέπεις ὅτι ἡ φράση «μὲ τὸ κέρας» σ' αὐτὰ ἐδῶ σημαίνει μὲ τὴ δύναμη τοῦ Θεοῦ; Γιατὶ φυτεύθηκε ὁ Ἰσραὴλ ἀφοῦ ἐκδιώχθηκαν λαοί. Ἄλλοι ὅμως νομίζουν ὅτι τό, «Μὲ τὸ κέρας» εἰπώθηκε μὲ τὴν ἔννοια, σὲ ψηλὸ καὶ περίοπτο τόπο· γιατὶ τέτοια εἶναι ἡ Σιὼν ποὺ βρίσκεται πάνω σὲ ὄρος. Ἀφοῦ λοιπὸν φύτεψα, λέγει, τὸν ἀμπελώνα, ἔβαλα ὁλόγυρα φράχτη, ἔκανα χαντάκια καὶ φύτεψα κλήματα Σωρήκ. Πράγματι ὁ Ἰσραὴλ ἦταν περικυκλωμένος, σὰν μὲ κάποιο φράχτη, καὶ μὲ ἀγγελικὲς δυνάμεις καὶ μὲ τὶς οὐράνιες βοήθειες. Ἐκτὸς ἀπ' αὐτὸ ἔγιναν ὁλόγυρα καὶ χαντάκια. Καὶ τί σημαίνει αὐτό; Οἱ γνῶστες τῆς καλλιέργειας τῶν ἀμπελιῶν σὲ βάζοντας σὲ κάθε κλῆμα μὲ τέχνη καλάμια, τοῦ δίνουν ὕψος καὶ τὸ ἀποδεσμεύουν ἀπὸ τὴ γῆ. Γιατὶ ἔτσι παραμένει σῶος καὶ ἀπείραχτος ὁ καρπός. Κάτι τέτοιο ἔκανε καὶ ὁ Θεὸς τῶν ὅλων ποὺ περιχαράκωσε μὲ τὸν Μωσαϊκὸ νόμο τὸν πνευματικὸ ἀμπελώνα του γιὰ νὰ μὴν εἶναι ριγμένος στὴ γῆ καὶ μὲ σαρκικὸ φρόνημα καταστρέφεται μὲ πολλοὺς τρόπους, ἀλλὰ νὰ μπορεῖ νὰ φρονεῖ καὶ τὰ οὐράνια. Γιατὶ ὁ νόμος τοῦ Θεοῦ ἀπομακρύνει ἀπὸ τὰ γήινα, ἀνεβάζοντας ψηλὰ τὸν νοῦ ἐκείνων ποὺ παιδαγωγεῖ.

Ὅτι ὁ ἀμπελώνας εἶναι καὶ εὐγενὲς γένος, τὸ διασαφηνίζει

16. Ἔξ. 13, 5 καὶ 33, 3. Λευϊτ. 20, 24. καὶ ἄλλα πολλά. 17. Ψαλμ. 79, 9.

πλῶς τὴν τυχοῦσαν ἄμπελον ἐν τῷ πίονι πεφυτεῦσθαι τόπῳ, ἀλλὰ γὰρ Σωρήκ, τοῦτ' ἔστιν ἐκλεκτήν. Ἑβραίοις δὲ δοκεῖ καὶ εἶδος ἀμπέλου, ἤτ' οὖν ὄνομα καλῆς καὶ εὐφορωτάτης διὰ τοῦ Σωρὴκ σημαίνεσθαι. «Ὠκοδόμησα» δέ, φησί, «καὶ πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ». Ἐγήγερται γὰρ ἐν τοῖς Ἱεροσολύμοις ὁ διαβόητος ἐκεῖνος νεώς, οἱόν τις πύργος καὶ ἐνδιαίτημα Θεοῦ, καὶ μὴν ὤρυκται καὶ προλήνιον. Τέθειται δὲ θυσιαστήριον ἐν αὐτῷ καὶ κορβάν, ὅ ἐστι γαζοφυλάκιον, ἐν ᾧ πᾶσα δωροφορία τῶν προσιόντων συνεκομίζετο. Ἐπειδὴ δὲ τὸν ἀμπελῶνα, φησίν, εὖ ἔχοντα διὰ πάντων ἀπέφηνα, προσεδόκησα τοῦ ποιῆσαι σταφυλήν. Ὤμην γάρ, ᾠόμην, οὐχ ἕτερόν τι ποιήσειν αὐτόν, ἢ τὸν εὐγενῆ τῆς ἀμπέλου καρπόν, ἐποίησε δὲ ἀκάνθας. Οὐκοῦν ἡμάρτηκε τῆς ἐλπίδος, ἐψεύσατο δέ, καὶ ἀκάνθας τέτοκεν ἀντὶ βοτρύων ὁ Ἰσραήλ. Οὐ γάρ τοι γέγονε νομοφύλαξ, οὐδὲ τοῖς τῆς ἐπιεικείας κατεκαλλύνθη καρποῖς, ἀλλ' ἐξῴκειλεν ἀλλοτρόπως, καὶ πεποίηκεν ἀκάνθας, τοῦτ' ἔστιν ἔργα πυρός, ἤγουν ὅσα πλήττει τοὺς ἐπαφωμένους καὶ προσεγγίζοντας. Λυπεῖ δὲ Θεὸν ἥπερ ἂν γένοιτο παρ' ἡμῶν ἁμαρτία, καὶ ὅπερ ἐστὶ παρ' ἡμῖν ἡ ἄκανθα, τοῦτο καὶ παρ' αὐτῷ φαυλότητος τρόπος. Ἀλλ' ὡς ὁ μακάριος γράφει Παῦλος· «Γῆ μὲν ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ Θεοῦ. Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν».

Στίχ. 3, 4. «Καὶ νῦν, ὁ ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ ἐνοικοῦντες Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀναμέσον τοῦ ἀμπελῶνός μου. Τί ποιήσω τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; Διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας».

Πειρᾶται δεικνύειν ἀπροφάσιστον παντελῶς τῶν Ἰου-

λέγοντας ὅτι δὲν φυτεύθηκε ἁπλῶς ἕνα τυχαῖο ἀμπέλι σὲ εὔφορο μέρος, ἀλλὰ Σωρήκ, δηλαδὴ ἐκλεκτό. Οἱ Ἑβραῖοι θεωροῦν ὅτι μὲ τὴ λέξη Σωρὴκ δηλώνεται εἶδος ἀμπελιοῦ καλοῦ καὶ γονιμότατου· γιατὶ λέγει· «Ἔχτισα καὶ πύργο στὸ μέσο τοῦ ἀμπελιοῦ καὶ ἄνοιξα καὶ πατητήρι μέσα σ' αὐτό». Δηλαδὴ οἰκοδομήθηκε στὰ Ἱεροσόλυμα ὁ περιβόητος ἐκεῖνος ναὸς σὰν ἕνας πύργος καὶ κατοικία τοῦ Θεοῦ, καὶ ἀνοίχθηκε καὶ πατητήρι. Κτίσθηκε σ' αὐτὴν καὶ θυσιαστήριο καὶ κορβανάς, ποὺ σημαίνει θησαυροφυλάκιο, ὅπου μαζεύονταν ὅλα τὰ δῶρα ποὺ ἔφερναν οἱ προσερχόμενοι. Ἐπειδὴ ὅμως, λέγει, τὸν ἀμπελώνα τὸν ἔκανα τέλειο ὡς πρὸς ὅλα περίμενα ὅτι θὰ ἔκανε σταφύλια. Γιατὶ εἶχα τὴν ἐντύπωση ὅτι δὲν θὰ κάνει τίποτ' ἄλλο, παρὰ τὸν εὐγενῆ καρπὸ τοῦ ἀμπελιοῦ, ἔκανε ὅμως ἀγκάθια. Ἀστόχησε λοιπὸν σ' αὐτὸ ποὺ ἤλπιζε καὶ διαψεύσθηκε καὶ ὁ Ἰσραὴλ ἔκανε, ἀντὶ γιὰ σταφύλια, ἀγκάθια. Δὲν φύλαξε δηλαδὴ τὸ νόμο, οὔτε στολίσθηκε μὲ τοὺς καρποὺς τῆς ἀγαθότητας, ἀλλὰ ξέφυγε μὲ κάθε τρόπο ἀπὸ τὸ σκοπό του κι ἔκανε ἀγκάθια, δηλαδὴ ἔργα γιὰ τὴ φωτιά, ἤτοι ὅσα πληγώνουν ἐκείνους ποὺ τὰ ἀγγίζουν καὶ τὰ πλησιάζουν. Προξενεῖ δηλαδὴ λύπη στὸν Θεὸ κάθε ἁμαρτία μας, κι αὐτὸ ποὺ εἶναι σ' ἐμᾶς τὸ ἀγκάθι, αὐτὸ εἶναι καὶ σ' ἐκεῖνον ἡ ἐνέργεια τῆς φαυλότητας. Ἀλλά, ὅπως γράφει ὁ μακάριος Παῦλος, «Ἡ γῆ ποὺ πίνει τὴ βροχὴ ποὺ πέφτει συχνὰ σ' αὐτὴ καὶ βγάζει χόρτα κατάλληλα γι' αὐτοὺς ποὺ τὴν καλλιεργοῦν, ἔχει τὴν εὐλογία τοῦ Θεοῦ. Ἂν ὅμως βγάζει ἀγκάθια καὶ τριβόλια εἶναι ἄχρηστη καὶ βρίσκεται κοντὰ στὸ νὰ δεχθεῖ κατάρα, τῆς ὁποίας τὸ τέλος εἶναι τὸ νὰ ριχθεῖ στὴ φωτιὰ καὶ νὰ καεῖ»[18].

Στίχ. 3-4. «Καὶ τώρα, σεῖς οἱ ἀπόγονοι τῆς φυλῆς τοῦ Ἰούδα καὶ σεῖς οἱ κάτοικοι τῆς Ἱερουσαλήμ, δικάσατε ἀνάμεσα σ' ἐμένα καὶ τὸν ἀμπελώνα μου. Τί ἔπρεπε νὰ κάνω στὸν ἀμπελώνα μου καὶ δὲν τὸ ἔκανα; Γιατὶ περίμενα νὰ κάνει σταφύλια, ἀλλ' ἔκανε ἀγκάθια».

Ἐπιχειρεῖ νὰ δείξει τελείως ἀδικαιολόγητη τὴ ραθυμία τῶν

18. Ἑβρ. 6, 7-8.

δαίων τὸ ῥάθυμον καὶ πρός γε τούτῳ τὴν εἰς γε τὸν νόμον ἀναισχυντίαν. Μετὸν γὰρ αὐτοῖς καὶ μάλα ῥᾳδίως τὴν εὐκλεᾶ καὶ εὐδόκιμον τῆς ἐν νόμῳ ζωῆς, ἤγουν τῆς ἐν Χριστῷ πολιτείας, ἱέναι τρίβον, αὐτοὶ τετιμήκασι τὴν διεστραμμένην. Καὶ μὴν τὸ δύνασθαι καρποφορεῖν ἀφέντες ὡς ἔωλον, γῇ τις ὥσπερ γεγόνασιν οὐ καρπῶν ἡμέρων τροφή, ἀγρία δὲ μᾶλλον καὶ ἀκανθοτόκος καὶ ὕλομανής. Ἠκέτωσαν τοίνυν, φησίν, οἱ ἐν ὑμῖν σοφοί, δικαζέτωσαν ἐν ἐμοὶ τῷ τοῦ ἀμπελῶνος δεσπότῃ, καὶ αὐταῖς δὲ ταῖς ἀμπέλοις. Τίνος δὴ οὖν ἄρα τῶν ἀγαθῶν ἐλλελοιπότων αὐταῖς ἀχρεῖοι γεγόνασιν; Εἰ μέν γάρ τι τῶν ἀναγκαίων εἰς ὄνησιν παρῶπται τυχὸν ἐμοὶ τῷ πεφυτευκότι, διελεγχέτω τις καὶ πεπαύσομαι. Ἀποστήσω αἰτίας, καὶ οὐκ αἰτήσω δίκας «Τί γὰρ ποιήσω», φησίν, «ὃ μὴ πεποίηκα αὐτῷ;». Ἐπειδὴ δὲ τῶν χρησίμων πλήρη τε ἀπέφηνα καὶ οὐδενὸς ἐπιδεᾶ, εἶτα γέγονεν ἀκανθοτόκος, καίτοι προσδοκῶντος ἐμοῦ καρποῖς ὡραίοις κομῶντα βλέπειν, ποία τις ἔσται λοιπὸν ἡ παρὰ τοῦ δικάζοντος ψῆφος; Ἆρα γὰρ ἀτημελῆ καὶ ῥάθυμον ὀνομάσει τὸν γηπόνον, ἢ μᾶλλον ἐκείνους αἰτιάσεται τοὺς ἐν μεθέξει γεγονότας τῆς παρ' ἐμοῦ φροντίδος, ἠμεληκότας δὲ οὕτω τῆς ἑαυτῶν εὐκαρπίας, ὡς εἰκαίαν ὕλην καὶ ἀκανθῶν ὄχλον ἀντὶ βοτρύων ἐκτεκεῖν; Ὅτι δὲ οὐ περὶ τῆς αἰσθητικῆς ἀκάνθης ὁ λόγος αὐτῷ, οὔτε μὴν βοτρύων ἢ σταφυλῆς, παντί τῳ σαφές Εἴπερ ἐστὶ νοητὸς ὁ ἀμπελών, τοιοῦτοι δὲ πάντως καὶ οἱ καρποί.

Στίχ. 5-6. «Νῦν δὲ ἀπαγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδ' οὐ μὴ σκαφῇ, καὶ ἀναβήσονται εἰς αὐτόν, ὡς εἰς χέρσον, ἄκανθαι. Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν».

Ἰουδαίων, κι ἐκτὸς ἀπὸ αὐτὸ καὶ τὴν ἀδιαντροπιά τους πρὸς τὸ νόμο. Ἐνῶ δηλαδὴ μποροῦσαν, καὶ πολὺ εὔκολα, νὰ βαδίσουν τὸν λαμπρὸ καὶ ἀξιέπαινο δρόμο τῆς σύμφωνης μὲ τὸ νόμο ζωῆς, δηλαδὴ τὴν στὸ ὄνομα τοῦ Χριστοῦ πολιτεία, αὐτοὶ προτίμησαν τὸν διεστραμμένο, καὶ ἀφήνοντας ὡς ἄχρηστη τὴ δυνατότητα νὰ δώσουν καρπούς, ἔγιναν σὰν γῆ ποὺ δὲν δίνει ἥμερους καρπούς, ἀλλὰ ἄγρια ποὺ γεννᾶ ἀγκάθια καὶ γίνεται ρουμάνι. Ἂς ἔρθουν λοιπόν, λέγει, οἱ σοφοί σας κι ἂς δικάσουν ἐμένα τὸν κύριο τοῦ ἀμπελιοῦ καὶ τὰ ἴδια τὰ ἀμπέλια. Ποιὰ εἶναι τὰ ἀγαθὰ ποὺ τοὺς εἶχαν λείψει καὶ ἐξαχρειώθηκαν; Γιατί, ἂν ἐγὼ ποὺ τὰ φύτεψα παραμέλησα τυχὸν κάτι ποὺ ἦταν ἀναγκαῖο γιὰ τὴν ὠφέλειά τους, ἂς μοῦ τὸ δείξει κάποιος καὶ ἐγὼ θὰ σιωπήσω. Θὰ ἀποσύρω τὶς κατηγορίες καὶ δὲν θὰ ζητήσω τιμωρία. «Τί ἔπρεπε νὰ κάνω», λέγει, «ποὺ δὲν τὸ ἔκανα σ' αὐτόν;». Ἐπειδὴ ὅμως κατέστησα τὸν ἀμπελώνα πλήρη ἀπὸ ὅσα τοῦ χρειαζόταν, χωρὶς νὰ τοῦ λείπει τίποτε, καὶ ἔπειτα ἔγινε ἀγκαθότοπος, μολονότι ἐγὼ προσδοκοῦσα νὰ τὸν βλέπω νὰ λυγίζει ἀπὸ ὡραίους καρπούς, ποιὰ θὰ εἶναι λοιπὸν ἡ ἀπόφαση ἐκείνου ποὺ δικάζει; Θὰ ὀνομάσει ἄραγε ἀμελῆ καὶ ράθυμο τὸν γεωργό, ἢ θὰ κατηγορήσει μᾶλλον ἐκείνους πού, ἐνῶ δέχθηκαν τὴ δική μου φροντίδα, ἀμέλησαν τόσο πολὺ γιὰ τὴν ἀπόδοση καλῶν καρπῶν, ὥστε νὰ γεννήσει θάμνους ἄχρηστους καὶ πλῆθος ἀγκαθιῶν ἀντὶ γιὰ σταφύλια; Ὅτι βέβαια δὲν μιλάει γιὰ αἰσθητὰ ἀγκάθια οὔτε γιὰ τσαμπιὰ καὶ σταφύλια, εἶναι σαφὲς στὸν καθένα. Ἐφόσον τὸ ἀμπέλι εἶναι πνευματικό, πνευματικοὶ ὁπωσδήποτε θὰ εἶναι καὶ οἱ καρποί.

Στίχ. 5-6. «Τώρα θὰ σᾶς ἀναγγείλω τί θὰ κάνω στὸν ἀμπελώνα μου. Θ' ἀφαιρέσω τὸν φράχτη του καὶ θὰ γίνει ἔκθετος στὴ διαρπαγή. Θὰ κατεδαφίσω τὸν τοῖχο του καὶ θὰ γίνει εὔκολος στὸ νὰ καταπατηθεῖ. Θὰ ἐγκαταλείψω τὸν ἀμπελώνα μου καὶ δὲν θὰ κλαδευθεῖ οὔτε θὰ σκαφθεῖ, καὶ θὰ φυτρώσουν σ' αὐτόν, σὰ νὰ εἶναι χωράφι χέρσο, ἀγκάθια. Τέλος θὰ δώσω ἐντολὴ στὰ σύννεφα νὰ μὴ ρίξουν σ' αὐτὸν βροχή».

Οὐκ ἀθαύμαστον, ὡς γ' ἐμοὶ φαίνεται, τοῦ λόγου τὸ σχῆμα. Μόνον γὰρ οὐχὶ καὶ σεσιγηκότων τῶν κεκλημένων εἰς τὸ δικάσαι, αὐτῷ τε καὶ τῷ ἀμπελῶνι, τὴν δίκην αὐτοῖς ὁρίζει λοιπόν, καὶ τὰ ἐν τίσιν ἔσται προαγορεύει σαφῶς. Ἐλλελοιπότος γὰρ ὅλως οὐδενὸς αὐτῷ τῶν εἰς τὸ εὖ εἶναι χρησίμων, αὐτὸς ἐξ οἰκείας κατεχερσοῦτο γνώμης. Ἔδει δὴ οὖν ἄρα τοὺς εἰς τοῦτο φαυλότητος καθιγμένους ἔξω τε χειρὸς καὶ φροντίδος, καὶ μὴν καὶ ἐπικουρίας, τοῦ Δεσπότου γενέσθαι λοιπόν. Οὐκοῦν «ἀφελῶ», φησί, «τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα». Φραγμοῦ δὲ καὶ τείχους ἔρημος ἀμπελών, προκείσεται πάντως τοῖς διαρπάζειν ἐθέλουσιν θοίνη τις ἑτοιμοτάτη καὶ τοῖς διοδεύουσι τρίβος, ἐξείργοντος οὐδενός. Περιφράττοντος μὲν γὰρ ἡμᾶς τοῦ Θεοῦ καὶ ἀπορρήτοις τισὶν ἐπικουρίαις μονονουχὶ καὶ ἀνατειχίζοντος, οὐκ ἐσόμεθα βατοὶ καὶ ἐν τάξει τρίβου τοῖς ἀκαθάρτοις πνεύμασιν, οὔτε μὴν ἕτοιμοι πρὸς διαρπαγὴν τοῖς θηρίοις τοῦ ἀγροῦ καὶ ἀλώπεξι τρυφῇ, περὶ ὧν γέγραπται καὶ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· «Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπέλους». Λέγονται δὲ καὶ μερίδες ἀλωπέκων γενέσθαι τινές. Ἀνιέντος τε τοῖς ἀδικεῖν ἐθέλουσιν καὶ φροντίδος τῆς ἄνωθεν ἀπαμφιεννύντος Θεοῦ, παντὸς εἰς πεῖραν ἥξομεν κακοῦ, καὶ πᾶς ὁστισοῦν ἐντρυφήσει τοῖς καθ' ἡμῶν, κἂν εἰ νοητός τις εἴη λῃστής, κἂν ᾖ ὁ ἐν τοῖς μέλεσι σαρκὸς ἀγριαίνων νόμος, καὶ ἅπαν ἡμῶν τῆς διανοίας τὸ κίνημα καρποφορήσῃ τῷ Σατανᾷ.

Οὐκοῦν δίχα τε φραγμοῦ, καὶ μὴν ἀτείχιστος ἀμπελών, τοῖς ἐθέλουσιν ἀνεθήσεται πρὸς διαρπαγήν. Καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ, τοῦτ' ἔστιν οὐδεμιᾶς ἐπιτεύξεται φροντίδος, ἐπανορθοῦν δυναμένης καὶ ἀνακομίζειν ἐπὶ τὸ ἄμει-

19. Ἄσμα Ἆσμ. 2, 15.

Δὲν μπορεῖ νὰ μὴν προκαλέσει θαυμασμό, ὅπως μοῦ φαίνεται, ἡ μορφὴ τοῦ λόγου. Ἐνῶ δηλαδὴ ἔχουν σιωπήσει ἐκεῖνοι ποὺ κλήθηκαν νὰ δικάσουν ἀνάμεσα σ' αὐτὸν καὶ τὸν ἀμπελώνα του, ὁρίζει ἤδη πῶς θὰ γίνει ἡ δίκη καὶ προλέγει μὲ σαφήνεια ποιὰ εἶναι τὰ θέματα μὲ τὰ ὁποῖα θ' ἀσχοληθεῖ. Γιατί, ἐνῶ δὲν τοῦ ἔλειπε τίποτε ἀπολύτως ἀπὸ τὰ χρήσιμα γιὰ τὴν καλὴ εὐδικίμησή του, αὐτὸς καχερσωνόταν μὲ δική του γνώμη. Ἄρα λοιπὸν ἔπρεπε αὐτοὶ ποὺ εἶχαν φτάσει σ' αὐτὸ τὸ βαθμὸ φαυλότητας νὰ μείνουν ἔξω ἀπὸ τὴ χειραγώγηση καὶ τὴ φροντίδα, ἀλλὰ καὶ τὴ βοήθεια τοῦ Κυρίου. Θ' ἀφαιρέσω λοιπόν, λέγει, τὸν φράχτη του καὶ θὰ ἐκτεθεῖ σὲ διαρπαγή, ἀλλὰ καὶ θὰ κατεδαφίσω τὸν τοῖχο του, ὥστε νὰ μπορεῖ εὔκολα νὰ καταπατηθεῖ. Μὴ ἔχοντας πιὰ ὁ ἀμπελώνας φράχτη καὶ τοῖχο, θὰ εἶναι ὁπωσδήποτε πολὺ εὔκολη λεία σὲ ἐκείνους ποὺ ἐπιθυμοῦν τὴν διαρπαγή του, καὶ δρόμος γιὰ καθέναν ποὺ περνᾶ χωρὶς νὰ ἐμποδίζει κανένας. Ἂν δηλαδὴ μᾶς περιφράσσει ὁ Θεὸς καὶ μᾶς περιτειχίζει κατὰ κάποιο τρόπο μὲ κάποιες ἀπόρρητες βοήθειες, δὲν θὰ εἴμαστε βατοὶ καὶ κατὰ κάποιο τρόπο δρόμος γιὰ τὰ ἀκάθαρτα πνεύματα, οὔτε εὔκολοι στὴ διαρπαγὴ ἀπὸ τὰ θηρία τοῦ ἀγροῦ καὶ ἀπόλαυση τῶν ἀλεπούδων, γιὰ τὶς ὁποῖες ἔχει γραφεῖ καὶ στὸ Ἆσμα τῶν ἀσμάτων· «Πιάστε μας τὶς μικρὲς ἀλεποῦδες ποὺ ἀφανίζουν τ' ἀμπέλια»[19]. Λέγεται ὅτι κάποια ἀπὸ αὐτὰ ἔχουν γίνει μερίδες ἀλεπούδων. Ἂν μᾶς ἐγκαταλείψει ὁ Θεὸς σὲ ἐκείνους ποὺ θέλουν νά μᾶς ἀδικοῦν καὶ μᾶς ἀπογυμνώσει ἀπὸ τὴν οὐράνια φροντίδα, θὰ φτάσομε νὰ δοκιμάσομε κάθε κακό, καὶ καθένας ἀπὸ τοὺς ἐχθρούς μας θὰ ἀπολαύσει τὰ δικά μας, εἴτε εἶναι κάποιος ληστὴς νοητός, εἴτε εἶναι ὁ νόμος τῆς σάρκας ποὺ ἀγριεύει μέσα στὰ μέλη μας, καὶ ὅλο τὸ κίνημα τῆς διάνοιάς μας θὰ παράγει καρποὺς γιὰ τὸν Σατανᾶ.

Δίχως λοιπὸν τὸν φραγμὸ καὶ ὄντας ἀτείχιστος ὁ ἀμπελώνας, θὰ ἀφεθεῖ στὴ διάθεση ἐκείνων ποὺ θέλουν νὰ τὸ λεηλατήσουν. Ἀλλὰ καὶ οὔτε θὰ κλαδευθεῖ, οὔτε θὰ σκαφθεῖ· δηλαδὴ δὲν θὰ δεχθεῖ καμμιὰ φροντίδα ποὺ μπορεῖ νὰ ἐπανορθώσει τὴ ζημιά

νον καὶ τῆς οὕτω δεινῆς χερσίας ἀπαλλάττειν αὐτόν. Ἐντελοῦμαι γὰρ δὴ καὶ ταῖς νοηταῖς νεφέλαις, τοῦτ' ἔστι τοῖς ἁγίοις προφήταις, ἤγουν δυνάμεσι ταῖς ἀγγελικαῖς, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν, δῆλον δὲ ὅτι τὸν νοητόν, τὸν ὡς ἐν παρακλήσει τῇ εἰς νοῦν καὶ καρδίαν καὶ λόγῳ τῷ θείῳ πραττόμενον. Πλὴν ἐντεῦθεν ἔστι μάλιστα ἰδεῖν, ὅτι τοῖς υἱοῖς Ἰσραὴλ οὐ πρό γε τῶν τῆς ἐπιδημίας καιρῶν τὰ τοιάδε συμβήσεσθαί φησιν ὁ προφητικὸς ἡμῖν λόγος, ἀλλ' ὅτε πεπαρῳνήκασιν εἰς Χριστόν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν εἰπεῖν, ἤγουν καταδεῖξαι καιρόν, καθ' ὃν κατατετέλεκεν ὁ Ἰσραὴλ προφητῶν ἁγίων δίχα. Γεγόνασι μὲν γὰρ αἰχμάλωτοι κατὰ καιρούς, καὶ εἰς τὴν Περσῶν καὶ Μήδων ἀπῴχοντο χώραν γυναιξὶν ὁμοῦ καὶ φιλτάτοις. Πλὴν οὐ δίχα προφητῶν ἁγίων κατέβησαν εἰς Αἴγυπτον, ἠρηκότων κατὰ καιροὺς τὴν διαβόητον Ἱερουσαλὴμ τῶν Βαβυλωνίων, ἀλλὰ συνῆν αὐτοῖς ὁ προφήτης Ἱερεμίας, τοῖς ἄνωθεν καὶ παρὰ Θεοῦ διακονούμενος λόγοις. Ἐπειδὴ δὲ πεπαρῳνήκασιν εἰς Χριστόν, ἔρημοι φραγμοῦ διατετελέκασι, καὶ πᾶσα αὐτῶν ἀσφάλεια πέπτωκεν. Τοῦτο γάρ, οἶμαι, ἐστὶ τὸ καθαιρεῖσθαι λέγειν τὸν τοῖχον αὐτοῦ. Πέπαυται δὲ καὶ ἅπας προφητῶν ἁγίων ὁ ἐπ' αὐτοῖς λόγος, καὶ ὑετοῦ δίκην ἀνασχὼν τρόπον τινά, καὶ διαλελοίπασιν αἱ τῶν ἁγίων φωναί· καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ δι' ἑνὸς αὐτοῖς εἰρημένον παρὰ Θεοῦ· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ ἀπὸ Ἀνατολῶν ἕως καὶ Δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι».

Καὶ ταυτὶ μέν, ὡς ἔφην, τοῖς ἐξ Ἰσραὴλ συμβέβηκεν, καὶ μάλα εἰκότως. Ἀπεώσαντο γὰρ αὐτοὶ τὸν τῶν δυνάμεων Κύριον, τὸν κατάρδοντα νοητῶς ψυχὰς καὶ καρδίας, καὶ καταπιαίνοντα δρόσοις ταῖς πνευματικαῖς, ὧν καὶ ὁ

20. Ἀμὼς 8, 11-12.

καὶ νὰ τὸν ἐπαναφέρει στὴν καλή του κατάσταση καὶ νὰ τὸν ἀπαλλάξει ἀπὸ τὴν τόσο φοβερὴ ἀκαλλιεργησία. Θὰ δώσω ἐπίσης ἐντολὴ καὶ στὰ νοητὰ σύννεφα, δηλαδὴ στοὺς ἁγίους προφῆτες, ἤτοι στὶς ἀγγελικὲς δυνάμεις, νὰ μὴν ρίξουν σ' αὐτὸν βροχή, προφανῶς νοητή, ποὺ πέφτει μὲ τὴν παράκληση τοῦ νοῦ καὶ τῆς καρδιᾶς καὶ μὲ τὸν θεῖο λόγο. Πλὴν ὅμως ἀπὸ ἐδῶ κυρίως μποροῦμε νὰ δοῦμε, ὅτι ὁ προφητικὸς λόγος λέγει πὼς αὐτὰ θὰ συμβοῦν στοὺς Ἰσραηλῖτες ὄχι πρὶν ἀπὸ τὴν ἔλευση τοῦ Χριστοῦ, ἀλλὰ ὅταν θὰ παραφρονοῦσαν ἐναντίον του. Γιατὶ δὲν εἶναι δυνατόν, δὲν εἶναι δυνατὸν νὰ ποῦμε ἢ νὰ δείξομε καιρὸ κατὰ τὸν ὁποῖο οἱ Ἰσραηλίτες ἔμειναν χωρὶς ἁγίους προφῆτες. Διατέλησαν βέβαια κάποιο καιρὸ αἰχμάλωτοι καὶ μεταφέρθηκαν στὴ χώρα τῶν Περσῶν καὶ τῶν Μήδων μὲ τὶς γυναῖκες τους μαζὶ καὶ μὲ τοὺς ἀγαπητούς τους, πλὴν ὅμως δὲν κατέβηκαν στὴν Αἴγυπτο χωρὶς ἁγίους προφῆτες· κυρίευσαν κάποτε οἱ Βαβυλώνιοι τὴν περιβόητη Ἱερουσαλήμ, ἀλλὰ ὑπῆρχε μαζὶ μὲ τοὺς αἰχμαλώτους καὶ ὁ προφήτης Ἱερεμίας καὶ τοὺς ὑπηρετοῦσε μὲ τοὺς οὐράνιους καὶ ἀπὸ τὸν Θεὸ λόγους του. Ὅταν ὅμως φέρθηκαν μὲ παραφροσύνη ἐναντίον τοῦ Χριστοῦ, ἔμειναν ἔρημοι ἀπὸ φράχτη καὶ ὅλη τους ἡ ἀσφάλεια ἐξέλειπε. Γιατὶ αὐτό, νομίζω, σημαίνει ὁ λόγος ὅτι κατεδαφίσθηκε ὁ τοῖχος της. Ἔπαυσε βέβαια νὰ ἀκοίγεται καὶ κάθε προφητικὸς λόγος ποὺ προοριζόταν γι' αὐτοὺς καὶ ὅμοια κατὰ κάποιο τρόπο μὲ βροχὴ σταμάτησε, καὶ ἔλειψαν οἱ φωνὲς τῶν ἁγίων. Καὶ αὐτό, νομίζω, δηλώνει ἐκεῖνο ποὺ εἶπε κάποιος σ' αὐτοὺς ἐκ μέρους τοῦ Θεοῦ· «Νά, ἔρχονται ἡμέρες, λέγει ὁ Κύριος, καὶ θὰ στείλω πεῖνα στὴ γῆ, ὄχι πεῖνα ψωμιοῦ, οὔτε δίψα νεροῦ, ἀλλὰ πεῖνα ν' ἀκούσουν τὸ λόγο τοῦ Θεοῦ, καὶ θὰ τρέξουν ἀπὸ τὴν Ἀνατολὴ μέχρι τὴ Δύση ζητώντας τὸν λόγο τοῦ Κυρίου, καὶ δὲν θὰ τὸν βροῦν»[20].

Καὶ αὐτὰ βέβαια ἔπαθαν, ὅπως εἶπα, οἱ Ἰσραηλῖτες, καὶ πολὺ εὔλογα. Γιατὶ ἀπέρριψαν τὸν Κύριο τῶν δυνάμεων ποὺ ἀρδεύει νοητὰ τὶς ψυχὲς καὶ τὶς καρδιὲς καὶ τὶς καθιστᾶ γόνιμες μὲ δροσιὲς πνευματικές, γιὰ τὶς ὁποῖες κάνει λόγο καὶ ὁ μακάριος Δαβὶδ

μακάριος Δαβὶδ διεμέμνητο λέγων· «Ὡς δρόσος Ἑρμὼν καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών». Ἐγήγερται δὲ ἀμπελὼν ἀντ' ἐκείνου νέος, ὁ τῶν διὰ πίστεως κεκλημένων εἰς ἁγιασμόν. Καὶ περὶ αὐτῶν φησιν ὁ Νυμφίος ὁ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστός· «Αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν». Καὶ αὐτὸς μέν ἐστι ἡ πρώτη τε καὶ παναγία καὶ ἀληθὴς ἄμπελος. Ἀπηρτήμεθα δὲ αὐτοῦ ἡμεῖς, κλημάτων δίκην, τῆς παρ' αὐτοῦ ζωοποιοῦ πιότητος ἀναπιμπλάμενοι. Καὶ γοῦν ἔφασκεν ἐναργῶς· «Ἐγώ εἰμι ἡ ἄμπελος ἀληθής, καὶ ὁ Πατήρ μου γεωργός ἐστι· πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτό, καὶ πᾶν τὸ φέρον καρπὸν καθαίρει αὐτό, ἵνα καρπὸν πλείονα φέρῃ». Ἐπειδὴ δὲ αὐτῷ προσπεφύκαμεν δι' οἰκειότητος, δῆλον ὅτι τῆς πνευματικῆς, ἀποτετελέσμεθα καρποφόροι· καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων αὐτός· «Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς δὲ τὰ κλήματα· ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν». Χρῆναι δὲ οὖν ἔγωγέ φημι προσερηρεῖσθαι δεῖν διὰ πίστεως καὶ ἀγάπης καὶ τῆς εἰς πᾶν ὁτιοῦν εὐπειθείας τῇ ἀμπέλῳ τῇ ἀληθινῇ, τοῦτ' ἔστι, Χριστῷ. Αὐτὸς γὰρ ἡμᾶς ἀποφανεῖ καρποφόρους, αὐτὸς περιθήσει φραγμόν, καὶ ἐγερεῖ τὸ τεῖχος, καὶ ἀποστήσει διοδεύοντας. Καὶ πρὸς αὐτόν πού φησι λόγιον ἱερόν· «Καὶ οἰκοδομηθήσονταί σου ἔρημοι αἰώνιοι, καὶ μνημόσυνον γενεῶν γενεαῖς, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους τὰς ἀνὰ μέσον παύσεις».

Στίχ. 7. «Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. Ὑμείνα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν».

---

21. Ψαλμ. 132, 3. 22. Ἄσμα Ἀσμ. 2, 13. 23. Ἰω. 15, 1-2.

λέγοντας· «Σὰν δροσιὰ ἀπὸ τὸ βουνὸ Ἑρμὼν ποὺ κατεβαίνει στὰ βουνὰ τῆς Σιών»[21]. Καὶ δημιουργήθηκε νέο ἀμπέλι στὴ θέση τοῦ παλιοῦ, ἀποτελούμενο ἀπὸ ἐκείνους ποὺ κλήθηκαν στὸν ἁγιασμὸ μέσω τῆς πίστεως. Καὶ γι᾽ αὐτοὺς λέγει ὁ Νυμφίος ὁ οὐράνιος, δηλαδὴ ὁ Χριστός· «Τὰ κλήματα ἀνθίζουν καὶ σκορποῦν τὴν εὐωδιά τους»[22]. Κι αὐτὸς βέβαια εἶναι ἡ πρώτη καὶ πανάγια καὶ ἀληθινὴ ἄμπελος, ἐνῶ ἐμεῖς κρεμόμαστε ἀπὸ αὐτὸν ὅμοια μὲ κλήματα, γεμίζοντας ἀπὸ τοὺς ζωοποιοὺς χυμούς του. Γι᾽ αὐτὸ ἔλεγε ρητά· «Ἐγὼ εἶμαι ἡ ἀληθινὴ ἄμπελος καὶ ὁ Πατέρας μου εἶναι ὁ γεωργός. Κάθε κλῆμα μου ποὺ δὲν φέρει καρπὸ τὸ κόβει, ὅποιο ὅμως δίνει καρπὸ τὸ καθαρίζει, γιὰ νὰ δώσει περισσότερο καρπό»[23]. Ἐπειδὴ ὅμως φυτευθήκαμε σ᾽ αὐτὸν ἐξαιτίας τῆς οἰκειότητάς μας μὲ αὐτόν, ἐννοεῖται τῆς πνευματικῆς, δώσαμε πολλοὺς καρπούς. Καὶ σ᾽ αὐτὸ μᾶς στερεώνει λέγοντας ὁ ἴδιος· «Μείνετε μ᾽ ἐμένα κι ἐγὼ μ᾽ ἐσᾶς. Ὅπως τὸ κλῆμα δὲν μπορεῖ νὰ δώσει καρπὸ ἀπὸ μόνο του ἂν δὲν μείνει μέσα στὸ ἀμπέλι, ἔτσι καὶ ἐσεῖς ἂν δὲν μείνετε σ᾽ ἐμένα. Ἐγὼ εἶμαι τὸ ἀμπέλι, ἐσεῖς τὰ κλήματα· ὅποιος μένει μέσα σ᾽ ἐμένα κι ἐγὼ μέσα σ᾽ αὐτόν, αὐτὸς δίνει πολὺ καρπό, γιατὶ χωρὶς ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτε»[24]. Πρέπει λοιπόν, λέγω ἐγώ, μὲ τὴν πίστη καὶ τὴν ἀγάπη καὶ τὴν ὑπακοὴ σὲ ὅλα νὰ στηριζόμαστε στὸ ἀμπέλι τὸ ἀληθινό, δηλαδὴ τὸν Χριστό. Γιατὶ αὐτὸς θὰ μᾶς ἀναδείξει καρποφόρους, αὐτὸς θὰ τοποθετήσει γύρω μας φράχτη, θὰ ὑψώσει τὸ τεῖχος καὶ θ᾽ ἀπομακρύνει αὐτοὺς ποὺ περνοῦν ἀπὸ μέσα. Καὶ πρὸς αὐτὸν λέγει κάπου ἡ ἁγία Γραφή· «Θὰ σοῦ ἀνοικοδομηθοῦν οἱ αἰώνιες ἔρημοι, μνημόσυνο γενεῶν γιὰ γενεές, θὰ σὲ ἀποκαλέσουν οἰκοδόμο φραγμῶν, καὶ θὰ σταματήσεις τὰ ἀνάμεσα ἀπὸ αὐτὲς περάσματα»[25].

Στίχ. 7. «Γιατὶ τὸ ἀμπέλι τοῦ Κυρίου τῶν δυνάμεων εἶναι τὸ ἔθνος τοῦ Ἰσραὴλ καὶ ὁ λαὸς τοῦ Ἰούδα, νεόφυτο δένδρο ἀγαπημένο. Περίμενα νὰ ἐφαρμόσει δικαιοσύνη, ὅμως διέπραξε ἀνομίες, ὄχι δικαιοσύνη, ἀλλὰ κραυγὴ ἐναντίον μου».

24. Ἰω. 15, 4-5.

25. Ἡσ. 58, 12.

Ἀποδέδειχεν ἐναργῶς ἐν τούτοις, ὅτιπερ ὁ λόγος αὐτῷ γέγονεν οὐ περὶ αἰσθητοῦ μᾶλλον ἀμπελῶνος, ἀλλὰ περὶ νοητοῦ. Δέχεται γὰρ ἀεί πως ἡ θεόπνευστος Γραφὴ τὰ ἐμφανῆ τῶν παραδειγμάτων εἰς ἔνδειξιν τῶν ἀφανεστέρων καὶ νοητῶν πραγμάτων. Καί γάρ ἐστι, φησίν, ὁ ἀμπελὼν τοῦ Κυρίου Σαβαώθ, καὶ τὸ νεόφυτον ἠγαπημένον, ὁ οἶκος τοῦ Ἰσραήλ, καὶ ὁ ἄνθρωπος τοῦ Ἰούδα. Ἀλλὰ καίτοι τῆς παρ' ἐμοὶ φειδοῦς καὶ ἀγάπης ἠξιωμένος καὶ πάσης φροντίδος ἀπολελαυκώς, οὐ γέγονεν εὔβοτρυς, οὐκ ἄμπελος εὐγενής, οὐ τετίμηκε νόμον, οὐδὲ ἐπιεικῆ καὶ ἁγίαν διεβίω ζωήν, ἐψεύσατο δὲ ὥσπερ καὶ τὴν τοῦ γηπονοῦντος ἐλπίδα. Ἐγὼ μὲν γὰρ προσεδόκησα κρίσιν, τοῦτ' ἔστι τὴν ἐκ διανοίας εἰλικρινοῦς ὀρθὴν καὶ ἀμώμητον τὴν ἐφ' ἅπασι τοῖς πρακτικοῖς αἱρεσιν, ἤτοι κρίσιν, ὁ δέ, φησί, πεποίηκεν ἀνομίαν. Καίτοι πῶς ἂν ἄμπελος ἀκάνθας τέκοι; Οὐκοῦν ἐψεύσατο, καθάπερ ἔφην ἀρτίως. Ὅθεν γὰρ ἦν εἰκὸς τοὺς τῆς δικαιοσύνης ἀναφῦναι καρπούς, ἐκεῖθεν ἀδόκητος ἐκδέδοται βίος, ὁ καὶ νόμων ἔξω τῶν ἱερῶν καὶ τῶν ἐκ τῆς θείας ἐντολῆς κατάρρησιν ἔχων.

Οὐκοῦν «ἐποίησεν ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν». «Κραυγὴν» δέ φησιν ἐκεῖνο οἶμαί που δεικνύων, ὅτι γέγονεν αὐτοῖς σεσοβημένος μὲν εἰς ὀργὰς καὶ θορύβου μεστὸς ὁ βίος. Διὸ καὶ ὁ θεσπέσιος Παῦλος τοῖς ἡγιασμένοις ἐντέλλεται λέγων· «Πᾶσα δὲ κραυγὴ καὶ ὀργὴ καὶ θυμὸς καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ». Πρέποι γὰρ ἂν οὐ τοῖς καθεστῶσαν ἔχουσι τὴν φρένα τὸ ταῖς ἀσυφήλοις κεχρῆσθαι κραυγαῖς, ἐκείνοις δὲ μᾶλλον, οἷς ὁ βίος οὐκ ἀσφαλής· μᾶλλον δὲ πρὸς πᾶν ὁτιοῦν εὐκόλως τῶν κακῶν, καὶ θυμῷ μᾶλλον ἢ συνέσει διοικουμένοις. Ἔοικε δὲ καὶ τὴν παγχάλεπον τῶν Ἰουδαίων κραυγὴν ὑπαινίττεσθαι, ἣν ἐπ' αὐτῷ πεποίηνται τῷ Χριστῷ. Πιλάτου γὰρ ὀνειδίζοντος, εἰ δὴ βούλοιντο σταυροῦσθαι τὸν

Ἔδειξε ὁλοκάθαρα μὲ αὐτά, ὅτι ὁ λόγος δὲν ἔγινε ἀπὸ αὐτὸν γιὰ τὸν αἰσθητὸ ἀμπελώνα, ἀλλὰ γιὰ τὸν νοητό. Γιατὶ πάντοτε ἡ θεόπνευστη Γραφὴ δέχεται τὰ φανερὰ παραδείγματα ὡς μέσα πρὸς φανέρωση τῶν ἀφανέστερων καὶ νοητῶν πραγμάτων. Καὶ πράγματι λέγει ὅτι «ὁ ἀμπελώνας εἶναι τοῦ Κυρίου τῶν δυνάμεων καὶ τὸ ἀγαπημένο νεόφυτο δένδρο εἶναι ὁ λαὸς τοῦ Ἰσραὴλ καὶ τὸ γένος τοῦ Ἰούδα». Ἀλλὰ μολονότι ἀξιώθηκε ἀπὸ μένα τῆς πρόνοιας καὶ ἀγάπης καὶ εἶχε ἀπολαύσει ὅλη τὴ φροντίδα μου, δὲν ἔγινε πολύκαρπος, δὲν ἔγινε ἀμπέλι εὐγενές, δὲν τίμησε τὸ νόμο, οὔτε ἔζησε ὀρθὴ καὶ ἁγία ζωή, ἀλλὰ διέψευσε κατὰ κάποιο τρόπο καὶ τὴν ἐλπίδα τοῦ γεωργοῦ. Γιατὶ λέγει, ἐγὼ περίμενα κρίση, δηλαδὴ τὴν μὲ εἰλικρινῆ σκέψη ὀρθὴ καὶ ἄμεμπτη γιὰ ὅλα τὰ πρακτικὰ ζητήματα ἐκλογή, ἤτοι κρίση, ἐνῶ αὐτός, λέγει, διέπραξε ἀνομία. Γιατὶ πῶς ἀλλιῶς μποροῦσε τὸ ἀμπέλι νὰ παράγει ἀγκάθια; Ἐπομένως μὲ διέψευσε, ὅπως εἶπα πρὶν ἀπὸ λίγο. Γιατὶ ἀπὸ ἐκεῖ ποὺ ἦταν φυσικὸ νὰ βγοῦν οἱ καρποὶ τῆς δικαιοσύνης, ἀπὸ ἐκεῖ βγῆκε ἀπροσδόκητος τρόπος ζωῆς, ὁ ὁποῖος καὶ ἔξω ἀπὸ τοὺς ἱεροὺς νόμους εἶναι, καὶ ὁ θεῖος νόμος τὸν κατακρίνει.

Διέπραξε λοιπὸν ἀνομία καὶ ὄχι δικαιοσύνη, ἀλλὰ κραυγή. Καὶ βέβαια λέγοντας κραυγή, νομίζω δείχνει ἐκεῖνο· ὅτι ἡ ζωή τους ἔγινε ὁρμητικὴ στὴν ὀργὴ καὶ γεμάτη ἀπὸ θόρυβο. Γι' αὐτὸ καὶ ὁ θεϊκὸς Παῦλος δίνει ἐντολὴ στοὺς πιστοὺς καὶ τοὺς λέγει· «Κάθε κραυγὴ καὶ ὀργὴ καὶ θυμὸς καὶ βλασφημία νὰ ἐκλείψει ἀπὸ σᾶς, μαζὶ καὶ κάθε κακία»[26]. Γιατὶ αὐτοὶ ποὺ ἔχουν σταθερὴ σκέψη δὲν πρέπει νὰ ξεσποῦν σὲ ἀπρεπεῖς κραυγές, ἀλλ' αὐτὸ ταιριάζει σὲ ἐκείνους μᾶλλον ποὺ ὁ βίος τους εἶναι ἀσταθής, ἢ καλύτερα ποὺ εὔκολα ὁδηγοῦνται πρὸς κάθε κακό, καὶ καθοδηγοῦνται ἀπὸ θυμὸ μᾶλλον παρὰ ἀπὸ σύνεση. Φαίνεται ὅμως ὅτι ὑπαινίσσεται καὶ τὴ βαρύτατη κραυγὴ τῶν Ἰουδαίων, τὴν ὁποία ἀφησαν νὰ ξεσπάσει ἐναντίον τοῦ Χριστοῦ. Γιατί, ὅταν ὁ Πιλάτος τοὺς κατηγοροῦσε ποὺ ἤθελαν νὰ σταυρωθεῖ ὁ βασιλιὰς

26. Ἐφ. 4, 31.

βασιλέα τὸν ἑαυτῶν, ἁπάσης εὐκοσμίας τε ὁμοῦ καὶ φιλοθεΐας ἠφειδηκότες ἀνακεκράγεσαν αὐτοί· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Κραυγὴ τοίνυν πονηρὰ τῆς Ἰουδαίων συναγωγῆς ὁ καιρός, δι' ἣν ἀφῄρηται καὶ φραγμοῦ καὶ τοίχου καὶ ἀρδείας τῆς ἐκ νεφελῶν ἁγίων. Ἐστέρηνται δὲ καὶ ἁπάσης ἐπιμελείας Ἔφη γάρ, ὅτι «Ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ». Κατεχερσώθη δὲ ὅλος ἀκάνθας ἐκτετοκώς, αἳ φλογός εἰσι τροφή.

Στίχ. 8-9. «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα».

Ἵνα μή τις οἴηται μάτην κατειρηκότα τοῦ Ἰσραὴλ εἰκῇ τε τὴν ἄμπελον διαβαλεῖν, ὡς ἥκιστα μὲν σταφυλὴν ἐκτετοκυῖαν, μᾶλλον δὲ ἀκάνθας, τοῦτ' ἔστιν ἀντὶ κρίσεως, ἤτοι κριμάτων δικαίων, ἀνομίας, ἀντὶ δὲ τῆς δικαιοσύνης, κραυγήν, ἀπαριθμεῖται χρησίμως τὰ δι' ὧν ἦν εἰκός, οὐ μετρίως κατεγνωσμένον ἰδεῖν, καὶ οὐκ ἐπὶ τοῖς τυχοῦσιν ἁπλῶς, ἀλλ' ἐπὶ τοῖς ἄγαν ἐκνομωτάτοις, καὶ τοῖς ὅτι μάλιστα κατεστυγημένοις παρά γε τῷ φιλαρέτῳ Θεῷ. Ταύτῃτοί φησιν· «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι». Ἔνεστι γὰρ ὡς ἐπίπαν τοῖς ἐθέλουσι πλουτεῖν, καὶ μὴν καὶ τὸ δύνασθαι λαχοῦσι πρὸς τοῦτο, τὸ ἀεί τι θέλειν τοῖς ἤδη πεπορισμένοις ἐπισωρεύειν ἔτι, καὶ τὰ τῆς οὐσίας αὐτοῖς ἐν ἀκαταλήκτοις πλεονασμοῖς ὁρᾶσθαι ποιεῖν. Καὶ γοῦν ἐπιφύονται τοῖς ὁμόροις ἀεὶ καὶ γείτοσιν, εὐρυτέρας τε τὰς ἐν ἄστεσιν οἰκίας ἀποτελεῖν σπουδάζοντες, καταβιαζόμενοι δὲ τοὺς τῶν ὁμορούντων αὐτοῖς χωρίων δεσπότας, καὶ τοῖς ἰδίοις συνάπτοντες. Ἀκόρεστον γάρ τι χρῆμα πλού-

τους, ἀδιαφορώντας αὐτοὶ γιὰ κάθε τάξη καὶ ἀγάπη τοῦ Θεοῦ κραύγασαν· «Πᾶρε τον, πᾶρε τον, καὶ σταύρωσέ τον· δὲν ἔχομε ἄλλο βασιλιά, παρὰ μόνο τὸν Καίσαρα»[27]. Εἶναι λοιπὸν κραυγὴ κακίας ὁ καρπὸς τῆς Ἰουδαϊκῆς Συναγωγῆς, ἐξαιτίας τῆς ὁποίας τῆς ἀφαιρέθηκε ὁ φράχτης καὶ ὁ τοῖχος καὶ ἡ ἄρδευση ἀπὸ τὶς ἅγιες νεφέλες, καὶ στερήθηκαν καὶ κάθε φροντίδα. Γιατὶ εἶπε· «Θὰ ἐγκαταλείψω τὸν ἀμπελώνα μου, καὶ δὲν θὰ κλαδευθεῖ οὔτε θὰ σκαφθεῖ». Ἔγινε ἐξολοκλήρου χέρσος καὶ γέννησε ἀγκάθια, ποὺ εἶναι τροφὴ τῆς φωτιᾶς.

Στίχ. 8-9. «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ ἑνώνουν σπίτι μὲ σπίτι καὶ χωράφι μὲ ἄλλο χωράφι, γιὰ ν' ἀφαιρέσουν κάτι ἀπὸ τὸν γείτονά τους. Μήπως θὰ κατοικήσετε μόνοι στὴ γῆ; Γιατὶ αὐτὰ ἔφτασαν στὰ αὐτιὰ τοῦ Κυρίου τῶν δυνάμεων».

Γιὰ νὰ μὴ νομίζει κάποιος ὅτι ἄδικα κατηγόρησε τὸν Ἰσραὴλ καὶ χωρὶς λόγο διέβαλε τὸ ἀμπέλι, ὅτι δὲν ἔκανε καθόλου σταφύλια, ἀλλὰ μᾶλλον ἀγκάθια, δηλαδὴ ἀντὶ γιὰ κρίση, ἤτοι γιὰ δίκαιες ἐντολές, διέπραξε ἀνομία, καὶ ἀντὶ γιὰ δικαιοσύνη, ἔβγαλε κραυγή, ἀπαριθμεῖ μὲ τρόπο χρήσιμο αὐτὰ μὲ τὰ ὁποῖα ἦταν εὔλογο νὰ φανεῖ ὄχι μέτρια καταδικασμένος, καὶ ὄχι ἁπλῶς γιὰ τυχαῖα παραπτώματα, ἀλλὰ γιὰ τὰ πιὸ παράνομα καὶ τὰ πιὸ μισητὰ στὸ φίλο τῶν ἀρετῶν Θεό. Γι' αὐτὸ λοιπὸν λέγει· «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ ἑνώνουν σπίτι μὲ σπίτι καὶ χωράφι μὲ χωράφι, γιὰ νὰ τ' ἀφαιρέσουν κάτι ἀπὸ τὸν γείτονά τους». Γιατὶ ὑπάρχει γενικὰ σ' αὐτοὺς ποὺ θέλουν νὰ πλουτοῦν, καὶ ποὺ ἔλαχε βέβαια νὰ ἔχουν καὶ τὴ δύναμη γι' αὐτό, τὸ νὰ θέλουν πάντοτε νὰ ἐπισωρεύουν κάτι ἀκόμα σὲ ὅσα ἤδη ἔχουν ἀποκτήσει καὶ νὰ φαίνονται ὅτι τὴν περιουσία τους τὴν κάνουν μὲ πλεονεξίες ποὺ δὲν ἔχουν τέλος. Καὶ ἐπιτίθενται πάντοτε στοὺς κοντινούς καὶ τοὺς γείτονές τους, προσπαθώντας νὰ κάνουν πιὸ εὐρύχωρα τὰ σπίτια τους στὶς πόλεις, καὶ καταπιέζοντας τοὺς κυρίους τῶν γειτονικῶν τους χωραφιῶν, τὰ συνενώνουν μὲ τὰ δικά τους. Γιατὶ

27. Ἰω. 19, 15.

σιος ἀνήρ, εἰ παρακέοιτό πως αὐτῷ τὸ δύνασθαι ῥᾳδίως ἅπερ ἂν βούλοιτο κατορθοῦν. Πέπαυται γὰρ οὐδαμῶς τοῖς τοῦ πέλας ἐπιπηδῶν, καὶ διψῇ μὲν ἀεὶ τὸ οὔπω παρόν, γλίχεται δὲ τῶν μήπω πεπορισμένων.

«Οὐαὶ τοίνυν», φησί, «τοῖς συνάπτειν ἐθέλουσι τὰς ἑαυτῶν οἰκίας ταῖς ἑτέρων, καὶ ἀγροῖς ἀγρούς, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι». Πρόφασιν γάρ πως ἀεὶ τοῦ χρῆναι πλεονεκτεῖν ποιεῖσθαι σπουδάζουσι, τὸ μὴ δεῖν ἑτέρους γειτνιᾷν αὐτοῖς· εἶτα διάζονται τοὺς ἀσθενεστέρους, καὶ πλεονεκτοῦσιν ἀνοσίως κατοιμώζοντας ἔσθ' ὅτε, καὶ τῆς ἐνούσης αὐτοῖς σκαιότητος κατακεκραγότας. Τί οὖν ἄρα φησὶν αὐτοῖς ὁ προφητικὸς λόγος; «Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;». Ἆρα γάρ, φησίν, οἴεσθε μόνους ὑμᾶς κατὰ τὴν γῆν ὑπάρχειν, μὴ ἐφεστηκότος Θεοῦ καὶ ἐφορῶντος τὰ δρώμενα; Καίτοι λίαν ἐγγὺς ὁ τῶν ὅλων ἐστὶ Δεσπότης· ἠκούσθη τὰ παρ' ὑμῶν. Καὶ τίνα τρόπον; ἴσως ἐρεῖτε. Κατακεκραγότων δηλονότι τῶν ἠδικημένων. Τοιοῦτόν τι καὶ ὁ Σωτῆρος ἡμῖν γέγραφε μαθητής· «Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῖν ταῖς ἐπερχομέναις». Καὶ πρός γε τούτῳ φησίν· «Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν. Ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράξει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν». Δέχεται γὰρ καὶ λίαν ἑτοίμως τὰς τῶν πλεονεκτουμένων φωνὰς ἡ παναγία τε καὶ μισοπόνηρος φύσις.

Ὅτι δὲ οὐκ ἀφέστηκε τῶν ἐπὶ τῆς γῆς, πιστώσεται λέγων αὐτός· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ Θεὸς πόρρωθεν». Ἀκουέτωσαν τοίνυν οἱ πλεονεκτεῖν ἐθέλοντες καὶ διάζειν καὶ διαρπάζειν ἀδελφούς· «Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;». Πάρεστι γὰρ ὁ τῶν ὅλων Θεός Ἰστέον

28. Ἰακ. 5, 1.
29. Ἰακ. 5, 4.
30. Ἱερ. 23, 23.

εἶναι ἀχόρταγο θηρίο ὁ πλούσιος, ἂν ὑπάρχει σ' αὐτὸν ἡ δυνατότητα νὰ πετυχαίνει εὔκολα αὐτὰ ποὺ θέλει. Καθόσον δὲν ἔπαψε καθόλου νὰ ὁρμᾶ στὴν περιουσία τοῦ γείτονά του, διψώντας πάντοτε αὐτὸ ποὺ δὲν εἶναι ἀκόμα δικό του καὶ ἐπιθυμώντας ἐκεῖνα ποὺ δὲν ἔχει ἀποκτήσει.

«Ἀλλοίμονο λοιπόν», λέγει, «σὲ ἐκείνους ποὺ θέλουν νὰ ἑνώνουν τὰ σπίτια τους μὲ τὰ σπίτια τῶν ἄλλων, καὶ τὰ χωράφια τους μὲ τὰ χωράφια τῶν ἄλλων, γιὰ ν' ἀφαιρέσουν κάτι ἀπὸ τὸν γείτονά τους». Πρόφαση δηλαδὴ τῆς ἀδιάκοπης πλεονεξίας τους κάνουν τὸ ὅτι δὲν πρέπει νὰ γειτονεύουν ἄλλοι μαζί τους· ἔπειτα ἐκβιάζουν τοὺς ἀσθενέστερους καὶ ἐκδηλώνουν μὲ ἀνόσιο τρόπο τὴν πλεονεξία τους πρὸς ἀνθρώπους ποὺ θρηνοῦν πολλὲς φορὲς καὶ καταδικάζουν τὴ βαναυσότητα ποὺ ὑπάρχει σ' αὐτούς. Τί λέγει λοιπὸν σ' αὐτοὺς ὁ προφητικὸς λόγος; «Μήπως θὰ κατοικήσετε μόνοι στὴ γῆ;». Ἄραγε, λέγει, νομίζετε ὅτι ἐσεῖς μόνο ὑπάρχετε στὴ γῆ, καὶ δὲν ὑπάρχει ἐπάνω Θεὸς ποὺ νὰ βλέπετε αὐτὰ ποὺ κάνετε; Ἂν καὶ βέβαια εἶναι πολὺ κοντὰ ὁ Κύριος· ἔφτασαν στ' αὐτιά του τὰ ἔργα σας. Καὶ μὲ ποιὸ τρόπο; θὰ πεῖτε ἴσως. Μὲ τὶς κραυγὲς δηλαδὴ ἐκείνων ποὺ ἀδικήθηκαν. Κάτι παρόμοιο μᾶς ἔχει γράψει καὶ ὁ μαθητὴς τοῦ Σωτήρα· «Ἐμπρὸς λοιπόν, πλούσιοι, κλάψτε τώρα μὲ μεγάλους θρήνους γιὰ τὶς ταλαιπωρίες ποὺ ἔρχονται νὰ σᾶς βροῦν»[28]. Καὶ μαζὶ μ' αὐτὸ λέγει καὶ τοῦτο· «Νὰ ὁ μισθὸς τῶν ἐργατῶν ποὺ θέρισαν τὰ χωράφια σας. Αὐτὸς ποὺ τοῦ στερήσατε τὰ δικά του θὰ φωνάξει καὶ οἱ φωνὲς τῶν θεριστῶν ἔχουν φτάσει στ' αὐτιὰ τοῦ Κυρίου τῶν δυνάμεων»[29]. Γιατὶ δέχεται, καὶ μάλιστα πολὺ πρόθυμα, τὴ φωνὴ ἐκείνων ποὺ ἀδικοῦνται ἡ πανάγια φύση ποὺ μισεῖ τὸ κακό.

Ὅτι ὅμως δὲν βρίσκεται μακριὰ ἀπὸ τοὺς ἀνθρώπους θὰ τὸ βεβαιώσει ὁ ἴδιος λέγοντας· «Ἐγὼ εἶμαι Θεὸς ποὺ βρίσκομαι κοντά, λέγει ὁ Κύριος, καὶ ὄχι Θεὸς ποὺ βρίσκεται μακριά»[30]. Ἂς ἀκούσουν λοιπὸν ὅσοι θέλουν ὅλο καὶ περισσότερα καὶ ἐκβιάζουν καὶ ἁρπάζουν ἀδελφούς· «Μήπως θὰ κατοικήσετε

δὲ ὅτι, καίτοι κατὰ τὸ εἰκὸς τῶν ἄγαν ἀστειοτάτων, ὁ προφήτης ἡμῖν ἐν τούτοις ὑποδηλοῖ· Ὦ γὰρ πλούσιοι, φησί, τί τὰ τοῦ πλησίον ἁρπάζετε καὶ μεμισήκατε τὸν ἐγγύς; Συμβήσεται πάντως ὑμῖν δὴ καὶ μόνοις οἰκῆσαι τὴν χώραν, τῶν ἄλλων ἁπάντων ἐξωθουμένων. Ἔρημον οὖν τῶν κατῳκηκότων ἀποφανεῖτε τὴν γῆν. Ἄριστον οὖν ἄρα καὶ σοφόν, μεταποιεῖσθαι μόνων τῶν εἰς αὐτάρκειαν τὴν μεμετρημένην. «Κρεῖσσων» γὰρ «μερὶς μικρὰ μετὰ τοῦ φόβου Κυρίου, ἢ πολλὰ γενήματα μετὰ ἀδικίας». Εἰ δὲ δή τι χρὴ καὶ ἐξ ἱερῶν γραμμάτων λαβόντας εἰπεῖν, βεβασίλευκέ τις τῶν ἐν Σαμαρείᾳ κατὰ καιροὺς τοῦ Ἰσραήλ, ὃς δὴ καὶ οἶκον πολυτελέστατον ἑαυτῷ ἀναστήσας, πίπτει μὲν παρ' αὐτοῦ καὶ παραχρῆμα διόλλυται. Διελέγχων δὲ Θεὸς ὡς εἰκῇ πεποιηκότα, φησίν· «Ὠκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῥιπιστά, διεσταλμένα θυρίσιν, ἐξυλωμένα ἐκ κέδρων καὶ κεχρισμένα ἐν μίλτῳ. Μὴ βασιλεύσῃς, ὅτι σὺ παρωξύνθης ἐν Ἀχὰζ τῷ πατρί σου. Βέλτιον ἦν σε ποιεῖν κρίμα καὶ δικαιοσύνην καλήν». «Οὐ γὰρ ἂν ὀνήσουσι θησαυροὶ ἀνόμους», κατὰ τὸ γεγραμμένον, «δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου».

Στίχ. 9-10. «Ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἐρήμωσιν ἔσονται μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. Οὗ γὰρ ἔργονται δέκα ζεύγη βοῶν ποιήσει κεράμιον ἕν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει μέτρα τρία».

Ἠκούσθη μὲν γὰρ ὁμολογουμένως, φησίν, εἰς τὰ ὦτα Κυρίου Σαβαώθ, τὰ τῆς καθ' ἑτέρων πλεονεξίας ἐγκλήματα τῶν δυνατωτέρων. Τί οὖν σεσίγηκεν ἄρα, παρῆκεν ἡσυ-

31. Παροιμ. 15, 16.
32. Ἱερ. 22, 14-15.
33. Παροιμ. 10, 2.

μόνοι πάνω στὴ γῆ;». Εἶναι παρὼν ὁ Θεὸς τῶν ὅλων. Πρέπει νὰ γνωρίζομε αὐτὸ ποὺ ὑποδηλώνει ὁ προφήτης μὲ αὐτά, ποὺ βέβαια πολὺ εὔλογα εἶναι ἀπὸ τὰ πάρα πολὺ ὡραῖα· γιατὶ λέγει· "Ω πλούσιοι, γιατί ἁρπάζετε τὰ πράγματα τοῦ πλησίον σας καὶ ἔχετε μισήσει αὐτὸν ποὺ εἶναι κοντὰ σας; Θὰ συμβεῖ ὁπωσδήποτε σ' ἐσᾶς νὰ κατοικήσετε μόνοι στὴ χώρα, ἀφοῦ θὰ ἔχουν ἐκδιωχθεῖ ὅλοι οἱ ἄλλοι. Θὰ καταστήσετε λοιπὸν ἔρημη τὴ γῆ ἀπὸ τοὺς κατοίκους της. Ἄρα λοιπὸν εἶναι ἄριστο καὶ σοφὸ νὰ ζητοῦνται μόνον ὅσα συντελοῦν σὲ μετρημένη αὐτάρκεια. Γιατὶ λέγει· «Εἶναι προτιμότερη ἡ μικρὴ περιουσία μὲ φόβο Κυρίου, παρὰ ἀποκτήματα πολλὰ μὲ ἀδικία»[31]. Κι ἂν πρέπει νὰ πάρομε καὶ νὰ ποῦμε κάτι κι ἀπὸ τὴν ἁγία Γραφή· τὴν ἐποχὴ τοῦ Ἰσραὴλ εἶχε γίνει βασιλιὰς κάποιος ἀπὸ τὴ Σαμάρεια, ὁ ὁποῖος εἶχε οἰκοδομήσει καὶ πολυτελέστατη οἰκία γιὰ τὸν ἑαυτό του, ποὺ ἔπεσε ἀπὸ αὐτὴ καὶ πέθανε ἀμέσως. Ἐλέγχοντάς τον ὁ Θεὸς ὅτι ἄσκοπα ἔκανε τὸ σπίτι, τοῦ λέγει· «Οἰκοδόμησες γιὰ τὸν ἑαυτό σου μεγαλοπρεπῆ κατοικία, ὑπερῶα εὐάερα, μὲ πλατιὰ ἀνοίγματα παραθύρων, τὰ ξύλινα μέρη ἀπὸ κέδρο καὶ ἀλειμμένα μὲ σμάλτο. Μήπως θὰ βασιλεύσεις γιὰ πολύ, ἀφοῦ ἐξόργησες, ὅπως καὶ ὁ πατέρας σου Ἄχαζ, τὸν Θεό; Καλύτερα θὰ ἦταν νὰ ἦσουν δίκαιος στὶς κρίσεις σου καὶ νὰ ἐφαρμόζεις δικαιοσύνη σωστή»[32]. Γιατὶ σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Δὲν θὰ ὠφελήσουν τοὺς ἄνομους οἱ θησαυροί τους, ἐνῶ ἡ δικαιοσύνη θὰ σώσει ἀπὸ τὸ θάνατο»[33].

Στίχ. 9-10. «Γιατὶ ἂν γίνουν πολλὰ σπίτια, μεγάλα καὶ ὡραῖα, ὅλα θὰ ἐρημωθοῦν καὶ δὲν θὰ ὑπάρξουν αὐτοὶ ποὺ θὰ κατοικήσουν σ' αὐτά. Γιατί, χωράφι ποὺ τὸ ὀργώνουν δέκα ζεύγη βοδιῶν θὰ φέρει καρπὸ μιᾶς στάμνας, καὶ αὐτὸς ποὺ σπέρνει ἓξι ἀρτάβες[34], θὰ λάβει καρπὸ τρεῖς ἀρτάβες».

Ἔφθασαν ὁμολογουμένως στὰ αὐτιὰ τοῦ Κυρίου τῶν δυνάμεων τὰ ἐγκλήματα τῆς πλεονεξίας τῶν πιὸ δυνατῶν ἐναντίον τῶν ἄλλων. Τί λοιπόν, σιώπησε ἄσραγε, πέρασε ἥσυχα καὶ ἔβαλε

34. Ἀρτάβη· μέτρο χωρητικότητας τῶν Περσῶν.

χῇ καὶ χαλινὸν ἐπήνεγκε ταῖς ὀργαῖς; Οὐδαμῶς, φησί. Καὶ τούτου σαφὴς ἀπόδειξις τὸ εἰκαῖον ἀποφῆναι τοῖς τῶν ἀλλοτρίων ἐρασταῖς τὸ ἐπὶ τούτῳ σπούδασμα. Ποία γὰρ ὄνησις τοῦ συνάπτειν οἰκίαν πρὸς οἰκίαν, λαμπρῶς τε καὶ φιλοτίμως κατασκευάζειν ἑστίας, εἰ μή τις ἔσται, φησί, κατοικήσων ἐν αὐταῖς, δαπανήσαντος τοῦ πολέμου μικροὺς καὶ μεγάλους; Τί δὲ τῶν εὐρυοτάτων αὐτοῖς ὄφελος ἀγρῶν, εὐκαρπεῖν αὐτοῖς οὐκ ἐῶντος Θεοῦ, διὰ τὰς τῶν κτησαμένων, ἤγουν ἁρπασάντων, πλεονεξίας; Ἔσται γάρ, ἔσται ἐν ἀφορίᾳ τοσαύτῃ τὰ ἐν ἀγροῖς, ὡς εἴκοσι μόσχων, ἤτοι ζευγῶν δέκα πονούντων ἐν ἀμπελῶσιν, ἓν καὶ μόλις γενέσθαι κεράμιον, καὶ σπαρέντων μέτρων ἕξ, ἐν ἡμίσει τῆς τῶν σπερμάτων καταβολῆς τὴν τῶν καρπῶν ἀπόδοσιν ἰδεῖν. Ἀρκέσει δέ, οἶμαι, πρὸς ἐργασίαν ζεύγεσι δέκα βοῶν, πλείστη μὲν ἀμπελόφυτος γῆ, πλεῖστοι δὲ ὁμοίως ἀρόσιμοι κλῆροι.

Οὐκοῦν ἀνόνητος ἡ κτῆσις, καὶ τοῦ πλεονεκτεῖν εἰκαῖος ὁ πόνος, εἰ μήτε τις οἰκήσει τὰς ἐν τοῖς ἄστεσιν οἰκίας. Μὴ μὴν εὐφορήσει τὰ ἐν ἀγροῖς, Θεοῦ καταφθείροντος, καὶ τὴν τῶν ἁπλήστων ἐλέγχοντος ἀδικίαν. Ἐπειδὴ δὲ καὶ ἡμῶν ἕκαστος ἐν ἰδίᾳ ψυχῇ νοητὸν ἔχει γεώργιον καὶ τὸν τῆς δικαιοσύνης ἐργάζεται σπόρον, φυλαττώμεθα τὸ προσκρούειν Θεῷ. Τότε γάρ, τότε, καθάπερ οἶκον ἀσφαλῆ καὶ ἐρηρεισμένον, οἰκήσομεν τὴν πολυειδῆ καὶ παμποίκιλον ἀρετήν, πληθυνοῦμεν δὲ σίτων ὥσπερ κοιλάδες, εὐλογήσει δὲ ὁ τῶν ὅλων Θεὸς τὸν σπόρον ἡμῶν, «καὶ αὐξήσει τὰ γεννήματα τῆς δικαιοσύνης ἡμῶν», καθά φησιν ὁ θεσπέσιος Παῦλος.

Στίχ. 11-12. «Οὐαὶ οἱ ἐγειρόμενοι τῷ πρωὶ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων τὸν οἶνον πίνουσι καὶ αὐλῶν, τὰ δὲ ἔργα Κυρίου

35. Β' Κορ. 9, 10.

χαλινάρι στὴν ὀργή; Καθόλου, λέγει. Καὶ σαφὴς ἀπόδειξη αὐτοῦ εἶναι, τὸ ὅτι παρουσίασε ἀνώφελη τὴν προσπάθεια γι' αὐτὸ σὲ ἐκείνους ποὺ ἐπιθημοῦν τὰ ξένα πράγματα. Ποιὰ δηλαδὴ εἶναι ἡ ὠφέλεια νὰ συνενώνουν σπίτι μὲ σπίτι, νὰ κατασκευάζουν μεγαλοπρεπεῖς καὶ φιλόδοξες κατοικίες, ἂν δὲν ὑπάρχει, λέγει, αὐτὸς ποὺ θὰ κατοικήσει σ' αὐτές, ἀφοῦ ὁ πόλεμος θὰ ἀφανίσει μικροὺς καὶ μεγάλους;. Καὶ ποιὸ εἶναι τὸ ὄφελος τῶν πάρα πολὺ μεγάλων ἀγρῶν, ἂν ὁ Θεὸς δὲν ἐπιτρέπει νὰ δώσουν καρπούς, ἐξαιτίας τῶν πλεονεξιῶν ἐκείνων ποὺ τοὺς ἀπέκτησαν, δηλαδὴ τοὺς ἅρπαξαν; Γιατὶ θὰ συμβεῖ, ὁπωσδήποτε θὰ συμβεῖ τόση ἀκαρπία στοὺς ἀγρούς, ὥστε, ἂν καὶ θὰ κοπιάζουν εἴκοσι βόδια, ἤτοι δέκα ζεύγη, στὰ ἀμπέλια, θὰ παραχθεῖ καρπὸς μόλις μία στάμνα, καὶ ἐνῶ θὰ σπαροῦν ἓξι μέτρα, θὰ δεῖς τὴν ἀπόδοση τοῦ καρποῦ νὰ εἶναι ἡ μισὴ ποσότητα τοῦ σπόρου. Θὰ εἶναι ἀρκετή, νομίζω, γιὰ τὴν ἐργασία δέκα ζευγαριῶν βοδιῶν, πολλὴ μεγάλη ἀμπελόφυτη γῆ καὶ ὅμοια πάρα πολλοὶ κλῆροι γιὰ ὄργωμα.

Εἶναι λοιπὸν ἀνώφελη ἡ ἀπόκτηση καὶ ἀνώφελος ὁ κόπος τῆς πλεονεξίας, ἐφόσον δὲν θὰ κατοικήσει κανένας στὰ σπίτια τῆς πόλης. Οὔτε βέβαια θὰ καρποφορήσουν τὰ χωράφια, ἀφοῦ θὰ τὰ καταστρέφει ὁ Θεὸς καὶ θὰ φανερώνει τὴν ἀδικία τῶν ἀχόρταγων. Ἐπειδὴ ὅμως καὶ καθένας ἀπὸ ἐμᾶς ἔχει στὴν ψυχή του νοητὸ χωράφι καὶ καλλιεργεῖ τὸν σπόρο τῆς δικαιοσύνης, ἂς φυλαγόμαστε νὰ μὴν προσκρούσομε στὸν Θεό. Γιατὶ τότε, τότε, σὰν κατοικία ἀσφαλὴς καὶ σταθερή, θὰ γίνομε κάτοικοι τῆς πολυειδοῦς καὶ πολύμορφης ἀρετῆς, καὶ θὰ γεμίσομε ἀπὸ σιτάρι ὅπως οἱ κοιλάδες, καὶ ὁ Θεὸς τῶν ὅλων θὰ εὐλογήσει τὸν σπόρο μας καὶ «θὰ πληθύνει τοὺς καρποὺς τῆς δικαιοσύνης μας», ὅπως λέγει ὁ θεσπέσιος Παῦλος[35].

Στίχ. 11-12. «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ σηκώνονται τὸ πρωὶ καὶ ἐπιδίδονται στὸ ποτό, αὐτοὶ ποὺ συνεχίζουν νὰ πίνουν μέχρι τὸ βράδυ. Γιατὶ τὸ κρασὶ θὰ τοὺς κατακάψει. Μὲ συνοδία κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων πίνουν τὸ

οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν».

Συνάπτει τοῖς πρώτοις ἕτερα καὶ παγχάλεπα τῶν πλουσίων ἐγκλήματα. Πάρεσται γὰρ αὐτοῖς, πρός γε τῷ βούλεσθαι πλεονεκτεῖν καὶ ἀκορέστως διάζεσθαι τοὺς ἀσθενεστέρους, καὶ τὸ ἐν πότοις εἶναι φιλεῖν, καὶ τρυφαῖς ἐπιγάννυσθαι, κώμοις τε καὶ μέθαις ἀκαταλήκτοις, καὶ τοῖς ἐκ φιλοσαρκίας καταμιαίνεσθαι κακοῖς· καὶ τοῦτο ἐνδελεχῶς οἴεσθαι δεῖν αὐτοὺς ἐν παντὶ δὴ τοῦτο πράττειν καιρῷ. Ἱκανὸς γὰρ ὁ πλοῦτος ἀκονῆσαι πρὸς τρυφὰς καὶ τὸν ἐπ' αὐτοῖς ἀφανίσαι κόρον. Ἀλλ' «ὁ σπείρων εἰς τὴν σάρκα», καθά φησιν ὁ Παῦλος, «ἐκ τῆς σαρκὸς θερίσει φθοράν». Τέλος γὰρ τῆς προσκαίρου τρυφῆς μακρὸν καὶ διηνεκὲς ἔσται δάκρυον, καὶ σαρκικῆς ἡδονῆς ὄλεθρος ὁ καρπός Γράφει τοίνυν ἡμῖν ὁ προφήτης τὰς τῶν Ἰουδαίων ἀγερωχίας, καὶ τὸ ἐξίτηλον εἰς τρυφάς, καὶ τὸ κεχυμένον εἰς ἀσωτίας. Πάντα γάρ, φησί, καιρὸν ἀπονέμοντες ταῖς γαστριμαργίαις, ὑπὸ τὴν ἕω ζητοῦσι τὸ σίκερα, καὶ τοῖς ἡλίου δρόμοις συνεκτείνουσι τοὺς πότους, καὶ μέχρις αὐτῆς μένοντες τῆς ἑσπέρας. Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Ὁμολογουμένως μὲν γὰρ ἐμποιεῖ τινα καῦσιν ἄδην πινόμενος τοῖς σπλάγχνοις ὁ οἶνος. Συγκαύσει δὲ καὶ ἑτέρως τοῦ μεθύειν τοὺς ἐραστάς, ἔσται γὰρ αὐτοῖς πρὸς τοῦτο κολάζοντος ἀφορμή. Συγκαυθήσονται δὲ πάντῃ τε καὶ πάντως εἰς φλόγας πεμπόμενοι τὰς διηνεκεῖς καὶ ἡτοιμασμένας τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ταύτῃτοι καὶ ὁ μέθυσος ὁμοῦ τοῖς ἄλλοις βεβήλοις ἀπόκληρος ἔσται παρὰ Θεῷ, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν οὐκ εἰσελεύσεται.

Ὅρα γὰρ ὅση τῶν Ἰουδαίων γέγονε κατὰ καιροὺς ἡ ἐπὶ τὸ χρῆναι τρυφᾶν ἐξιτηλία. Ὅπου γὰρ ὁ κιθάρας κτύπος καὶ τυμπάνων ἦχος καὶ τῶν αὐλούντων συναναφώνη-

---

36. Γαλ. 6, 8.

κρασί τους καὶ μὲ συνοδία αὐλῶν, ἀλλὰ δὲν βλέπουν τὰ ἔργα τοῦ Κυρίου καὶ δὲν κατανοοῦν τὰ ἔργα τῶν χεριῶν του».

Συνδέει μὲ τὰ πρῶτα ἄλλα καὶ πολὺ βαρύτατα ἐγκλήματα τῶν πλουσίων. Γιατὶ βαρύνονται, ἐκτὸς ἀπὸ τὸν πόθο ποὺ ἔχουν γιὰ περισσότερο πλοῦτο, καὶ τὸ νὰ ἐκβιάζουν ἀχόρταγα τοὺς ἀσθενέστερους, καὶ μὲ τὴν ἀγάπη ποὺ ἔχουν γιὰ τὸ ποτὸ καὶ μὲ τὸ ὅτι χαίρονται νὰ ἐπιδίδονται στὶς ἀπολαύσεις καὶ νὰ καταμολύνονται μὲ γλέντια καὶ μεθύσια ἀτελείωτα καὶ μὲ τὴν ἀκαθαρσία τῆς ἀγάπης πρὸς τὴ σάρκα, καὶ νομίζουν ὅτι πρέπει αὐτὸ νὰ τὸ πράττουν χωρὶς διακοπὴ σὲ κάθε καιρό. Γιατὶ ὁ πλοῦτος εἶναι ἱκανὸς νὰ κεντρίσει πρὸς ἀπολαύσεις καὶ ν' ἀφανίσει κάθε κόρο γι' αὐτές. Ἀλλά, ὅπως λέγει ὁ Παῦλος «Ὅποιος σπέρνει στὴ σάρκα, θὰ θερίσει ἀπὸ τὴ σάρκα φθορά»[36]. Γιατὶ τὸ τέλος τῆς πρόσκαιρης τρυφῆς εἶναι τὸ μακρὸ καὶ ἀσταμάτητο δάκρυ καὶ ὁ καρπὸς τῆς σαρκικῆς ἡδονῆς εἶναι ὁ ὄλεθρος. Μᾶς περιγράφει λοιπὸν ὁ προφήτης τὶς πράξεις ἀγερωχίας τῶν Ἰουδαίων καὶ τὴν ἀδυναμία πρὸς τὶς ἀπολαύσεις καὶ τὴν ἀποχάυνωση πρὸς τὴν ἀσωτία. Γιατὶ λέγει, ἀφιερώνοντας ὅλο τὸ χρόνο τους στὴ γαστριμαργία, ἀπὸ τὴν αὐγὴ ἀκόμα ζητοῦν τὸ ποτό, καὶ τὸ συνεχίζουν παράλληλα μὲ τὴν πορεία τοῦ ἥλιου, μένοντας στὸ ποτὸ μέχρι τὸ βράδυ. Γιατὶ λέγει· «Τὸ κρασὶ θά τοὺς κατακάψει». Καὶ ὁμολογουμένως τὸ κρασὶ προκαλεῖ κάποια καύση στὰ σπλάχνα ὅταν πίνεται ἀφειδῶς. Θὰ κατακάψει ὅμως καὶ διαφορετικὰ τοὺς ἐραστὲς τῆς μέθης· γιατὶ θὰ τοὺς γίνει ἀφορμὴ στὸν τιμωρό τους γιὰ τὴν τιμωρία αὐτή. Θὰ κατακαοῦν ὁλοσχερῶς καὶ ὁπωσδήποτε παραπεμπόμενοι στὶς ἀκατάπαυστες φλόγες ποὺ εἶναι ἑτοιμασμένες γιὰ τὸν διάβολο καὶ τοὺς ἀγγέλους του. Ἔτσι κι ὁ μέθυσος μαζὶ μὲ τοὺς ἄλλους ἀνόσιους θὰ στερηθεῖ τὴ συμμετοχὴ στὸν κλῆρο τοῦ Θεοῦ καὶ δὲν θὰ μπεῖ στὴ βασιλεία τῶν οὐρανῶν.

Πρόσεχε λοιπὸν πόση ἀδυναμία ἔδειξαν οἱ Ἰουδαῖοι κατὰ καιροὺς γιὰ τὴν ἀνάγκη τῶν ἀπολαύσεων. Γιατί, ὅπου ὑπάρχει ὁ ἦχος τῆς κιθάρας καὶ τὸ χτύπημα τῶν τυμπάνων καὶ ἡ μουσικὴ

σις, σὺν εὐρυθμίᾳ καὶ κρότοις, ἐκεῖ που πάντως ἐστὶ καὶ πᾶν εἶδος ἀκαθαρσίας, καὶ τὰ κρυφῇ γιγνόμενα παρ' αὐτῶν, ἃ καὶ αἰσχρόν ἐστι λέγειν. Ζημιοῖ δὲ τοῦτο αὐτοὺς τὸ μὴ δύνασθαι καθορᾶν τὴν τοῦ Θεοῦ δόξαν, μήτε μὴν ἐνατενίζειν τοῖς ἔργοις αὐτοῦ. Ὥσπερ γὰρ ὁ τοῦ σώματος ὀφθαλμός, ἢ κόνεως ἐμβαλούσης ἢ λήμης ἐγκεχυμένης ἢ παρενοχλοῦντος τραύματος, ἰδεῖν οὐ δύναται καθαρῶς, οὕτω καὶ ἀνθρώπινος νοῦς ταῖς τῆς σαρκὸς εἰ καταπαχύνοιτο τρυφαῖς, ἀναμύειν οὐ δύναται πρὸς Θεόν, οὔτε μὴν ἀκριβῆ τοῖς παρ' αὐτοῦ γινομένοις ἐνερείδειν τὴν ὄψιν, δι' ὧν ἔστι, καὶ μάλα σαφῶς, τίς τε καὶ ὅσος ἐστὶν ὁ Δημιουργὸς ἐννοεῖν δύνασθαι. Γινώσκεται γάρ ἀπὸ καλλονῆς κτισμάτων, καὶ θαυμάσειεν ἂν αὐτὸν καὶ μάλα πλουσίως ὁ τοῖς παρ' αὐτοῦ πεποιημένοις τὸ θαῦμα διδούς. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος· «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης». Εἰκὸς δὲ δὴ τὸν προφήτην καταιτιᾶσθαι τοὺς Ἰουδαίους ὡς ἀγαπῶνται πότους, συλλεγομένους δέ, καὶ μάλα προθύμως, εἰς τρυφάς· μὴ μὴν ἔτι καὶ εἰς νοῦν ἔχειν, ἤγουν εἰς τὰ μέλλοντα θεωρεῖν, τοῦτ' ἔστι τὰ συμβήσοντα αὐτοῖς ὡς ἐκ θείας ὀργῆς, ἃ καὶ ἔργα φησὶ τῶν χειρῶν τοῦ Θεοῦ. Ποιεῖ γὰρ εἰρήνην τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς παροτρύνουσι κτίζει κακά. Εἰ γὰρ ἑώρων τὰ ἐσόμενα κατ' αὐτῶν ἔργα Κυρίου, οὐκ ἂν ἠνέσχοντο πότον, ἀλλ' ἦν ἂν αὐτοῖς ἐν σπουδῇ τὸ δάκρυον, καὶ φίλος ὁ θρῆνος, πόνοι τε καὶ προσευχαὶ καὶ τὰ τῆς μεταγνώσεως ἔργα, τῶν ἐν ἀσωτίᾳ κακῶν ἡδίονα.

Στίχ. 13-16. «Τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον, καὶ πλῆθος ἐγενήθη νεκρῶν, διὰ λιμὸν καὶ δίψαν ὕδατος. Καὶ ἐπλάτυνεν

37. Ρωμ. 1,20.

συμφωνία τῶν αὐλητῶν μὲ εὐρυθμία καὶ κρότους, ἐκεῖ ὁπωσδήποτε ὑπάρχει καὶ κἀθε εἶδος ἀκαθαρσίας καὶ ὅσα κρυφὰ γίνονται ἀπ' αὐτούς, τὰ ὁποῖα εἶναι αἰσχρὸ καὶ νὰ τὰ ἀναφέρει κανείς. Κι αὐτὸ τοὺς ζημιώνει, τὸ νἀ μὴν μποροῦν δηλαδὴ νὰ ἀντικρύσουν τὴ δόξα τοῦ Θεοῦ οὔτε νὰ ἀτενίζουν τὰ ἔργα του. Ὅπως δηλαδὴ ὁ σωματικὸς ὀφθαλμὸς ὅταν μπεῖ σ' αὐτὸν ἡ σκόνη ἢ κυριευθεῖ ἀπο τσίμπλα ἢ ἐνοχλεῖται ἀπὸ κάποιο τραῦμα δὲν μπορεῖ νἀ δεῖ καθαρἀ, ἔτσι καὶ ὁ νοῦς τῶν ἀνθρώπων, ἂν καταπαχύνει μὲ τὶς σωματικὲς ἀπολαύσεις, δὲν μπορεῖ νὰ κοιτάξει πρὸς τὸν Θεὄ, ἀλλ' οὔτε καὶ νὰ δεῖ μὲ ἀκρίβεια ὅσα γίνονται ἀπὸ αὐτόν, ἀπὸ τἀ ὁποῖα θὰ μπορέσει, καὶ μὲ πολλἢ σαφήνεια, νὰ ἐννοήσει ποιὸς καὶ πόσο μεγάλος εἶναι ὁ Δημιουργὸς. Γιατὶ γίνεται γνωστὸς ἀπὸ τὴν ὀμορφιἀ τῶν κτισμάτων καὶ θὰ τὸν θαύμαζε, καὶ μὲ πολὺ πλούσιο τρόπο, ὅποιος θαυμάζει ὅσα δημιουργήθηκαν ἀπὸ αὐτόν. Γιατί, ὅπως γράφει ὁ μακάριος Παῦλος, «Οἱ ἀόρατες ἰδιότητες τοῦ Θεοῦ, ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος γίνονται ὁρατὲς μέσω τῶν δημιουργημάτων του, τόσο ἡ αἰώνια δύναμή του, ὅσο καὶ ἡ θεία φύση του»[37]. Καὶ εἶναι εὔλογο ὁ προφήτης νὰ κατηγορεῖ τοὺς Ἰουδαίους ὅτι ἀγαποῦν τὰ ποτἀ καὶ μὲ πολὺ προθυμία συγκεντρώνονται γιὰ διασκεδάσεις, χωρὶς κἂν νὰ ἔχουν ἀκόμα στὸ νοῦ τους ἢ νὰ μποροῦν νὰ προβλέψουν τὰ μελλοντικἀ, δηλαδὴ αὐτὰ ποὺ θὰ τοὺς συμβοῦν ἀπὸ τὴ θεία ὀργή, ποὺ εἶναι, λέγει, καὶ ἔργα τῶν χεριῶν του. Γιατὶ παρέχει τὴν εἰρήνη σὲ ἐκείνους ποὺ τὸν ἀγαποῦν καὶ σὲ ὅσους τὸν ἐξοργίζουν προξενεῖ δεινἀ. Γιατί, ἂν ἔβλεπαν τί τοὺς περιμένει ἐκ μέρους τοῦ Θεοῦ, δὲν θὰ ἐπιδίωκαν τὸ ποτό, ἀλλὰ ἡ φροντίδα τους θὰ ἦταν τὸ δάκρυ καὶ ἀγαπητὸς ὁ θρῆνος, καθὼς καὶ κόποι καὶ προσευχὲς καὶ τὰ ἔργα τῆς μετάνοιας, ποὺ εἶναι γλυκύτερα ἀπὸ τοὺς κακοὺς καρποὺς τῆς ἀσωτίας.

Στίχ. 15-16. «Ἔγινε λοιπὸν ὁ λαός μου αἰχμάλωτος, ἐπειδὴ δὲν γνώρισαν τὸν Κύριο καὶ πλῆθος μεγάλο πέθαναν ἀπὸ πεῖνα καὶ δίψα νεροῦ. Πλάτυνε ἡ ψυχὴ τοῦ Ἅδη ἀπὸ χαρὰ

ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξεν τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν. Καὶ καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς. Καὶ ταπεινωθήσεται ἄνθρωπος καὶ ἀτιμασθήσεται ἀνήρ, καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται Κύριος Σαβαώθ, καὶ ὁ Θεὸς ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ».

Ὅτι τοῖς θέλουσι τρυφᾶν ἐκτελευτᾷ τὸ χρῆμα πρὸς ὄλεθρον καὶ πρὸς αὐτό που τὸ λοῖσθον ἀφικνεῖται τῶν κακῶν, ὁ θεῖος ἡμᾶς ἐν τούτοις διδάσκει λόγος. Ἐπειδὴ γὰρ οἱ τῆς Ἰουδαίων χώρας, τῶν ἄλλων περιφανέστεροι, μεθέντες ὡς ἀκερδὲς τὸ χρῆναι περιεργάζεσθαι τὰ ἔργα τοῦ Θεοῦ καὶ τὸ ἐμβλέπειν τὰ ἔργα τῶν χειρῶν αὐτοῦ παρ' οὐδὲν ποιήσασθαι μεμελετηκότες, κώμοις τε διηνεκέσιν ἐσχόλαζον καὶ μεθύειν ἤθελον ἀσωτότατα καταυλούμενοι, καὶ τοῦτο διημερεύοντες, οἰχήσονται μὲν αἰχμάλωτοι καὶ δουλεύσουσιν ἐχθροῖς, πληθὺς δὲ τοσαύτη νεκρῶν κατὰ πᾶσαν ἔσται τὴν χώραν, λιμῷ καὶ δίψει διολωλότων, ὡς μονονουχὶ σπαταλῆσαι τὸν ᾅδην πλατεῖ καὶ ἀπλήστῳ στόματι, χανδὸν ἐκροφοῦντα τοὺς καταβαίνοντας καὶ τοῖς ἰδίοις ἀποκλείοντα θησαυροῖς. Ὅταν γὰρ ᾅδου ψυχὴν πλατυνομένην ἀκούεις, νομιστέον ἕτερον οὐδὲν βούλεσθαι δηλοῦν αὐτόν, ἢ ὅπερ ἔφην ἀρτίως. Κέχρηται γὰρ ἡ θεόπνευστος Γραφὴ τοῖς ὀνόμασι τροπικῶς ἔσθ' ὅτε, καὶ οἷον ἐκ μεταφορᾶς καὶ ἐπὶ τῶν οὐκ ἐχόντων ψυχήν, ἀλλ' οὐδὲ ἐν τάξει ζώων ἠριθμημένων, ἢ καὶ ὄντων τούτων κατ' ἀλήθειαν. Ποία γὰρ ᾅδου ψυχή; Τόπος δὲ μᾶλλον ὁ ᾅδης καὶ ψυχῶν ἀθλίων ἀμειδὲς δεσμωτήριον.

Οὐκοῦν τῶν ἐν τῷδε τῷ βίῳ ἐντρυφώντων ψυχαὶ κατοιχήσονται μὲν εἰς τὸν ᾅδην, κατεμπλήσουσι δὲ ὥσπερ τὴν ψυχήν. Καί τι τοιοῦτον ἡμῖν ὁ θεσπέσιος Μελῳδὸς ὑποδη-

κι ἄνοιξε τὸ στόμα του γιὰ νὰ μὴ σταματήσει νὰ καταβροχθίζει, καὶ θὰ κατεβοῦν ἐκεῖ οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι κι αὐτοὶ ποὺ τὴ διαφθείρουν. Ἔτσι θὰ ταπεινωθεῖ ὁ ἄνθρωπος καὶ θὰ ἐξευτελισθεῖ ὁ ἄνδρας καὶ τὰ μάτια ποὺ κοίταξαν μὲ ἔπαρση θὰ ταπεινωθοῦν, ἐνῶ ἀντίθετα θὰ ὑψωθεῖ ὁ Κύριος τῶν δυνάμεων καὶ ὁ Θεὸς ὁ ἅγιος θὰ δοξασθεῖ γιὰ τὴ δικαιοσύνη του».

Ὅτι γι' αὐτοὺς ποὺ θέλουν τὶς ἀπολαύσεις τὸ πρᾶγμα καταλήγει στὸν ὄλεθρο καὶ φτάνει σ' αὐτὸ τὸ ἴδιο τὸ ἔσχατο τέλος τῶν κακῶν, μᾶς τὸ διδάσκει μ' αὐτὰ ὁ θεῖος λόγος. Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι, ὄντας λαμπρότεροι ἀπὸ τοὺς ἄλλους λαούς, παραιτώντας ὡς κάτι χωρὶς κέρδος τὴν ἀπασχόληση μὲ τὰ ἔργα τοῦ Θεοῦ καὶ ἀποφασίζοντας νὰ μὴ προσέχουν καὶ νὰ μὴ δίνουν καμμιὰ σημασία γιὰ τὰ ἔργα τοῦ Θεοῦ, ἀσχολοῦνταν ἀδιάκοπα μὲ γλέντια καὶ ἤθελαν νὰ μεθοῦν μὲ ἀσωτίες καὶ μουσικὲς καὶ τραγούδια, κι αὐτὸ φυσικὰ ὅλη τὴν ἡμέρα, θὰ ἀπομακρυνθοῦν βέβαια ἀπὸ τὴ χώρα τους αἰχμάλωτοι καὶ θὰ γίνουν δοῦλοι τῶν ἐχθρῶν τους, ἀλλὰ θὰ εἶναι τόσο μεγάλο τὸ πλῆθος τῶν νεκρῶν σ' ὅλη τὴ χώρα, ἀφανιζόμενοι ἀπὸ πεῖνα καὶ δίψα, ὥστε νὰ τοὺς καταβροχθίσει κατὰ κάποιο τρόπο ὁ ἅδης μὲ διάπλατο καὶ ἄπληστο στόμα, καταπίνοντας ἀχόρταγα ἐκείνους ποὺ κατεβαίνουν σ' αὐτὸν καὶ νὰ ἀσφαλίζοντάς τους στὰ θησαυροφυλάκιά του. Γιατὶ ὅταν ἀκοῦς ὅτι πλατύνεται ἡ ψυχὴ τοῦ ἅδη, νὰ θεωρήσεις ὅτι τίποτε ἄλλο δὲν θέλει νὰ δηλώσει αὐτός, παρὰ αὐτὸ ποὺ μόλις εἶπα. Γιατὶ πολλὲς φορὲς ἡ θεόπνευστη Γραφὴ χρησιμοποιεῖ τὰ ὀνόματα ἀλληγορικὰ καὶ κατὰ κάποιο τρόπο μεταφέροντας αὐτὰ καὶ σ' αὐτὰ ποὺ δὲν ἔχουν ψυχή, ἀλλ' οὔτε καὶ συγκαταλέγονται στὴν τάξη τῶν ζώων, ἢ καὶ εἶναι αὐτὰ ζῶα ἀληθινά. Ποιὰ δηλαδὴ εἶναι ἡ ψυχὴ τοῦ ἅδη; Τόπος μᾶλλον εἶναι ὁ ἅδης καὶ σκυθρωπὴ φυλακὴ ἄθλιων ψυχῶν.

Οἱ ψυχὲς λοιπὸν αὐτῶν ποὺ ἐπιδίδονται σ' αὐτὴ τὴ ζωὴ στὶς ἀπολαύσεις θὰ κατεβοῦν στὸν ἅδη καὶ κατὰ κάποιο τρόπο θὰ γεμίσουν τὴν ψυχή του. Καὶ κάτι τέτοιο μᾶς ὑποδηλώνει ὁ θεσπέ-

λοῖ, λέγων περὶ πάσης, οἶμαι, ψυχῆς φιληδόνου τε καὶ φιλαμαρτήμονος· «Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς». Ὥσπερ γὰρ τοὺς ἁγίους ἀπαλλαττομένους τῶν καθ' ἡμᾶς πραγμάτων, προστεθῆναί φησι τὸ Γράμμα τὸ ἱερὸν τοῖς πατράσιν αὐτῶν (εἴρηται γάρ που πρὸς τὸν μακάριον Ἀβραάμ· «Καὶ σὺ προστεθήσῃ πρὸς τοὺς πατέρας σου τραφεὶς ἐν γήρᾳ καλῷ»), οὕτω καὶ τοὺς τελευτῶντας ἐν ἁμαρτίαις εἰς γενεὰν πατέρων αὐτῶν ἀποδραμεῖσθαί φαμεν, πατέρας αὐτῶν εἶναι λέγοντες τοὺς ὁμοιοειδῆ καὶ διὰ πάντων ἴσην καὶ ὁμοίως ἔχουσαν διαζῶντας ζωήν. Εἰ δὲ δὴ λέγοιτο πλῆθος εἶναι νεκρῶν διὰ λιμόν καὶ δίψαν ὕδατος, ἐκεῖνό φαμεν, ὅ τι γέγραφεν Ἰώσηπος, ὁ τῆς Ἰουδαίων συμφορᾶς ἐκτραγῳδήσας τῷ Βίῳ τὸ μέγεθος· ὅτι πολιορκουμένης τῆς Ἱερουσαλήμ, γύναια μὲν κατεδήδοκεν ἃ τετόκασι κορία, ἥττοντο δὲ παντὸς ὑπὸ λιμοῦ καὶ ἀνάγκης τοῦ τοῖς ὀδοῦσιν εἴκοντος. Ὅτι δὲ οὐκ ἐν μόνῃ τοῦτο γέγονε τῇ Ἱερουσαλήμ, ἀλλὰ καὶ ἐν ταῖς ἑτέραις τῆς Ἰουδαίας πόλεσιν, πῶς ἂν ἢ πόθεν ἐνδοιάσειέ τις; Οὐκοῦν πλεῖστοι μὲν ὅσοι δεδαπάνηνται τῷ πολέμῳ καὶ πεπτώκασιν ἐν μαχαίραις. πολλῶν δὲ τῶν οὕτως ἀπολωλότων πλείονας ἡ τοῦ λιμοῦ κατέφθειρεν ἀγριότης. Εἰ δὲ δή τις λέγοι, καὶ νοητῶν ὑδάτων γενέσθαι σπάνιν καὶ τροφῆς τῆς θείας δεδυσσεβηκόσι τοῖς Ἰουδαίοις, ἀπολωλέναι δὲ οὕτως αὐτοὺς καὶ οἷον εἰς ᾅδου καθικέσθαι, διά γε τοῦ μὴ ζωοποιεῖσθαι διὰ Χριστοῦ καθ' ὁμοιότητα τῶν πιστευσάντων εἰς αὐτόν, οὐκ ἂν ἁμάρτοι τοῦ ἀληθοῦς. Συμβέβηκε γὰρ αὐτοὺς καὶ τοῦτο παθεῖν.

Ἀλλὰ τίνες ἂν νοηθεῖεν οἱ καταβαίνοντες, οἷς καὶ αὐτὸς ὁ ᾅδης καταπλατύνει τὴν ἰδίαν ψυχὴν καὶ τὸ ἄπληστον ἀνοίξει στόμα, προσεπάγει λέγων· «Οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς». Ἐπειδὴ γὰρ ἦσαν

38. Ψαλμ. 48,20.

σιος Ψαλμωδὸς μιλώντας, νομίζω, γιὰ κὰθε ψυχὴ ποὺ ἀγαπᾶ τὴν ἡδονὴ καὶ τὴν ἁμαρτία· «Θὰ εἰσέλθει αὐτὸς στὸν ἅδη φτάνοντας μέχρι τὴ γενεὰ τῶν πατέρων του, καὶ μέχρι τὸ τέλος τῶν αἰώνων δὲν θὰ δεῖ φῶς»[38]. Ὅπως δηλαδὴ οἱ ἅγιοι ὅταν ἀπαλλάσσονται ἀπὸ τὴ δική μας ζωὴ λέγει ἡ ἁγία Γραφὴ ὅτι προσίθενται στοὺς πατέρες τους (πράγματι εἰπώθηκε κάπου στὸν μακάριο Ἀβραάμ· «Καὶ σὺ θὰ προστεθεῖς στοὺς πατέρες σου, φτάνοντας σὲ καλὰ γηρατειά»[39]), ἔτσι καὶ ὅσοι τελειώνουν τὴ ζωή τους μέσα στὶς ἁμαρτίες λέμε ὅτι θὰ μεταβοῦν στὴ γενιὰ τῶν πατέρων τους, λέγοντας πατέρες τους αὐτοὺς ποὺ διάγουν ζωὴ τοῦ αὐτοῦ εἴδους καὶ σὲ ὅλα ἴση καὶ ὅμοια. Ἂν ὅμως λέγει, ὅτι θὰ ὑπάρχει πλῆθος νεκρῶν ἀπὸ πεῖνα καὶ δίψα νεροῦ, λέμε ἐκεῖνο ποὺ ἔγραψε ὁ Ἰώσηπος, ποὺ ἔχει διεκτραγωδήσει στὸν Βίο τὸ μέγεθος τῆς συμφορᾶς τῶν Ἰουδαίων. Γιατὶ λέγει κατὰ τὴν πολιορκία τῆς Ἱερουσαλὴμ γυναῖκες κατέφαγαν τὰ παιδιὰ ποὺ γέννησαν καὶ ὅ,τι ἔφτανε στὰ δόντια τους τὸ καταβρόχθιζαν ἀπὸ τὴν πεῖνα καὶ τὴν ἀνάγκη. Ὅτι βέβαια αὐτὸ δὲν ἔγινε μόνο στὴν Ἱερουσαλήμ, ἀλλὰ καὶ στὶς ἄλλες πόλεις τῆς Ἰουδαίας, πῶς ἢ ἀπὸ ποῦ κινούμενος θὰ μποροῦσε ν' ἀμφιβάλει κανείς; Πὰρα πολλοὶ λοιπὸν χάθηκαν ἀπὸ τὸν πόλεμο κι ἔπεσαν ἀπὸ τὰ ξίφη, καὶ πολὺ περισσότερους ἀπὸ αὐτοὺς ποὺ χάθηκαν μ' αὐτὸν τὸν τρόπο ἀφάνισε ἡ ἀγριότητα τῆς πείνας. Ἂν ὅμως πεῖ κάποιος, ὅτι συνέβη ἔλλειψη καὶ νοητοῦ ὕδατος καὶ τῆς θείας τροφῆς στοὺς Ἰουδαίους ποὺ διέπραξαν τὴν ἀσέβεια, καὶ ἔτσι χάθηκαν αὐτοὶ καὶ κατέβηκαν στὸν ἅδη, ἐπειδὴ δὲν ζωοποιήθηκαν ἀπὸ τὸν Χριστό, κατὰ τρόπο ὅμοιο μὲ ἐκείνους ποὺ πίστεψαν σ' αὐτόν, δὲν θ' ἀστοχήσει στὴν ἀλήθεια. Γιατὶ συνέβη αὐτοὶ νὰ τὸ πάθουν καὶ αὐτό.

Ἀλλὰ ποιοὶ θὰ μποροῦσε νὰ νοηθεῖ ὅτι εἶναι αὐτοὶ ποὺ κατεβαίνουν καὶ γιὰ τοὺς ὁποίους ἀνοίγει διάπλατα τὴν ψυχὴ του ὁ ἅδης καὶ θ' ἀνοίξει τὸ ἀχόρταγο στόμα του, τὸ δηλώνει προσθέτοντας στὰ λεγόμενά του· «Ὁ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ διαφθορεῖς αὐτῆς». Ἐπειδὴ δηλαδὴ ἦταν ἡγέτες καὶ

39. Γέν. 15,15.

τῶν ἀνὰ πᾶσαν τὴν χώραν ἡγούμενοι καὶ περιφανέστεροι, δι' αὐτῶν ἦν εἰκὸς παιδαγωγηθήσεσθαι καλῶς τὸ ὑπήκοον· ἀλλὰ τοῦτο μὲν οὐκ ἔδρων. Τύποι δὲ ὥσπερ καὶ ὑπογραμμός γεγόνασι τοῖς ἄλλοις τῆς ἐπαράτου ζωῆς, καὶ πρός αὐτούς πού φησι λόγιον ἱερόν· «Ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν». Ὁρᾷς ὅπως παγὶς καὶ θήρατρον γεγόνασι τοῖς λοιποῖς, ὅτι καὶ ταῖς τῶν ἡγουμένων ἐπιεικείαις, καὶ μέντοι καὶ ῥᾳθυμίαις, ἀεί πως ἔπεσθαι φιλεῖ τὸ ὑπήκοον; Οὐκοῦν ὡς παραίτιοι γεγονότες σφίσιν ἑαυτοῖς, καὶ τοῖς ἄλλοις ἅπασι τοῦ ἀπολέσθαι δεῖν, πρῶτοι καταβήσονται καὶ προελάσουσιν εἰς ᾅδου, ἐπιπηδώσης τρόπον τινὰ καὶ πρό γε τῶν ἄλλων αὐτοῖς τῆς θείας ὀργῆς. Κολασθήσονται δὲ οὐχ ὅτι πλούσιοι καὶ ἔνδοξοι γεγόνασιν, ἀλλ' ὅτι λοιμοί, τοῦτ' ἔστι φθοροὶ καὶ λυμεῶνες, καὶ ἑαυτῶν, ὡς ἔφην, καὶ τῆς ἀγελαίας πληθύος. Οἱ δὲ μεγάλα φυσῶντες, φησίν, ἔσονται τεταπεινωμένοι καὶ ἄτιμοι. Καὶ τίνα γὰρ οὐ ταπεινοῖ τοῦ θανάτου τὸ δεῖμα; Ἢ ποῖον ὀφθαλμὸν ἐπηρμένον καὶ ἄνω βλέποντα δεινὴ καὶ δύσοιστος οὐ κατακομίζει συμφορά;

Τούτων δέ, φησίν, ἁπάντων συμβεβηκότων ὑψωθήσεται Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τοῦτ' ἔστι κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν εἰς πέρας δραμεῖται τὰ ἐπ' αὐτοῖς προηγορευμένα, ὑψοῦται δὲ μόνος Κύριος Σαβαὼθ ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ, ὡς ὀρθῇ καὶ ὁσίᾳ τῇ ψήφῳ κολάσας τὸν ἀλαζόνα λαόν, τὸν ἀπειθῆ καὶ φιλήδονον. Παραιτητέον οὖν ἄρα τὰς τρυφάς, καὶ ὡς ἀπωτάτω ποιεῖσθαι σπουδάζωμεν τὰς ἀνονήτους φιλοσαρκίας, μᾶλλον δὲ τὰς μυσαρωτάτας, ἵνα μὴ κατατρυφήσῃ καὶ ἐφ' ἡμῖν ὁ ἄπληστος ᾅδης. Μεμνήμεθα γὰρ τοῦ Σωτῆρος λέγοντος· «Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν».

---

40. Ὡσηὲ 5, 1.

ἐπισημότεροι μέσα σὲ ὅλη τὴ χώρα, ἀπὸ αὐτοὺς ἦταν εὔλογο νὰ παιδαγωγηθοῦν ὀρθὰ οἱ ὑπήκοοι· αὐτὸ ὅμως δὲν τὸ ἔκαναν, ἀλλ' ἔγιναν τύπος καὶ ὑπογραμμὸς στοὺς ἄλλους γιὰ τὴν ἐπάρετη ζωή, καὶ πρὸς αὐτοὺς λέγει κάπου ἡ ἁγία Γραφή· «Γιατὶ γίνατε παγίδα γιὰ τὴ σκοπιὰ (τὸν λαό), καὶ δίχτυ ἁπλωμένο πάνω ἀπὸ τὸ ὄρος Ἰταβύριο, ποὺ ἔστησαν οἱ κυνηγοὶ γιὰ τὰ θηράματα τους»[40]. Βλέπεις ὅτι ἔγιναν παγίδα καὶ ὄργανο σύλληψης γιὰ τοὺς λοιπούς, γιατὶ ὁ κόσμος ἀγαπᾶ ν' ἀκολουθεῖ καὶ τὴν ἀγαθότητα καὶ τὶς κακίες τῶν ἡγετῶν του; Γι' αὐτὸ λοιπόν, ἐπειδὴ ἔγιναν αἴτιοι τῆς ἀπώλειας γιὰ τὸν ἑαυτό τους καὶ γιὰ ὅλους τοὺς ἄλλους, θὰ κατεβοῦν πρῶτοι καὶ θὰ προπορευθοῦν στὸν ἅδη καὶ κατὰ κάποιο τρόπο πρὶν ἀπὸ τοὺς ἄλλους θὰ ξεσπάσει σ' αὐτοὺς πρῶτα ἡ θεία ὀργή. Καὶ θὰ τιμωρηθοῦν ὄχι γιατὶ ὑπῆρξαν πλούσιοι καὶ ἔνδοξοι, ἀλλ' ἐπειδὴ ἔγιναν λοιμοί, δηλαδὴ διαφθορεῖς καὶ αἴτιοι τῆς καταστροφῆς καὶ τοῦ ἑαυτοῦ τους, ὅπως εἶπα, καὶ τῆς ἀγέλης τοῦ πλήθους. Αὐτοὶ πάλι, λέγει, ποὺ φουσκώνουν ἀπὸ τὴ μεγάλη ἀλαζονεία θὰ ταπεινωθοῦν καὶ θ' ἀτιμασθοῦν. Καὶ ποιὸν δὲν ταπεινώνει ὁ φόβος τοῦ θανάτου; Ἢ ποιὸ βλέμμα κυριευμένο ἀπὸ ἔπαρση καὶ ποὺ βλέπει ψηλά, δὲν τὸ χαμηλώνει κάποια φοβερὴ καὶ δυσκολοϋπόφερτη συμφορά;

Ἀφοῦ λοιπόν, λέγει, ὅλα αὐτὰ θὰ ἔχουν συμβεῖ, θὰ ὑψωθεῖ ὁ Κύριος τῶν δυνάμεων τὴν ἡμέρα ἐκείνη, δηλαδὴ ἐκεῖνο τὸν καιρὸ ποὺ θὰ φτάσουν στὸ τέλος τους οἱ προαγγελίες γι' αὐτούς, καὶ θὰ ὑψωθεῖ μόνον ὁ Κύριος τῶν δυνάμεων μὲ ὀρθὴ ἀπόφαση καὶ δικαιοσύνη, ἐπειδὴ μὲ ἀπόφαση ὀρθὴ καὶ ἅγια τιμώρησε τὸν ἀλαζονικὸ λαό, τὸν ἀνυπάκουο καὶ φίλο τῆς ἡδονῆς. Πρέπει λοιπὸν νὰ ἐγκαταλείψομε τὶς ἀπολαύσεις καὶ νὰ φροντίσομε ν' ἀπωθήσομε ὅσο γίνεται πιὸ μακριὰ τὶς ἀνώφελες, ἢ μᾶλλον τὶς βδελυρότατες φιλοσαρκίες, γιὰ νὰ μὴ καταβροχθίσει καὶ ἐμᾶς μὲ πολλὴ εὐχαρίστηση ὁ ἀχόρταγος ἅδης. Γιατὶ θυμόμαστε τὸν Σωτήρα ποὺ λέγει· «Ἀλλοίμονο σ' ἐσᾶς τοὺς πλούσιους, γιατὶ ἔχετε αὐτὸ ποὺ ἀποτελεῖ παρηγοριά σας»[41]. Καὶ πάλι· «Εἶστε μακάριοι

41. Λουκᾶ 6, 24.

Καὶ πάλιν, ὅτι «Μακάριοι οἱ πενθοῦντες νῦν, ὅτι γελάσετε»· καταλήξει γὰρ ὁ πόνος εἰς ἀναψυχὴν καὶ ἀγαθῶν ἱδρώτων τὸ πέρας, τρυφῆς ἡμῖν ἔσται τῆς εἰς αἰῶνα πρόξενον. «Ὁ γὰρ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν», καθὰ γέγραπται, «καὶ ὁ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον».

Στίχ 17. «Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται».

Συνεστώσης ἔτι τῆς Ἰουδαίων χώρας καὶ ἐν ἀκμαῖς οὔσης τοῦ εὐημερεῖν, ἐμάχοντο μὲν πρὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ τὰ περίοικα τῶν ἐθνῶν. Ἐπειδὴ δὲ ἦν ὁ τῶν ὅλων Θεὸς ὁ συνασπίζων τῷ Ἰσραήλ, κεκράτηκεν οὕτως τῶν ἀνθεστηκότων, ὡς νικᾷν ἁμαχεὶ καὶ καταπτοεῖν ἅπαντας καὶ διαρπάζειν αὐτῶν τὰς χώρας καὶ καταδηοῦν τὰς πόλεις, ἄγειν τε καὶ φέρειν τὰ ἑτέρων μετ' ἐξουσίας. Ἐπειδὴ δὲ δεδυσσεβήκασιν εἰς Χριστὸν καὶ δέδονται ταῖς Ῥωμαίων στρατιαῖς εἰς ὄλεθρον καὶ διαρπαγήν, ἐνεπρήσθησαν μὲν αἱ πόλεις, διηρπάσθησαν δὲ πάντα τὰ ὄντα αὐτοῖς παρὰ τῶν νενικηκότων. Εἶτα τῆς Ῥωμαίων στρατιᾶς ὑπενδούσης βραχύ, κατέτρεχον οἱ πάλαι διαρπαζόμενοι, πόλεις τε καὶ οἴκους διερευνώμενοι, συνεκόμιζόν τε τὰ λοιπά, καὶ εἰς τὰς σφῶν αὐτῶν ἀπέφερον χώρας. Καί τι τοιοῦτον ἡμῖν ὑποδηλοῖ λέγων ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς προφήτου· «Καλαμᾶσθε, καλαμᾶσθε ὡς ἄμπελον τὰ λοιπὰ τοῦ Ἰσραήλ· ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ».

Ὅτι τοίνυν οὐκ ἀρκέσει μόνα παθεῖν αὐτοὺς τὰ ἐκ τῆς Ῥωμαίων στρατιᾶς, προστεθήσεται δὲ καὶ τὰ ἐκ τῆς ὠμότητος τῶν ὁμόρων ἐχθρῶν, προαγορεύει λέγων· «Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι». Οἱ γὰρ πάλαι,

42. Ματθ. 5, 4.
43. Γαλ. 6, 8.

σεῖς ποὺ πενθεῖτε (γιὰ τὶς ἁμαρτίες σας) τώρα, γιατὶ θὰ γελάσετε»[42]. Γιατὶ ὁ κόπος θὰ καταλήξει σὲ παρηγοριὰ, καὶ τὸ τέλος τῶν δίκαιων ἱδρώτων θὰ γίνει πρόξενο σὲ μᾶς αἰώνιας τρυφῆς. Γιατὶ ὅπως ἔχει γραφεῖ, «Αὐτὸς ποὺ σπέρνει στὴ σάρκα, θὰ θερίσει φθορὰ ἀπὸ τὴ σάρκα, καὶ αὐτὸς ποὺ σπέρνει στὸ πνεῦμα, θὰ θερίσει ἀπὸ τὸ πνεῦμα ζωὴ αἰώνια»[43].

Στίχ. 17. «Οἱ αἰχμαλωτισμένοι Ἰουδαῖοι θὰ βοσκήσουν σὰν ταῦροι, ἐνῶ στὶς ἔρημες περιοχὲς τῆς χώρας τῶν πολιορκημένων θὰ βόσκουν ἀρνιά».

Ὅταν ὑπῆρχε ἀκόμα ἡ χώρα τῶν Ἰουδαίων καὶ βρισκόταν σὲ ἀκμὴ ἡ εὐημερία της, πολεμοῦσαν βέβαια τὰ γύρω ἔθνη μὲ τοὺς ἐξ αἵματος Ἰσραηλῖτες, ἐπειδὴ ὅμως συμπολεμοῦσε μὲ τοὺς Ἰσραηλῖτες ὁ Θεὸς τῶν ὅλων, ὑπερίσχυε τόσο πολὺ ἔναντι ἐκείνων ποὺ ἦταν ἀντίπαλοί τους, ὥστε νὰ νικοῦν χωρὶς μάχη καὶ νὰ κατατρομοκρατοῦν ὅλους, νὰ διαρπάζουν τὶς χῶρες τους, νὰ λεηλατοῦν τὶς πόλεις, καὶ νὰ ὁδηγοῦν καὶ νὰ κυβερνοῦν τοὺς ἄλλους σὰν ἐξουσιαστές τους. Ἐπειδὴ ὅμως ἔδειξαν ἀσέβεια στὸν Χριστὸ καὶ δόθηκαν στὶς Ρωμαϊκὲς στρατιὲς πρὸς καταστροφὴ καὶ διαρπαγή τους, πυρπολήθηκαν οἱ πόλεις τους καὶ ἁρπάχθηκαν ἀπὸ τοὺς νικητὲς ὅλα τὰ ὑπάρχοντά τους. Ἔπειτα, ὅταν ὁ Ρωμαϊκὸς στρατὸς ὑποχώρησε γιὰ λίγο, ἐπέστρεφαν πάλι ἐκεῖνοι ποὺ προηγουμένως εἶχε διαρπαγεῖ ἡ περιουσία τους, καὶ ψάχνοντας στὶς πόλεις καὶ στὰ σπίτια τους, μάζευαν ἐκεῖνα ποὺ εἶχα ἀπομείνει καὶ τὰ πήγαιναν στὰ μέρη τους. Κάτι παρόμοιο ὑποδηλώνει καὶ ὁ Θεὸς τῶν ὅλων μέσω τῆς φωνῆς τοῦ προφήτη· «Τρυγᾶτε, τρυγᾶτε, σὰν σὲ ἀμπέλι, τὰ ἀπομεινάρια τοῦ Ἰσραήλ· ἐπιστρέψτε ὅπως ὁ τρυγητὴς στὸ καλάθι του»[44].

Ὅτι λοιπὸν δὲν θὰ εἶναι ἀρκετὸ νὰ πάθουν μόνο ὅσα τοὺς προξένησε ἡ Ρωμαϊκὴ στρατιά, ἀλλὰ θὰ προστεθοῦν καὶ τὰ προερχόμενα ἀπὸ τὴν ὠμότητων τῶν γειτονικῶν του λαῶν, τὸ προλέγει λέγοντας· «Καὶ θὰ βοσκήσουν οἱ αἰχμαλωτισμένοι σὰν ταῦ-

44. Ἱερ. 6, 9.

φησίν, ἕτοιμοι διηρπασμένοι ὑπ' αὐτῶν, διὰ τὸ ἐπαμύνειν Θεόν, κατανεμηθήσονται τὴν χώραν αὐτῶν ὡς ταῦροι, τοῦτ' ἔστι δεινοὶ καὶ ἀγέρωχοι καὶ ἄμαχον ἔχοντες τὴν ἀντίστασιν. «Καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται». Ἀπειλημμένων δὲ φησί, τῶν πολιορκηθέντων. Τὰς τοίνυν, φησίν, ἐρημωθείσας πόλεις τῶν πολιορκηθέντων ἄρνες βοσκηθήσονται, τοῦτ' ἔστι πάλιν οἱ ἐξ ἐθνῶν. Ἐπειδὴ δὲ πάλιν ὡς περὶ ταύρων ἡμῖν πεποίηται τὸν λόγον, μεμένηκε τῇ τροπῇ καὶ προστέθεικεν ἄρνας, ἵνα τοὺς μὲν ἄγαν ἰσχυροὺς νοῶμεν εἰς μόσχους, τοὺς δὲ μὴ οὕτως ἔχοντας. ὑποβεβηκότας δὲ ἐν ἰσχύϊ μείονι, λέγομεν ἄρνας Οὕτω δὴ καὶ τὴν ἑκάστου τῶν ῥᾳθυμούντων καρδίαν αἱ πονηραὶ καὶ ἀκάθαρτοι νεμηθήσονται δυνάμεις, ὡς μόσχοι καὶ ἄρνες. Τροφὴ δὲ αὐταῖς τὸ φιλήδονον, καὶ νοῦ ῥοπὴ βλέποντος εἰς τὸ πλημμελές.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΚΕΦ. 5, στίχ. 18-19. «Οὐαὶ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας, οἱ λέγοντες· Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν».

Ὁ μὲν τῶν ὅλων δημιουργὸς καὶ Κύριος, ἡμερότητι νικῶν τῆς ἀνθρώπου φύσεως τὴν ἀσθένειαν, προσελάλει τοῖς ἀρχαιοτέροις διὰ τῶν ἁγίων προφητῶν, τὰ δι' ὧν ἦν εἰκὸς μεταχωρῆσαι πρὸς τὰ βελτίω, τὰ χείρω μεθέντας, καὶ φαυλότητος μὲν καταλῆξαι καὶ ἁμαρτίας, διαβιῶναι δὲ μᾶλλον ἐν ἀρετῇ καὶ κατορθοῦν ἑλέσθαι τὸ ἀγαθόν. Ταύτης τε ἕνε-

ροι». Γιατί, λέγει, ἐκεῖνοι ποὺ παλαιὰ λεηλατοῦνταν ἀπὸ αὐτοὺς εὔκολα, ἐπειδὴ τοὺς ὑπερασπίζεται ὁ Θεός, θὰ καταφᾶνε τὴ χώρα τους σὰν ταῦροι, δηλαδὴ θὰ γίνουν φοβεροὶ καὶ ἀγέρωχοι καὶ θὰ ἔχουν ἀκαταμάχητη τὴν ἀντίσταση. Ἐπίσης λέγει, «Τὶς ἔρημες περιοχὲς τῶν πολιορκηθέντων θὰ τὶς καταφᾶνε πρόβατα». Μὲ τὴ λέξη «ἀπειλημμένων» ἐννοεῖ τῶν πολιορκηθέντων. Τὶς ἐρημωμένες λοιπὸν πόλεις, λέγει, αὐτῶν ποὺ πολιορκήθηκαν θὰ τὶς βοσκήσουν πρόβατα, δηλαδὴ πάλι ὅσοι προέρχονται ἀπὸ τὰ ἔθνη. Ἐπειδὴ πάλι μᾶς μίλησε σὰ νὰ πρόκειται γιὰ ταύρους, ἐπιμένει στὴν ἀλληγορία καὶ πρόσθεσε πρόβατα, ὥστε τοὺς πολὺ ἰσχυροὺς νὰ τοὺς νοοῦμε ὡς μοσχάρια, ἐνῶ αὐτοὺς ποὺ δὲν εἶναι πολὺ ἰσχυροί, ἀλλὰ ἡ δύναμή τους εἶναι μικρότερη, τοὺς λέμε ἀρνιά. Ἔτσι ἀκριβῶς καὶ τὴν καρδιὰ καθενὸς ἀπὸ ἐκείνους ποὺ δείχνουν ραθυμία θὰ τὴν καταφᾶνε οἱ πονηρὲς κι ἀκάθαρτες δυνάμεις σὰν μοσχάρια καὶ ἀρνιά. Τροφὴ βέβαια γι᾽ αὐτὲς εἶναι ἡ φιληδονία καὶ ἡ κλίση τοῦ νοῦ ποὺ βλέπει στὴν ἁμαρτία.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΚΕΦ. 5. στίχ. 18-19. «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ σέρνουν τὶς ἁμαρτίες τους σὰν ἕνα μακρὺ σχοινὶ καὶ σὰν τὸν ἱμάντα ἑνὸς ζυγοῦ δαμαλιοῦ, οἱ ὁποῖοι λένε· Ἂς ἔρθουν γρήγορα αὐτὰ ποὺ εἶναι νὰ κάνει, γιὰ νὰ τὰ δοῦμε, κι ἂς πραγματοποιηθεῖ ἡ ἀπόφαση τοῦ ἁγίου τοῦ Ἰσραὴλ γιὰ νὰ μάθομε».

Ὁ Δημιουργὸς τῶν ὅλων καὶ Κύριος, ὁ ὁποῖος μὲ τὴν ἡμερότητά του νικᾶ τὴν ἀδυναμία τῆς ἀνθρώπινης φύσης, μιλοῦσε στοὺς παλαιότερους μέσω τῶν ἁγίων προφητῶν καὶ τοὺς ἔλεγε ἐκεῖνα ποὺ ἦταν εὔλογο νὰ τοὺς ὁδηγήσουν στὰ καλύτερα, ἐγκαταλείποντας τὰ χειρότερα, καὶ ἀπὸ τὴ μιὰ νὰ βάλουν τέλος στὴ φαυλότητα καὶ τὶς ἁμαρτίες, καὶ ἀπὸ τὴν ἄλλη νὰ ζοῦν μὲ ἀρετὴ μᾶλλον καὶ νὰ ἐπιδιώκουν νὰ κατορθώσουν τὸ ἀγαθό. Γι᾽ αὐτὸ τὸ

κα τῆς αἰτίας, ποτὲ μὲν αὐτοῖς παρετίθει τὰ γέρα τὰ τοῖς ἁγίοις ηὐτρεπισμένα, ποτὲ δὲ τοὺς τῆς κολάσεως ἀφηγεῖτο τρόπους, τοὺς τοῖς φιλαμαρτήμοσι πρέποντας, ἵνα πανταχόθεν συνελάσῃ πρὸς τὸ ὠφελοῦν. Ἀλλ' οὐδεὶς ἦν τρόπος ὁ τὰς Ἰουδαίων ἐξιτηλίας ἀπώσασθαι δυνάμενος. Ἀπονενευκότες γὰρ εἰς φιλοκερδίαν καὶ τρυφὰς καὶ τὴν ἐσχάτην ἤδη νοσοῦντες ἀπόνοιαν κατὰ Θεοῦ, τοῖς ἁγίοις προφήταις ἐπεφύοντο δεινοί. Καὶ οἱ μὲν ἀπιστοῦντες παντελῶς τοῖς δι' αὐτῶν λεγομένοις ἔφασκον, «Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἑτέραν πλάνησιν», οἱ δὲ μονονουχὶ καὶ καταιτιώμενοι τὸ τῆς θείας φύσεως ἀνεξίκακον ἀλλήλοις κατὰ τὸ εἰκὸς προσγελῶντες ἔφασκον· «Ἀλλὰ μακρὰν αἱ ἡμέραι, ἀπόλωλε πᾶσα ὅρασις». Καὶ γοῦν ἔφη που Θεὸς πρὸς τὸν μακάριον Ἰεζεχιήλ· «Υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν· Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. Διὰ τοῦτο εἰπὸν αὐτοῖς· Τάδε λέγει Ἀδωναϊ Κύριος· Οὐ μὴ μηκύνωσι πάντες οἱ λόγοι μου, οὓς ἂν λαλήσω· ὅτι λαλήσω λόγον καὶ ποιήσω, λέγει Ἀδωναϊ Κύριος». Ἕτεροι δὲ πάλιν μονονουχὶ καὶ ἀπεγνωκότες τῆς ἑαυτῶν σωτηρίας καὶ ζωῆς, κατεθρασύνοντο τῆς ὀργῆς, καὶ δή καὶ ἔφασκον· Ἡκέτω τὸ τάχος ὁ τοῦ πολέμου καιρός, οὐκ ἀνάνδρους ἡμᾶς ἢ ψοφοδεεῖς ὄντας εὑρήσουσιν οἱ καταδηοῦν ἐθέλοντες. Ἐμπειροπόλεμοι καὶ ἡμεῖς, καὶ εὖ εἰδότες τὰ τακτικά.

Τοὺς ταῦτα πεφρονηκότας ταλανίζει δικαίως, καί φησιν· «Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας». Ἁμαρτίας δὲ καὶ ἀνομίας ἐν τούτοις φησὶ τὰς ὑπέρ γε τῶν ἁμαρτιῶν τιμωρίας, ἤτοι κολάσεις, μακρὰν μὲν οὔσας ἔτι, καὶ οὔπω

45. Ἡσ. 30, 10. 46. Ἰεζ. 12, 22. 47. Ἰεζ. 12, 27-28.

λόγο, ἄλλοτε πρόβαλλε σ᾽ αὐτοὺς τὰ ἔπαθλα ποὺ ἔχουν ἑτοιμασθεῖ γιὰ τοὺς ἁγίους, κι ἄλλοτε ἱστοροῦσε τοὺς τρόπους τῆς τιμωρίας ποὺ εἶναι ἀναγκαῖοι γι᾽ αὐτοὺς ποὺ ἀγαποῦν τὴν ἁμαρτία, ὥστε ἀπὸ παντοῦ νὰ τοὺς ὁδηγήσει στὸ ἀγαθό. Ἀλλὰ δὲν ὑπάρχει κανένας τρόπος ποὺ νὰ μποροῦσε νὰ ἀπωθήσει τὶς ἀδυναμίες τῶν Ἰουδαίων. Γιατί, ἔχοντας κλίνει στὴ φιλοχρηματία καὶ τὶς ἀπολαύσεις καὶ πάσχοντας ἤδη ἀπὸ τὴν ἀσθένεια τῆς ἔσχατης παραφροσύνης ἐναντίον τοῦ Θεοῦ, ὁρμοῦσαν φοβεροὶ ἐναντίον τῶν ἁγίων προφητῶν. Καὶ ἐκεῖνοι βέβαια ποὺ δὲν πίστευαν καθόλου στὰ λεγόμενά τους ἔλεγαν, «Ἄλλα μᾶς λέτε, καὶ ἄλλα γεμᾶτα πλάνη μᾶς κηρύσσετε»[45], ἐνῶ ἄλλοι, κατηγορώντας κατὰ κάποιο τρόπο τὴν ἀνεξικακία τῆς θείας φύσεως, ἔλεγαν σύμφωνα μὲ τὴ συνήθειά τους σαρκαστικὰ μεταξύ τους· «Ἀλλὰ οἱ ἡμέρες ἀπέχουν ἀκόμα πολύ· ἔμειναι ἀπραγματοποίητες οἱ προφητεῖες»[46]. Καὶ πράγματι εἶπε κάπου ὁ Θεὸς στὸν μακάριο Ἰεζεκιήλ· «Υἱὲ τοῦ ἀνθρώπου, νά, ὁ λαὸς τοῦ Ἰσραὴλ ποὺ σὲ παραπικραίνει, λένε διαρκῶς· Ἡ προφητεία τὴν ὁποία προαναγγέλλει αὐτὸς ἀναφέρεται σὲ ἡμέρες ποὺ ἀπέχουν πολὺ ἀπὸ μᾶς. Γι᾽ αὐτὸ νὰ πεῖς σ᾽ αὐτούς· Αὐτὰ λέγει Ἀδωναῖ ὁ Κύριος· Δὲν θ᾽ ἀργήσουν νὰ πραγματοποιηθοῦν ὅλοι οἱ λόγοι μου ποὺ θὰ πῶ· γιατὶ αὐτὸ ποὺ θὰ πῶ θὰ γίνει, λέγει Ἀδωναῖ ὁ Κύριος»[47]. Ἄλλοι πάλι ἀπελπισμένοι σχεδὸν γιὰ τὴ σωτηρία καὶ τὴ ζωή τους ἔδειχναν τέτοια θρασύτητα ἐξαιτίας τῆς ὀργῆς τους, ποὺ ἔλεγαν· Ἂς ἔρθει τὸ γρηγορότερο ὁ καιρὸς τοῦ πολέμου· αὐτοὶ ποὺ θέλουν νὰ μᾶς λεηλατήσουν δὲν θὰ μᾶς βροῦν ἄνανδρους ἢ φοβιτσιάρηδες. Εἴμαστε ἐμπειροπόλεμοι καὶ ἐμεῖς καὶ γνωρίζομε πολὺ καλὰ τὴν τακτικὴ τοῦ πολέμου.

Δίκαια ταλανίζει αὐτοὺς ποὺ σκέφτονται ἔτσι καὶ λέγει· «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ σέρνουν τὶς ἁμαρτίες τους σὰν μακρὺ σχοινὶ καὶ σὰν ἱμάντα τοῦ ζυγοῦ δαμαλιοῦ τὶς ἀνομίες τους». Ἁμαρτίες βέβαια καὶ ἀνομίες λέγει μὲ αὐτὰ τὶς τιμωρίες ἢ κολάσεις ἐξαιτίας τῶν ἁμαρτιῶν, ποὺ εἶναι βέβαια μακριὰ ἀκόμα

πλησίον, διά τοι τό ἀνεξικακεῖν ἔτι βούλεσθαι τόν Θεόν, ἑλκομένας δέ τρόπον τινά παρ' αὐτῶν, διά τοῦ βούλεσθαι καί τοῖς ἐκ θείας ὀργῆς περιπεσεῖν κινήμασιν. Οἶμαι δέ ἔγωγε τῶν τοιούτων ἑκάστῳ πρεπωδέστατά τε καί ἀληθῶς δύνασθαι λέγειν ἡμᾶς· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καί τῆς ἀνοχῆς καί τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τό χρηστόν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατά δέ τήν σκληρότητά σου καί ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν ἐν ἡμέρᾳ ὀργῆς καί ἀποκαλύψεως καί δικαιοκρισίας τοῦ Θεοῦ». Ἕλκουσι γάρ, ὡς ἔφην, αὐτοί καθ' ἑαυτῶν τόν τῆς κολάσεως καιρόν, τάχα που μικροψυχοῦντες, ὅτι μέλλει κολάζων αὐτούς, καί μή πλημμελοῦσιν ἀκαθέκτως ἐπετίθει τάς δίκας.

Ἕλκουσι τοίνυν τάς ἁμαρτίας ὡς σχοίνῳ μακρῷ, καί ὡς ζυγοῦ ἱμάντι δαμάλεως τάς ἀνομίας. Ὥσπερ γάρ τάς δαμάλεις, ἤτοι τάς βοῦς, ὑποφέροντες τοῖς ζυγοῖς, ἕλκουσιν ἔσθ' ὅτε σύν βίᾳ πολλῇ καί καταδεσμεύουσιν εἰς πόνους, τόν αὐτόν, οἶμαι, τρόπον κἀκεῖνοι τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβήσεσθαι μέλλουσιν ἑαυτούς ὑποφέροντες ἔφασκον· «Ἐγγισάτω τό τάχος ἃ ποιήσει, ἵνα ἴδωμεν, καί ἐλθέτω ἡ βουλή τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν». Τοῦτο λέγοντας καί οὕτω πεφρονηκότας καί ἕτερος τῶν ἁγίων προφητῶν ταλανίζει λέγων· «Οὐαί οἱ ἐπιθυμοῦντες τήν ἡμέραν Κυρίου· καί αὕτη ἐστί σκότος, καί οὐ φῶς, καί γνόφος οὐκ ἔχων φέγγος αὐτοῦ». Χρή τοίνυν μανθάνοντας ὅτι λελύπηται Θεός, παραχρῆμα μετανοεῖν, καί ἀκαταλήκτοις προσευχαῖς μειλίσσεσθαι μᾶλλον αὐτόν, οὐ παροτρύνειν ἔτι κεκινημένον, οὔτε μήν ἀπειλοῦντος καταφρονεῖν· μακρόθυμος γάρ ἐστι καί πολυέλεος, ἀποφέρων ἀνομίας καί

48. Ρωμ. 2, 4-5.

καὶ ὄχι κοντά, ἐπειδὴ ὁ Θεὸς θέλει νὰ δείχνει ἀκόμα ἀνεξικακία, σέρνονται ὅμως ἀπὸ αὐτοὺς κατὰ κάποιο τρόπο μὲ τὸ νὰ θέλουν νὰ πέσουν καὶ στὸ ξέσπασμα τῆς θείας ὀργῆς. Νομίζω ὅμως ἐγὼ τουλάχιστον ὅτι μποροῦμε στὸν καθένα ἀπὸ αὐτοὺς νὰ ποῦμε τελείως ταιριαστὰ καὶ ἀληθινά· «Ἢ μήπως καταφρονεῖς τὸν πλοῦτο τῆς ἀγαθότητας αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας, ἀγνοώντας ὅτι ἡ ἀγαθότητα τοῦ Θεοῦ σὲ ὁδηγεῖ σὲ μετάνοια; Ἀνάλογα ὅμως μὲ τὴ σκληρότητά σου καὶ τὴν ἀμετανοησία τῆς καρδιᾶς σου ἐπισωρεύεις γιὰ τὸν ἑαυτό σου ὀργὴ κατὰ τὴν ἡμέρα τῆς ὀργῆς καὶ τῆς ἀποκάλυψης τῶν ἁμαρτιῶν καὶ τῆς δίκαιας κρίσης τοῦ Θεοῦ»[48]. Γιατί, ὅπως εἶπα, οἱ ἴδιοι σύρουν ἐναντίον τοῦ ἑαυτοῦ τους τὴν ἡμέρα τῆς τιμωρίας, μικρολογώντας ὅτι ἀργεῖ τάχα νὰ τοὺς τιμωρήσει, καὶ δὲν τοὺς τιμωροῦσε ὅταν ἁμάρταναν ἀσυγκράτητα.

«Σύρουν λοιπὸν τὶς ἁμαρτίες τους σὰν μακρὺ σχοινὶ καὶ τὶς ἀνομίες τους σὰν ἱμάντα τοῦ ζυγοῦ δαμαλιοῦ.» Γιατὶ ὅπως τὰ δαμάλια, δηλαδὴ τὰ βόδια, βάζοντάς τα κάτω ἀπὸ τὸν ζυγό, τὰ τραβοῦν πολλὲς φορὲς μὲ πολλὴ βία καὶ τὰ ὑποβάλλουν σὲ ὑποχρεωτικοὺς κόπους, μὲ τὸν ἴδιο, νομίζω, τρόπο κι ἐκεῖνοι, βάζοντας τὸν ἑαυτό τους κάτω ἀπὸ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν ἐξαιτίας τῆς θείας ὀργῆς, ἔλεγαν· «Ἂς ἔρθουν τὸ γρηγορότερο ὅσα εἶναι νὰ κάνει, γιὰ νὰ τὰ δοῦμε, κι ἂς πραγματοποιηθεῖ ἡ ἀπόφαση τοῦ ἁγίου τοῦ Ἰσραήλ, γιὰ νὰ τὴ μάθομε». Λέγοντας αὐτὸ καὶ πιστεύοντας ἔτσι καὶ κάποιος ἄλλος ἅγιος προφήτης τοὺς ταλανίζει, λέγοντας· «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ ἐπιθυμοῦν τὴν ἡμέρα τοῦ Κυρίου· γιατὶ αὐτὴ θὰ εἶναι σκοτάδι ὄχι φῶς, καὶ γνόφος χωρὶς νὰ ἔχει τὸ φέγγος του»[49]. Πρέπει λοιπόν, μαθαίνοντας ὅτι ἔχει λυπηθεῖ ὁ Θεός, νὰ μετανοοῦμε ἀμέσως, καὶ μὲ προσευχὲς δίχως τέλος νὰ προσπαθοῦμε νὰ μαλακώνομε μᾶλλον αὐτόν, καὶ ὄχι νὰ τὸν ἐρεθίζομε παραπάνω ἐνῶ εἶναι ὀργισμένος, οὔτε νὰ τὸν περιφρονοῦμε ὅταν ἀπειλεῖ· γιατὶ εἶναι μακρόθυμος

49. Ἀμὼς 5, 18, 20.

ὑπερβαίνων ἀδικίας, καὶ μικροῖς ἔσθ' ὅτε δακρύοις τῶν ἡμαρτηκότων ἐπὶ τὴν αὐτῷ φιλαιτάτην γαληνότητα μεθιστάμενος.

Στίχ. 20-21. «Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες».

Ἀσυνέτους ὄντας παντελῶς καὶ διὰ τούτων ἐλέγχει τοὺς τὰς ἁμαρτίας ἐπισπωμένους ὡς σχοινίῳ μακρῷ. Δέον γὰρ ἐπαίνου παντὸς ἀξιοῦν τὸ χρῆναι μετανοεῖν, καὶ διὰ πάσης ἐπιεικείας ἀπαλλάττειν ἑαυτοὺς τῆς ἐπηρτημένης ὀργῆς, καὶ ταῖς νηστείαις ἀπολογεῖσθαι λελυπημένῳ τῷ πάντων κρατοῦντι Θεῷ, ἀδόκιμοι γεγόνασι τραπεζῖται, τιμῶντες μὲν τὰ αἰσχίω, κατακιβδηλεύοντες δὲ τὸ ἀσυγκρίτως ἄμεινον, καὶ τὸ ὅτι μάλιστα λυσιτελὲς εἰς σωτηρίαν αὐτοῖς. Πρέπει δὴ οὖν ἄρα τοῖς οὕτω πεφρονηκόσι τὸ οὐαί. Ἀνόσιοι γὰρ καὶ ἀσύνετοι καθ' ἑαυτῶν γεγόνασι δικασταί. Τὸ μὲν γὰρ πονηρὸν καλὸν εἶναι λέγοντες, καταλογιζόμενοι τὸ σκότος φῶς, καὶ τὸ μὲν πικρὸν γλυκύ, τὸ δὲ γλυκὺ πικρὸν εἶναι διαβεβαιούμενοι, διά γε τοῦ παθεῖν ἑλέσθαι τὰς ἐκ τοῦ πολέμου συμφοράς, καίτοι μετὸν εὐκόλως ἔξω γενέσθαι τοῦ κακοῦ, παρωσάμενοι δὲ καὶ αὐτὸν τὸν διὰ Χριστοῦ φωτισμόν, μεμενήκασιν ἐν σκότῳ. Καὶ τί φησιν ὁ προφήτης; «Ὑπομεινάντων φῶς, ἐγένετο αὐτοῖς σκότος· μείναντες αὐγήν, ἐν σκοτίᾳ περιεπάτησαν». Κατώλισθον δὲ δυσβουλίας εἰς τοῦτο καὶ φρενῶν ἀγριότητος, ὥστε καὶ προκειμένης αὐτοῖς εἰς ἀπόλαυσιν τῆς ἡμερότητος τοῦ Θεοῦ, καὶ τῆς ἐντεῦθεν γλυκείας ἐλπίδος, εἵλοντο μᾶλλον αὐτοὶ τὰς ἐκ τοῦ κολάζεσθαι πικρίας, καὶ τοῖς οὕτω δεινοῖς ἐκτρύχεσθαι κακοῖς.

Πεπονθέναι δὲ τοῦτό φησιν αὐτούς, «ὅτι γεγόνασιν ἐν

καὶ πολυέλεος, παραβλέποντας τὶς ἀνομίας καὶ παραλείποντας τὶς ἀδικίες, καὶ πολλὲς φορὲς μὲ λίγα δάκρυα ἐκείνων ποὺ ἁμάρτησαν τοὺς μεταφέρει στὴν ἀγαπημένη του γαλήνότητα.

Στίχ. 20-21. «Ἀλλοίμονο σ' αὐτοὺς ποὺ λένε τὸ κακὸ καλὸ καὶ τὸ καλὸ κακό, σὲ αὐτοὺς ποὺ θεωροῦν τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος, σὲ ἐκείνους ποὺ θεωροῦν τὸ πικρὸ γλυκὸ καὶ γλυκὸ πικρό. Ἀλλοίμονο σ' ἐκείνους ποὺ θεωροῦν τὸν ἑαυτό τους συνετὸ καὶ μπροστὰ στὰ μάτια τους κάνουν τὸν σοφό».

Καὶ μ' αὐτὰ ἐλέγχει τελείως ἀσύνετους αὐτοὺς ποὺ σέρνουν τὶς ἁμαρτίες τους σὰν μακρὺ σχοινί. Γιατί, ἐνῶ ἔπρεπε νὰ θεωροῦν ἄξια κάθε ἐπαίνου τὴν ἀνάγκη νὰ μετανοοῦν καὶ μὲ κάθε ἀγαθὴ ἐνέργεια νὰ ἀπαλλάσσουν τὸν ἑαυτό τους ἀπὸ τὴν ὀργὴ ποὺ κρέμεται ἀπὸ πάνω τους καὶ ν' ἀπολογοῦνται μὲ νηστεῖες στὸν λυπημένο Θεὸ ποὺ ἐξουσιάζει τὰ πάντα, αὐτοὶ ἔγιναν ἀνάξιοι τραπεζίτες, μὲ τὸ νὰ τιμοῦν τὰ αἰσχρά, καὶ νὰ θεωροῦν τελείως κίβδηλο τὸ ἀσυγκρίτως καλύτερο καὶ τὸ πάρα πολὺ ὠφέλιμο γιὰ τὴ σωτηρία τους. Ἁρμόζει λοιπὸν σ' αὐτοὺς ποὺ φρονοῦν ἔτσι τὸ ἀλλοίμονο. Γιατὶ ἔγιναν ἀνόσιοι καὶ ἀνόητοι ἔναντι τοῦ ἑαυτοῦ τους. Λέγοντας τὸ κακὸ ὅτι εἶναι καλό, θεωρώντας φῶς τὸ σκοτάδι, καὶ διαβεβαιώνοντας ὅτι τὸ πικρὸ εἶναι γλυκό, καὶ ἀντίθετα τὸ γλυκὸ πικρό, μὲ τὴν ἑκούσια ἐπιλογή τους νὰ πάθουν τὶς συμφορὲς τοῦ πολέμου, μολονότι ἦταν εὔκολο νὰ βρεθοῦν ἔξω ἀπὸ τὸ κακό, καὶ ἀπορρίπτοντας κι αὐτὸν τὸ φωτισμὸ ἀπὸ τὸν Χριστό, ἔχουν μείνει στὸ σκοτάδι. Καὶ τί λέγει ὁ προφήτης; «Ἐνῶ περίμεναν φῶς, τοὺς ἦρθε σκοτάδι· ἐνῶ περίμεναν τὴν αὐγή, βάδισαν στὰ σκοτεινά»[50]. Καὶ ἔπεσαν σὲ τέτοιο βαθμὸ ἀφροσύνης καὶ ἀγριότητας φρενῶν, ὥστε, ἂν καὶ εἶχαν στὴ διάθεσή τους τὴν ἀπόλαυση τῆς ἡμερηρότητας τοῦ Θεοῦ καὶ τὴς γλυκειᾶς ἐλπίδας ποὺ προέρχεται ἀπὸ αὐτόν, προτίμησαν αὐτοὶ μᾶλλον τὶς πικρίες τῆς τιμωρίας καὶ τὸ νὰ βασανίζονται μὲ τὰ τόσο φοβερὰ δεινά.

Αὐτὸ βέβαια τὸ ἔπαθαν, λέγει, ἐπειδὴ ἔγιναν συνετοὶ ἀπένα-

50. Ἡσ. 59, 9.

ἑαυτοῖς συνετοί, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες». Ἀληθὲς ὅτι κατὰ τὴν τοῦ Παροιμιαστοῦ φωνήν, «Ἀνεξέλεγκτος σοφία πλανᾶται». Φορτικὸν δὲ καὶ ἐπιζήμιον τὸ περιαυτίζεσθαι φιλεῖν τοῖς τοῦτο δρᾶν εἰωθόσι, καὶ ἀποδιδόναι μόνῃ τῇ ἰδίᾳ γνώμῃ τὸ δοκεῖν εἰδέναι τὸ ὠφελοῦν. Οὕτω καὶ Γράμμα φησὶν ἱερόν· «Ὁ δὲ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ ἀλαζὼν οὐδὲν οὐ μὴ περάνῃ». Ταύτην ἔχοντες τὴν ἀρρωστίαν εἰς νοῦν καὶ καρδίαν οἱ τῶν Ἰουδαίων καθηγηταί, τὰς παρὰ τοῦ Σωτῆρος οὐκ ἐδέχοντο συμβουλάς Ἦσαν γάρ, ἦσαν, οὐκ ἐνώπιον Κυρίου μᾶλλον, ἀλλ' ἐνώπιον ἑαυτῶν ἐπιστήμονες, ἐξοφρυώμενοι μὲν καὶ μέγα φρονοῦντες ἐπὶ τῇ τῶν θείων εἰδήσει νόμων, ἐγνωκότες δὲ τὸ σύμπαν οὐδέν. Τυφλοὶ γὰρ ἦσαν τυφλῶν ὁδηγοί, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν.

Στίχ. 22-23. «Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνασταὶ οἱ κεραννύντες τὸ σίκερα· οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκα δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες».

Οἱ τῆς Ἰουδαίων συναγωγῆς ἁδρότεροί τε καὶ εὐκλεέστεροι καὶ τὸ προῦχειν τῶν ἄλλων ἐν εἰδήσει τῶν θείων ἔχοντες νόμων καὶ τὰς παρ' αὐτοῖς ποιούμενοι κρίσεις, διεβέβληντο λίαν, ὡς ἄπληστον εἰς δωροδοκίαν ἐκτείνοντες χεῖρα καὶ τοῖς ἀδικεῖν ἐθέλουσιν ἀδελφοὺς τὴν παρ' ἑαυτῶν εὐκόλως καταπωλοῦντες ψῆφον, καίτοι τοῦ νόμου λέγοντος ἐναργῶς· «Κρίμα δίκαιον κρίνατε». Ὅτι δέ ἐστιν ἀληθὲς ὅ φημι, πιστώσεται λέγων ὁ προφήτης Ἀμβακούμ· «Ἕως τίνος, Κύριε, κεκράξομαι, καὶ οὐκ εἰσακούσῃ, βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; Ἵνα τί ἔδειξάς μοι κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Ἕ-

ντι τοῦ ἑαυτοῦ τους καὶ σοφοὶ μπροστὰ στὰ ἴδια τους τὰ μάτια». Εἶναι ἀλήθεια γιατὶ σύμφωνα μὲ τὸν λόγο τοῦ Παροιμιαστῆ, «Σοφία ποὺ δὲν δέχεται ἔλεγχο, ὁδηγεῖται σὲ πλάνη»[51]. Εἶναι ἐνοχλητικὸ καὶ ἐπιζήμιο γι᾽ αὐτοὺς ποὺ συνηθίζουν νὰ τὸ κάνουν, τὸ νὰ θέλουν νὰ περιαυτολογοῦν καὶ ν᾽ ἀποδίδουν μόνο στὴ δική τους γνώμη ὅτι γνωρίζουν τὸ ὠφέλιμο. Αὐτὸ λέγει καὶ ἡ ἁγία Γραφή· «Ὁ γεμᾶτος ἔπαρση καὶ καταφρονητὴς καὶ ἀλαζόνας ἄνθρωπος τίποτε δὲν θὰ φέρει εἰς πέρας»[52]. Αὐτὴ τὴν ἀρρώστια ἔχοντας στὸ νοῦ καὶ τὸν καρδιά τους οἱ διδάσκαλοι τῶν Ἰουδαίων, δὲν δέχονταν τὶς συμβουλὲς τοῦ Σωτήρα. Γιατὶ ἦταν ἀληθινὰ σοφοὶ ὄχι ἐνώπιον τοῦ Κυρίου, ἀλλὰ μᾶλλον μπροστὰ στὸν ἑαυτό τους, γεμᾶτοι βέβαια ἔπαρση καὶ μὲ μεγάλη ἰδέα γιὰ τὴ γνώση ποὺ εἶχαν τῶν θείων νόμων, ἀλλὰ δὲν γνώριζαν ἀπολύτως τίποτε. Γιατὶ «ἦταν τυφλοὶ ὁδηγοί»[53], σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου.

Στίχ. 22-23. «Ἀλλοίμονο στοὺς ἰσχυροὺς ἀνάμεσά σας ποὺ πίνουν ἀχόρταγα κρασί, καὶ στοὺς ἐξουσιαστές σας ποὺ συνθέτουν οἰνοπνευματώδη ποτά, καθὼς καὶ σὲ ἐκείνους ποὺ δίνουν δίκαιο στὸν ἀσεβῆ παίρνοντας δῶρα καὶ ἀφαιροῦν τὸ δίκαιο ἀπὸ τὸν δίκαιο».

Οἱ πλουσιότεροι καὶ ἐπισημότεροι τῆς Ἰουδαϊκῆς συναγωγῆς καὶ οἱ ὁποῖοι, ἔχοντας τὴ γνώση τῶν θείων νόμων, ξεχώριζαν ἀπὸ τοὺς ἄλλους καὶ ἔκαναν τὶς δίκες σ᾽ αὐτούς, ἔχουν κατηγορηθεῖ πολύ, ὅτι ἅπλωναν ἄπληστο χέρι πρὸς δωροδοκία καὶ πωλοῦσαν εὔκολα τὴν ψῆφος τους σὲ ἐκείνους ποὺ ἤθελαν νὰ ἀδικοῦν τοὺς ἀδελφούς τους, ἂν καὶ βέβαια ὁ νόμος φωνάζει καθαρά· «Νὰ δικάζετε μὲ δίκαια ἀπόφαση»[54]. Ὅτι εἶναι ἀλήθεια αὐτὸ ποὺ λέγω θὰ τὸ βεβαιώσει μὲ τὸ λόγο του ὁ προφήτης Ἀββακούμ· «Μέχρι πότε, Κύριε, θὰ φωνάζω καὶ δὲν θὰ μὲ ἀκοῦς, θὰ κραυγάζω ἐπειδὴ μὲ ἀδικοῦν, καὶ δὲν θὰ μὲ σώζεις; Γιατί μοῦ ἔδειξες κόπους καὶ μόχθους, νὰ βλέπω ταλαιπωρίες καὶ ἀσέβεια; Ἡ ἀπόφαση βγῆκε εἰς βάρος μου καὶ ὁ κριτὴς λαμβάνει δῶρα. Γι᾽ αὐτὸ

51. Παροιμ. 10, 17. 52. Ἀββακ. 2, 5. 53. Ματθ. 23, 16. 54. Δευτ. 1, 16.

νεκα τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον». Καὶ αὐτὸς δέ πού φησιν ὁ θεσπέσιος Ἡσαΐας πρὸς τὴν Ἰερουσαλήμ, ἤτοι τὴν Σιών· «Οἱ ἄρχοντές σου ἀπειθοῦσιν, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες». Ταῦτα δὲ ἔδρων αἰσχρῶν λημμάτων ἡττώμενοι, καὶ τάχα που τὰ εἰς πότους καὶ τρυφὰς ἀνοσίως ἐρανιζόμενοι, καὶ ἐξ ἀδικιῶν συλλέγοντες Αἰτιᾶται γὰρ αὐτοὺς διὰ φωνῆς προφήτου, λέγων· «Καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν».

Οὐαὶ τοίνυν, φησί, τοῖς ἁδροῖς καὶ δυνατοῖς, τοῖς ἀρτίουσι περιέργως τὸ σίκερα, τοῖς φιλοπόταις καὶ ἀγαπῶσι μέθην, τοῖς τὸ δίκαιον αἴρουσι τοῦ δικαίου, τοῦτ' ἔστι τοῖς κατακρίνουσι μὲν τὸν ἠδικημένον, ἀπονέμουσι δὲ ψῆφον δικαίαν τοῖς εἰωθόσι πλεονεκτεῖν. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἀναφανδὸν εἰπεῖν τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν, καὶ σκότος εἰς φῶς, καὶ τὸ φῶς εἰς σκότος, τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. Ἰστέον δὲ ὅτι δυνατοὶ δυνατῶς ἐτασθήσονται, καὶ ᾧ παρέθεντο πολύ, περισσότερον ἀπαιτοῦσι παρ' αὐτοῦ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Οὐ γὰρ ἴσῳ τρόπῳ τὰ τῆς κολάσεως ἔσται τοῖς τε ἡγουμένοις καὶ τοῖς ὑπὸ χεῖρα κειμένοις. Οἱ μὲν γὰρ ἔσθ' ὅτε προβαλοῦνται τὸ μὴ εἰδέναι τυχὸν τὸ θέλημα τοῦ κυρίου αὐτῶν, οἱ δὲ καίτοι λίαν ἐγνωκότες ἀκριβῶς οὐ δεδράκασιν. Ταύτῃ τοι δικαίως δυσαχθεστέραν ὑπομενοῦσι τὴν τοῦ κολάζοντος κίνησιν.

Στίχ. 24. «Διὰ τοῦτο, ὃν τρόπον καυθήσεται ἡ καλάμη ὑπὸ ἄνθρακος πυρός, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς

55. Ἀββακ. 1,2-4.
56. Ἡσ. 1,25.

καταργήθηκε ὁ νόμος καὶ ἡ δίκη δὲν φτάνει σὲ τέλος ποὺ πρέπει, ἐπειδὴ ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιο. Ἐξαιτίας αὐτοῦ ἡ ἀπόφαση θὰ βγεῖ διεστραμμένη»[55]. Καὶ ὁ ἴδιος ὁ θεσπέσιος Ἡσαΐας λέγει πρὸς τὴν Ἰερουσαλήμ, ἤτοι τὴ Σιών· «Οἱ ἄρχοντές σου εἶναι ἀπειθεῖς στὸ νόμο, εἶναι συνεργάτες κλεπτῶν, ἀγαποῦν τὰ δῶρα, ἐπιδιώκουν ἀνταμοιβή, δὲν κρίνουν δίκαια τὰ ὀρφανά, καὶ ἀδιαφοροῦν γιὰ τὴ δίκη χήρας»[56]. Αὐτὰ λοιπὸν ἔκαναν ἀπὸ ἀγάπη στὰ αἰσχρὰ δῶρα, καὶ ἀκόμα συναθροίζοντας ἴσως ἀνέντιμα τὰ προερχόμενα ἀπὸ γλέντια καὶ ἀπολαύσεις καὶ συλλέγοντας χρήματα ἀπὸ ἀδικίες. Τοὺς κατηγορεῖ λοιπὸν μὲ τὴ φωνὴ τοῦ προφήτη λέγοντας· «Καὶ δένοντας τὰ ἐνδύματά τους μὲ σχοινιά, τὰ ἔκαναν παραπετάσματα δίπλα στὸ θυσιαστήριο κι ἔπιναν κρασὶ στὸν οἶκο τοῦ Θεοῦ προερχόμενο ἀπὸ συκοφαντίες»[57].

Ἀλλοίμονο λοιπόν, λέγει, στοὺς πλούσιους καὶ τοὺς ἰσχυρούς, ποὺ ἀναμιγνύουν περίεργα τὰ οἰνοπνευματώδη ποτά, στοὺς φίλους τοῦ ποτοῦ καὶ σὲ ἐκείνους ποὺ ἀγαποῦν τὴ μέθη, ποὺ ἀφαιροῦν τὸ δίκαιο τὸ δικαίου, δηλαδὴ ποὺ καταδικάζουν τὸν ἀδικημένο καὶ ἀπονέμουν ψῆφο δίκαια σὲ ἐκείνους ποὺ συνήθως ἐπιδίδονται στὴν πλεονεξία. Κι αὐτό, νομίζω, σημαίνει ἐκεῖνο ποὺ εἶπε ὁλοφάνερα, ὅτι θεωροῦν τὸ κακὸ καλὸ καὶ τὸ καλὸ κακό, σκοτάδι τὸ φῶς καὶ τὸ φῶς τὸ σκοτάδι, τὸ πικρὸ γλυκὸ καὶ τὸ γλυκὸ πικρό. Πρέπει ὅμως νὰ γνωρίζομε ὅτι «οἱ δυνατοὶ θὰ ἐξετασθοῦν δυνατά, καὶ σὲ ἐκεῖνον ποὺ ἐμπιστεύθηκαν πολύ, θὰ ἀπαιτήσουν περισσότερο ἀπὸ αὐτόν»[58], σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου. Καθόσον δὲν θὰ εἶναι ἴση ἡ τιμωρία τῶν ἡγετῶν καὶ τῶν ὑπηκόων. Οἱ δεύτεροι βέβαια θὰ προβάλουν τὸ ὅτι δὲν γνώριζαν τυχὸν τὸ θέλημα τοῦ Κυρίου τους, ἐνῶ οἱ πρῶτοι, μολονότι τὸ γνώριζαν ἀκριβῶς, δὲν τὸ ἔπραξαν. Γι' αὐτὸ λοιπὸν δίκαια θὰ ὑποστοῦν βαρύτερη τὴν τιμωρία ἀπὸ ἐκεῖνον ποὺ θὰ τὴν ἐπιβάλλει.

Στίχ. 24. «Γι' αὐτό, ὅπως ἀκριβῶς καίγεται ἡ καλαμιὰ ἀπὸ κάρβουνο ἀναμμένο, ἔτσι θὰ καοῦν αὐτοὶ ὅλοι μαζὶ ἀπὸ

57. Ἀμὼς 2, 8.

58. Λουκᾶ 12, 48.

ἀνημμένης, ἡ ῥίζα αὐτῶν ὡς χοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται».

Ἐπειδὴ γὰρ αὐτοὶ καθ' ἑαυτῶν, φησίν, ἐπεσπάσαντο τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ γεγόνασιν οὐκ ὀρθοὶ τῶν πραγμάτων κριταί, καταψέγοντες μὲν τὸ ἀγαθόν, ἐπαινοῦντες δὲ τὸ πονηρόν, σοφοί τε ἦσαν ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες, καὶ πρὸς τὰ ἔτι τούτων αἰσχίονα βλέποντες, δεδικαιώκασι μὲν ἕνεκα δώρων τὸν ἀσεβῆ, τὸ δὲ δίκαιον τοῦ δικαίου ἔλαβον, τούτων ἕνεκα πάντων ὡς εὐκατάπρηστος ὕλη, καὶ καλάμης δίκην, πυρὸς ἔσονται τροφή, καὶ φλόγες αὐτοὺς ἀνημμέναι κατανεμηθήσονται, ὡς ὁμοῦ ταῖς ῥίζαις τοὺς ἐξ αὐτῶν δαπανηθῆναι καρπούς, τοῦτ' ἔστι συνδιολέσθαι τοῖς τεκοῦσι τὰ ἐξ αὐτῶν, καὶ ὡς χοῦν ἢ κόνιν ῥαγδαιοτάτου πνεύματος διαριπισθῆναι προσβολαῖς Ἀνημένην δὲ φλόγα φησὶ τὴν ὑπ' οὐδενὸς σβεννυμένην. Ἐμπέπτωκε μὲν γὰρ ἤ λῃΐοις, ἤγουν ἀμπέλοις, ἔσθ' ὅτε πῦρ, ἀλλ' οὐ γέγονεν ἀνημμένη, ἐπαμυνόντων πολλῶν, καὶ προσελθεῖν οὐκ ἐώντων, οὔτε μὴν ἀδιακωλύτως κατανέμεσθαι τοὺς ἀγρούς Πονοῦντος δὲ οὐδενός, ἤγουν ἀνακόπτοντος τὸν ἐπέκεινα δρόμον τῆς φλογός, τότε δή, τότε καὶ ἀνημμένη τις ἔσται καὶ ἄφετος, καὶ ἀχάλινος οὖσα πρὸς πᾶν ὁτιοῦν τῶν παρακειμένων.

Οὐκοῦν ἐπειδήπερ ταῖς τοῦ πολέμου συμφοραῖς ὑποφέροντος αὐτοὺς τοῦ πάντα ἰσχύοντος Θεοῦ, καὶ ὁσίᾳ ψήφῳ κολάζοντος, οὐδεὶς παντελῶς ἐπαμύνων ἦν· ταύτῃ τοι, καὶ μάλα εἰκότως, ἀνημμένην φλόγα τὴν ὀργὴν ὀνομάζει. Ὡς γάρ φησιν ὁ μακάριος Μωσῆς· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν, καὶ ἐὰν κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει;». Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Δαβὶδ ψάλλει· «Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου;». Χρὴ οὖν ἄρα παντὶ σθένει χρωμένους παραιτεῖσθαι τὴν ὀργήν· φοβερὸν γὰρ τὸ χρῆμα καὶ δυσδιάφυκτον· καὶ γοῦν

φλόγα φουντωμένη, ἡ ρίζα τους θὰ γίνει σὰν χῶμα, καὶ τὸ ἄνθος τους σὰν σκόνη θὰ ἀνεβεῖ ψηλά».

Ἐπειδὴ λοιπὸν αὐτοί, λέγει, ἔσυραν τὶς ἁμαρτίες ἐναντίον τοῦ ἑαυτοῦ τους σὰν μακρὺ σχοινὶ καὶ δὲν ἔγιναν ὀρθοὶ κριτὲς τῶν πραγμάτων, ἀφοῦ καταψέγουν τὸ ἀγαθὸ καὶ ἐπαινοῦν τὸ κακό, καὶ ἦταν σοφοὶ σύμφωνα μὲ τὴ δική τους γνώμη καὶ ἐπιστήμονες μπροστὰ στὸν ἑαυτό τους, καὶ ἀποβλέποντας σὲ ἀκόμα αἰσχρότερα, δικαίωσαν βέβαια λόγω δώρων τὸν ἀσεβῆ, ἀλλὰ ἀφαίρεσαν τὸ δίκαιο ἀπὸ τὸν δίκαιο, γιὰ ὅλα αὐτὰ σὰν εὔφλεκτο ὑλικὸ καὶ σὰν καλαμιὰ θὰ γίνουν τροφὴ φωτιᾶς καὶ θὰ τοὺς καταναλώσουν οἱ φουντωμένες φλόγες, ὥστε μαζὶ μὲ τὶς ρίζες νὰ κατακαοῦν καὶ οἱ καρποί τους, δηλαδὴ νὰ ἀφανισθοῦν μαζὶ μὲ τοὺς γονεῖς καὶ τὰ παιδιά τους, ἢ σὰν χῶμα ἢ σκόνη θὰ διασκορπισθοῦν ἀπὸ τὶς ριπὲς ἰσχυρότατου ἀνέμου. «Φλόγα φουντωμένη» ὀνομάζει τὴ φλόγα ποὺ δὲν σβήνει ἀπὸ κανένα. Γιατὶ ἔπεσε πολλὲς φορὲς φωτιὰ σὲ σπαρτὰ ἢ ἀμπέλια, δὲν φούντωσε ὅμως, ἐπειδὴ βοήθησαν πολλοὶ καὶ δὲν ἄφησαν νὰ προχωρήσει, οὔτε νὰ κατακαύσει ἀνεμπόδιστη τὰ χωράφια. Ὅταν ὅμως δὲν κοπιάζει κανένας γι᾽ αὐτήν, δηλαδὴ δὲν ἀνακόπτει τὸν παραπέρα δρόμο τῆς φωτιᾶς, τότε λοιπόν, καὶ φουντωμένη θὰ εἶναι καὶ ἀνεμπόδιστη, καὶ θὰ εἶναι ἀχαλιναγώγητη πρὸς ὁτιδήποτε βρεθεῖ κοντά της.

Ἐπειδὴ λοιπὸν ὁ πανίσχυρος Θεὸς τοὺς ρίχνει στὶς συμφορὲς τοῦ πολέμου καὶ τιμωρεῖ μὲ δίκαιη ἀπόφαση, δὲν βρέθηκε κανένας ἀπολύτως νὰ τοὺς βοηθήσει, γι᾽ αὐτό, καὶ πολὺ εὔλογα, ὀνομάζει τὴν ὀργὴ «φλόγα φουντωμένη». Γιατί, ὅπως λέγει ὁ μακάριος Μωυσῆς, «Ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατατρώγει»[59], καί, «Ἂν κλείσει τὴν θύρα, ποιὸς θὰ τὴν ἀνοίξει;»[60]. Καὶ αὐτὸ γνωρίζοντάς το ὁ θεσπέσιος Δαβὶδ ψάλλει· «Ἐσὺ εἶσαι φοβερός, καὶ ποιὸς θ᾽ ἀντισταθεῖ στὴν ὀργή σου;»[61]. Πρέπει λοιπὸν μὲ ὅλη τὴ δύναμή μας νὰ προσπαθοῦμε ν᾽ ἀποφύγομε τὴν ὀργή. Γιατὶ εἶναι φοβερὸ πρᾶγμα αὐτὴ καὶ δύσκολα μπορεῖ νὰ τὴ ἀποφύγει

59. Δευτ. 4, 24. 60. Ἰὼβ 12, 14. 61. Ψαλμ. 75, 8.

δεδιδάγμεθα λέγειν ἐν προσευχαῖς· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με». Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν τὸ παιδεύεσθαι χαλεπόν. Φορτικὸν δὲ καὶ δύσοιστον τὸ ἐν ὀργῇ καὶ θυμῷ τοῦτο πράττεσθαι καθ' ἡμῶν· οὕτω καὶ ὁ προφήτης ἔλεγεν· «Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς».

Στίχ 24-25. «Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαώθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Καὶ ἐθυμώθη ὀργῇ Κύριος Σαβαώθ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ ἐπάταξεν αὐτούς, καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ».

Ὁ σοφώτατος Ἱερεμίας ταῖς τῶν Ἰουδαίων ἀμαθίαις τε καὶ ὑπεροψίαις ἐπιπλήττει λέγων· «Πῶς ἐρεῖτε, ὅτι Σοφοί ἐσμεν ἡμεῖς καὶ νόμος Κυρίου μεθ' ἡμῶν ἐστιν; Εἰς μάτην ἐγενήθη σχοῖνος, ψευδὴς γραμματεύς, ᾐσχύνθησαν σοφοί, ἐπτοήθησαν καὶ ἑάλωσαν. Σοφία τίς ἐστιν ἐν αὐτοῖς; Ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν». Προσήκαντο μὲν γὰρ οὐδαμῶς τὸ κήρυγμα τὸ εὐαγγελικόν, ἀλλ' οὐδὲ αὐτὸν τὸν διὰ Μωσέως τετιμήκασι νόμον. Ὡς γὰρ αὐτὸς εἴρηκεν ὁ Χριστός· «Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν». Πεπλημμελήκασι τοίνυν κατ' ἄμφω, καὶ ἀπεδοκίμασαν οἱ δείλαιοι τὸν τοῦ Θεοῦ λόγον, μήτε τὰς διὰ νόμου προαγορεύσεις ὡς ἀληθεῖς δεχόμενοι, μήτε μὴν τὸν σωτήριον εὐαγγελικὸν ἐπαινέσαντες λόγον. Ταύτῃτοι διὰ φωνῆς Ἱερεμίου περὶ αὐτῶν ἔφη Θεός· «Πρός τίνα λαλήσω καὶ διαμαρτύρομαι, καὶ εἰσακούσεται; Ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. Ἰδοὺ τὸ ῥῆμα Κυρίου ἐγενήθη αὐτοῖς εἰς ὀνειδισμόν· οὐ μὴ βουληθῶσιν αὐτὸ ἀκούειν». Κατωνείδιζον γὰρ τὸ ῥῆμα Χρι-

62. Ψαλμ. 6, 2. 63. Ἱερ. 8, 8-9.

κανείς. Γι' αὐτὸ ἔχομε διδαχθεῖ νὰ λέμε στὶς προσευχές· «Κύριε, μὴ μὲ ἐλέγξεις ἐπάνω στὸ θυμό σου καὶ μὴ μὲ παιδεύσεις ἐπάνω στὴν ὀργή σου»[62]. Γιατὶ δὲν εἶναι, δὲν εἶναι φοβερὸ τὸ νὰ παιδαγωγεῖται κανείς, ἀλλὰ βαρὺ καὶ ἀνυπόφορο εἶναι τὸ νὰ γίνεται αὐτὸ μὲ ὀργὴ καὶ θυμὸ ἐναντίον μας. Ἔτσι ἔλεγε καὶ ὁ προφήτης· «παιδαγώγησέ μας, Κύριε, ἀλλὰ μὲ νηφαλιότητα, καὶ ὄχι μὲ θυμό, γιὰ νὰ μὴ μᾶς κάνεις λίγους».

Στίχ. 24-25. «Γιατὶ δὲν θέλησαν τὸ νόμο τοῦ Κυρίου τῶν δυνάμεων, ἀλλὰ περιφρόνησαν τὸν λόγο τοῦ ἁγίου τοῦ Ἰσραὴλ καὶ τὸν ἐξόργισαν. Καὶ θύμωσε ὁ Κύριος τῶν δυνάμεων καὶ φούντωσε ἡ ὀργή του ἐναντίον τοῦ λαοῦ του καὶ ὕψωσε τὸ χέρι του ἐναντίον τους καὶ τοὺς χτύπησε. Τὰ ὄρη κλονίσθηκαν καὶ οἱ φονευμένοι ἔγιναν σὰν κοπριὰ στὴ μέση τοῦ δρόμου».

Ὁ σοφώτατος Ἱερεμίας ἐπιπλήττει τοὺς Ἰουδαίους γιὰ τὴν ἀμάθεια καὶ τὴν ὑπεροψία τους λέγοντας· «Πῶς θὰ πεῖτε, Εἴμαστε ἐμεῖς σοφοὶ καὶ ὁ νόμος τοῦ Κυρίου εἶναι μαζί μας; Μάταια τὰ ὅσα ἔγραψε ἡ γραφίδα, ὁ γραμματεὺς ψευδής, οἱ σοφοὶ καταντροπιάσθηκαν, φοβήθηκαν καὶ συνελήφθηκαν. Ποιὰ σοφία ὑπάρχει σ' αὐτούς, ἀφοῦ ἀποδοκίμασαν τὸν λόγο τοῦ Κυρίου;»[63]. Δὲν δέχθηκαν καθόλου τὸ εὐαγγελικὸ κήρυγμα, ἀλλ' οὔτε τὸν νόμο τοῦ Μωυσῆ τίμησαν. Γιατί, ὅπως εἶπε ὁ ἴδιος ὁ Χριστός· «Ἂν πιστεύατε στὸν Μωυσῆ, θὰ πιστεύατε καὶ σ' ἐμένα. Γιατὶ ἐκεῖνος ἔγραψε γιὰ μένα»[64]. Διέπραξαν λοιπὸν παράπτωμα καὶ ὡς πρὸς τὰ δύο, καὶ ἀποδοκίμασαν οἱ ἄθλιοι τὸν λόγο τοῦ Θεοῦ, οὔτε δεχόμενοι ὡς ἀληθεῖς τὶς προφητεῖες τοῦ νόμου, οὔτε ἐπαίνεσαν τὸν σωτήριο εὐαγγελικὸ λόγο. Γι' αὐτὸ μέσω τοῦ Ἱερεμία εἶπε ὁ Θεὸς γ αὐτούς· «Σὲ ποιὸν νὰ μιλήσω καὶ νὰ δώσω τὴ μαρτυρία μου καὶ νὰ μὲ ἀκούσει; Νά, τ' αὐτιά τους εἶναι ἀπερίτμητα καὶ δὲν μποροῦν ν' ἀκούσουν. Νά, ὁ λόγος τοῦ Κυρίου ἔγινε γι' αὐτοὺς ἀντικείμενο χλευασμοῦ· δὲν θὰ θελήσουν νὰ τὸν ἀκούσουν»[65]. Πράγματι χλεύαζαν τὸν λόγο τοῦ Χριστοῦ λέγοντας σὲ ἐκείνους

64. Ἰω. 5, 46.

65. Ἱερ. 6, 10.

στοῦ, τοῖς ἀκροωμένοις περὶ αὐτοῦ λέγοντες· «Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε;».

Οὐκοῦν ἐπειδήπερ οὐκ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαώθ, παρώτρυναν δὲ καὶ τὸ λόγιον τοῦ ἁγίου Ἰσραήλ, τοῦτ' ἔστι Χριστοῦ· «Ἐθυμώθη», φησίν, «ὀργῇ, καὶ ἐπάταξεν αὐτούς, καὶ παρωξύνθη τὰ ὄρη». Καὶ ποῖά φησιν ἐν τούτοις ὄρη; ἢ δηλονότι τὰς Ῥωμαίων ἀρχάς, διά τοι τὸ ἐν δόξῃ περιφανεῖ καὶ τὸ ἐν ἀξιώμασιν ἐπηρμένον; Ἀπὸ δὲ τοῦ παροξυνθῆναι τὰ ὄρη, γέγονεν αὐτῶν ὡς κοπρία τὰ θνησιμαῖα, τοῦτ' ἔστιν οἱ ἐκ τοῦ πολέμου νεκροί, διερριμμένοι πανταχῇ, καὶ τάχα που κείμενοι σωρηδόν, καὶ πᾶσαν αὐτῶν πιμπλάντες τὴν χώραν. Καὶ ἑτέρως δὲ κατὰ τῶν παροτρυνόντων διὰ τῆς ἀπειθείας τὸν τῶν ὅλων Σωτῆρα Θεόν. Παροτρύνονται γὰρ ὄρη τὰ νοητά, τοῦτ' ἔστιν, ἀρχαὶ καὶ ἐξουσίαι καὶ οἱ κοσμοκράτορες τοῦ σκότους τούτου. Οὗ δὴ γεγονότος, πᾶσά πως ἀνάγκη τὸν ψυχῆς ὑπομεῖναι θάνατον τοὺς ὑπενηνεγμένους αὐτοῖς Ἐπικουροῦντος μὲν γὰρ τοῦ πάντα ἰσχύοντος Θεοῦ, κἂν παροτρύνηται καθ' ἡμῶν τὰ ὄρη, λόγος αὐτῶν οὐδείς. Γέγραπται γὰρ, ὅτι «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς». Ἀφιστάντος δὲ τὴν χεῖρα καὶ οὐκ ἔτι σώζειν ἀνεχομένου, τὸ τηνικάδε κεισόμεθα, καὶ κοπρίων δίκην ὑπὸ πόδας τῶν ἐχθρῶν ἐσόμεθα.

Στίχ. 25-30. «Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν, καὶ συριεῖ αὐτοῖς ἀπ' ἄκρου τῆς γῆς. Καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται· οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσιν, οὐδὲ κοιμηθήσονται, οὐδὲ μὴ λύσωσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδ' οὐ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑπο-

66. Ἰω. 10,20.
67. Ἐφ. 6,12.

πού τὸν ἄκουαν γι' αὐτόν· «Ἔχει δαιμόνιο καὶ φέρεται σὰν μανιακός· τί τὸν ἀκοῦτε;»[66].

Ἐπειδὴ λοιπὸν δὲν θέλησαν τὸν νόμο τοῦ Κυρίου τῶν δυνάμεων, ἀλλὰ καὶ περιφρόνησαν τὸν λόγο του καὶ ἐξόργισαν τὸν ἅγιο τοῦ Ἰσραήλ, δηλαδὴ τὸν Χριστό, γι' αὐτό, λέγει, «Κυριεύθηκε ἀπὸ μεγάλο θυμὸ καὶ τοὺς πάταξε καὶ συγκλονίσθηκαν τὰ ὄρη». Καὶ ποιὰ ὀνομάζει ὄρη ἐδῶ; Ἢ εἶναι ὁλοφάνερο ὅτι ὀνομάζει τὶς ἀρχὲς τῶν Ρωμαίων, ἐξαιτίας τῆς περίλαμπρης δόξας τους καὶ τῆς γεμάτης ἀπὸ ἔπαρση ἐξουσίας τους; Κι ἀπὸ τὸν συγκλονισμὸ τῶν ὀρέων οἱ νεκροί τους ἔγιναν σὰν κοπριά, δηλαδὴ οἱ νεκροὶ τοῦ πολέμου διάσπαρτοι παντοῦ καὶ κείμενοι κατὰ κάποιο τρόπο σὲ σωροὺς καὶ γεμίζοντας ὅλη τους τὴ χώρα. Καὶ μὲ ἄλλο τρόπο συγκλονίζονται τὰ ὄρη ἐναντίον ἐκείνων ποὺ ἐξοργίζουν μὲ τὴν ἀνυπακοή τους τὸν Σωτήρα τῶν ὅλων Θεό. Ἐξοργίζονται δηλαδὴ τὰ νοητὰ ὄρη, ἤτοι οἱ ἀρχὲς καὶ οἱ ἐξουσίες καὶ οἱ κοσμοκράτορες τοῦ σκότους αὐτοῦ[67], κι ἀφοῦ ἔγινε αὐτό, ἦταν ἀπόλυτη ἀνάγκη νὰ ὑπομείνουν τὸ θάνατο τῆς ψυχῆς ἐκεῖνοι ποὺ ὑποτάχθηκαν σ' αὐτούς. Μὲ τὴ βοήθεια βέβαια τοῦ παντοδύναμου Θεοῦ, κι ἂν ἀκόμα ἐξοργίζονται ἐναντίον μας τὰ ὄρη, δὲν γίνεται κανένας λόγος γι' αὐτά. Γιατὶ ἔχει γραφεῖ, «Θὰ περικυκλώσει ἄγγελος Κυρίου ἐκείνους ποὺ τὸν σέβονται καὶ θὰ τοὺς σώσει»[68]. Ἂν ὅμως ἀποσύρει τὸ χέρι του καὶ δὲν θέλει νὰ μᾶς σώσει, τότε θὰ βρεθοῦμε κείμενοι σὰν κοπριὰ κάτω ἀπὸ τὰ πόδια τῶν ἐχθρῶν.

Στίχ. 25-30. «Παρ' ὅλα αὐτὰ ὅμως δὲν κόπασε ὁ θυμός του, ἀλλὰ τὸ χέρι του εἶναι ἀκόμα ὑψωμένο. Θὰ ὑψώσει λοιπὸν σημάδι γιὰ τὰ ἀπομακρυσμένα ἔθνη, θὰ σφυρίξει καὶ θ' ἀκουσθεῖ ἀπ' τὸ ἕνα ὡς τὸ ἄλλο ἄκρο τῆς γῆς. Καὶ νὰ ἔρχονται γρήγορα καὶ σὰ νὰ ἔχουν φτερά· δὲν θὰ πεινάσουν, οὔτε θὰ κοπιάσουν, οὔτε θὰ νυστάξουν, οὔτε θὰ κοιμηθοῦν, οὔτε θὰ λύσουν τὶς ζῶνες ἀπὸ τὴ μέση τους, δὲν θὰ σπάσουν οἱ ἱμάντες τῶν

68. Ψαλμ. 33, 8.

· *δημάτων αὐτῶν, ὧν τὰ βέλη ὀξέα ἐστί, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα. Οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. Ὁρμῶσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς* 5 *σκύμνος λέοντος. Καὶ ἐπιλήψεται καὶ βοήσεται ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος. Καὶ βοήσεται δι' αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς γῆν, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν».*

10 *Ὅτι μὴ μέχρι τούτων τὰ τῆς ἐπ' αὐτοῖς ὀργῆς μετρηθήσεται παρὰ τοῦ τὰ δίκαια κρίνοντος, προβήσεται δὲ καὶ ἐπέκεινα, σαφηνιεῖ τὸ προκείμενον. Καίτοι γὰρ ἀγρίως πεπορθημένοι, λιμῷ τε καὶ δίψει πεπιεσμένοι, καὶ ταῖς τοῦ πολέμου συμφοραῖς ἐναλόντες οἱ δείλαιοι, μεμενήκασιν ἐν* 15 *ἀποστροφῇ Θεοῦ, καὶ οὐκ ἔξω γεγόνασι τῆς ὀργῆς. Τοῦτο γάρ, οἶμαι, σημαίνει λέγων τό, «Ἔτι ἡ χεὶρ ὑψηλή», ὅτι πλήττουσα τοὺς ἡμαρτηκότας. Ὑψοῦ γὰρ ἀεί πως ἡ τοῦ παίοντος αἴρεται χείρ. Εἶτα τίς ἢ πόσος ὁ τῶν ὀρῶν ἔσται παροξυσμός, τίνες δὲ καὶ οἱ τοῖς ἐκείνων ὑπηρετησόμενοι* 20 *θυμοῖς, καὶ μεθ' ὅσης ἥξουσιν ἀνδρείας τε καὶ εὐτολμίας καὶ τῆς εἰς ἀνθρώπους ἀήθους ὠμότητος, ἐμφανίζει λέγων· «Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν». Οὐ γὰρ ὅμοροι καὶ γείτονες τῆς Ἰουδαίων χώρας οἱ ταύτην ἠρημωκότες καὶ κατεμπρήσαντες τὰ Ἱεροσόλυμα καὶ* 25 *ἅπάσας δὲ τὰς τῶν Ἰουδαίων πόλεις, ἀλλ' ἐκ χωρῶν τῶν μακρὰν καὶ ἐξ ἁπάσης τῆς γῆς συναγηγερμένοι. Πλεῖστοι γὰρ λίαν· μᾶλλον δὲ τάχα που καὶ ἀριθμοῦ κρείττονες καὶ οἱ συνασπίζοντες Οὐεσπασιανῷ τε καὶ Τίτῳ.*

Σύσσημον δὲ δοθήσεται, φησίν, ὡς ἐν καιρῷ πολέμου 30 *καὶ μάχης. Ἔθος γὰρ τοῖς στρατηγοῖς ἐξοπλίζειν μέλλουσιν εἰς παράταξιν τὴν ὑπὸ χεῖρα πληθύν, σύσσημα διδόναι,*

ὑποδημάτων τους, τὰ βέλη τῶν ὁποίων εἶναι αἰχμηρὰ καὶ τὰ τόξα τους τεντωμένα. Τὰ πόδια τῶν ἵππων τους θεωρήθηκαν σὰν σιδηρόπετρα, οἱ τροχοὶ τῶν ἁρμάτων τους σὰν καταιγίδα. Ὁρμοῦν σὰν λεοντάρια καὶ δίπλα τους βρίσκονται σὰν λιονταρόπουλα. Θὰ τοὺς συλλάβει ὁ ἐχθρὸς καὶ θὰ μουγκρίσει σὰ θηρίο καὶ θὰ τοὺς ἀπομακρύνει ἀπὸ ἐκεῖ καὶ δὲν θὰ βρεθεῖ ἐκεῖνος ποὺ θὰ τοὺς σώσει. Καὶ θὰ φωνάξει δυνατὰ ἐκείνη τὴν ἡμέρα ἐναντίον τους, σὰν τὴ βοὴ ποὺ βγάζει ἡ τρικυμισμένη θάλασσα, καὶ θὰ κοιτάξουν στὴ γῆ, καὶ νά, ἡ ἀπάντηση στὴν ἀπόγνωσή τους θὰ εἶναι τὸ φοβερὸ σκοτάδι».

Ὅτι τὰ ἀποτελέσματα τῆς ἐναντίον τους ὀργῆς δὲν θὰ φτάσουν ὡς αὐτὰ μόνο ἐκ μέρους ἐκείνου ποὺ κρίνει δίκαια, ἀλλὰ θὰ προχωρήσουν καὶ παραπέρα, τὸ διασαφηνίζει τὸ ἐξεταζόμενο ἀπόσπασμα. Μολονότι δηλαδὴ ἦταν ἄγρια λεηλατημένοι, πιέζονταν ἀπὸ τὴν πεῖνα καὶ τὴ δίψα καὶ εἶχαν περιβληθεῖ, οἱ ἄθλιοι, ἀπὸ τὶς συμφορὲς τοῦ πολέμου, ἐπέμειναν στὴν ἀποστροφή τους πρὸς τὸν Θεὸ καὶ δὲν βρέθηκαν ἔξω ἀπὸ τὴν ὀργή του. Γιατὶ αὐτό, νομίζω, δηλώνει λέγοντας· «Τὸ χέρι του εἶνα ἀκόμα ὑψωμένο», καταφέροντας πλήγματα σὲ ἐκείνους ποὺ ἔχουν ἁμαρτήσει. Γιατὶ πάντοτε τὸ χέρι ἐκείνου ποὺ χτυπᾶ σηκώνεται ψηλά. Ἔπειτα ποιὸς καὶ πόσος εἶναι ὁ συγκλονισμὸς τῶν βουνῶν καὶ ποιοὶ εἶναι αὐτοὶ ποὺ θὰ γίνουν ὑπηρέτες τοῦ θυμοῦ ἐκείνων καὶ μὲ πόση ἀνδρεία καὶ τόλμη θὰ ἔρθουν καὶ μὲ ἀσυνήθιστη σὲ ἀνθρώπους ὠμότητα, τὸ ἐμφανίζει λέγοντας· «Γι' αὐτὸ θὰ ὑψώσει σημάδι γιὰ τὰ ἀπομακρυσμένα ἔθνη». Δὲν ἐρήμωσαν δηλαδὴ τὴν Ἰουδαία καὶ κατέκαψαν τὰ Ἱεροσόλυμα καὶ ὅλες τὶς πόλεις τῶν Ἰουδαίων ὅμοροι καὶ γείτονες λαοὶ αὐτῶν, ἀλλ' ἦταν ἀπὸ μακρινὲς χῶρες καὶ συγκεντρωμένοι ἀπὸ ὅλη τὴ γῆ. Γιατὶ ἦταν πάρα πολλοί, ἢ μᾶλλον δὲν εἶχαν ἴσως μετρημὸ οἱ σύμμαχοι τοῦ Βεσπασιανοῦ καὶ τοῦ Τίτου.

Θὰ δοθεῖ, λέγει, σῆμα ὅπως σὲ καιρὸ πολέμου καὶ μάχης. Ὑπάρχει δηλαδὴ συνήθεια στοὺς στρατηγοὺς ὅταν πρόκειται νὰ παρατάξουν τὸ πλῆθος τῶν πολεμιστῶν τους νὰ δίνουν σήματα,

τὰς καλουμένας σημαίας αἴροντας ὑψοῦ. Ὧν καὶ ὁ προφήτης Ἡσαΐας διαμέμνηται λέγων· «Καταληφθήσεται ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ». Ἱστοὺς γὰρ ἱστάντες ἐν ὑψηλοῖς γηλόφοις, ἢ ὀρθοῦσιν, ἢ κατακλίνουσιν, ἢ καὶ ἀπαρτῶσί τινα πρὸς ἃ βλέπει τὸ μάχιμον. Εἶδε δὲ οὕτω τοῦ στρατηγοῦ τί τὸ δοκοῦν. Αἴρει τοιγαροῦν τὸ σύσσημον, φησί, καὶ συριεῖ αὐτοῖς. Δέχεται δὲ καὶ τοῦτο πάλιν ὡς ἀπό γε τῆς συνηθείας τῆς ἐπὶ τῶν μυιῶν. Ἐν ἔθει γάρ πως ἐστι τοῖς μελισσοκόμοις συρίζειν αὐταῖς· οὕτω τε τῶν σίμβλων ἀποφέρειν εἰς ἄνθη καὶ πόας, καὶ μὴν καὶ ἀνακομίζειν ἐξ ἀγρῶν, οἵκοι τε αὐτὰς ἐναυλίζεσθαι ποιεῖν. «Συριεῖ» τοίνυν, φησίν, οἱ δὲ ἀφίξονται πτηνοί τε καὶ κοῦφοι, λιμοῦ μὲν ὀλίγα πεφροντικότες, οὐ δεδιότες δὲ πόνους, ἄϋπνοί τε καὶ εὐζωνότατοι, καὶ ἐξηρτυμένοι τὰ τακτικά, καὶ ἀτρύτοις ἵπποις ἐποχούμενοι, καὶ ὁρμῶντες ὡς καταιγίς, καὶ ἐν ἴσῳ λέουσι, καὶ κατεσθίοντες ὡς θηρία. Δυσάντητοι δὲ οὕτως ἔσονται καὶ δεινοί, ὡς ἁμαχεὶ δύνασθαι νικᾶν ἀντεξάγοντος οὐδενός, ἤγουν ἱκανῶς ἔχοντος εἰς ἐπικουρίαν,

Ἔσται δὲ θρῆνος κατ' ἐκεῖνο καιροῦ καὶ βοὴ συμμιγής, ὡς οὐδὲν ἕτερον ἡγεῖσθαί τινας, ἢ ὅτι θαλάσσης ἠχὴ τῆς Ἰουδαίων κατασκίδναται χώρας. Ἔσται δὲ καὶ σκληρὸν σκότος καὶ οὔτι που πάντως τὸ ὡς ἐν ὁμίχλῃ νοούμενον καὶ νυκτί, τὸ ἐκ δειμάτων δὲ μᾶλλον καὶ ἀπορίας. Σκοτοῖ γὰρ τὸν νοῦν τὰ παγχάλεπα τῶν κακῶν. Ὀνίνησι τοιγαροῦν διὰ παντὸς ἡμᾶς ὁ τῶν ὅλων Θεός. Ποιεῖται γὰρ οὐ μάτην τὰς τῶν ἐσομένων προαγορεύσεις, καὶ δίεισιν ἀκριβῶς τὰ μεγέθη τῶν κακῶν, ἵν', ἐπειδήπερ ἀνουθέτητοί τε πολλάκις ἐσμὲν καὶ πεποιήμεθα παρ' οὐδὲν τὸν εἰς μετάγνωσιν καλοῦντα λόγον, κἂν γοῦν ὑποπτήξαντες τὸ ταῖς οὕτω δειναῖς ἐναλῶναι δίκαις, τὸν θεῖον ἐν ἑαυτοῖς εἰσδεξώμεθα

69. Ἡσ. 30, 17.

ἀνεβάζοντας ψηλὰ τὶς λεγόμενες σημαῖες. Αὐτὰ ὑπενθυμίζει καὶ ὁ προφήτης Ἡσαΐας λέγοντας· «Θὰ ἐγκαταλειφθεῖ σὰν κοντάρι ἐπάνω σὲ ὄρος καὶ σὰν νὰ φέρει σημαία ἐπάνω στὸ βουνό»[69]. Τοποθετώντας δηλαδὴ κοντάρια σὲ ψηλοὺς λόφους, ἢ τὰ ψηλώνουν ἢ τὰ χαμηλώνουν ἢ καὶ κρεμοῦν ἀπὸ αὐτὰ κάτι πρὸς τὸ ὁποῖο βλέπει τὸ στράτευμα, καὶ ἔτσι βλέπει τί τοὺς ζητᾶ ὁ στρατηγός. Ὑψώνει λοιπὸν τὸ σῆμα, λέγει, καὶ σφυρίζει σ' αὐτούς. Κι αὐτὸ πάλι τὸ παίρνει ἀπὸ τὴ συνήθεια ποὺ ἐπικρατεῖ στὶς μέλισσες. Γιατὶ οἱ μελισσοκόμοι συνηθίζουν νὰ σφυρίζουν στὶς μέλισσες, καὶ ἔτσι καὶ ἀπὸ τὶς κυψέλες τὶς ἀπομακρύνουν πρὸς τὰ ἄνθη καὶ τὰ φυτά, ἀλλὰ καὶ τὶς ἐπαναφέρουν ἀπὸ τὰ χωράφια καὶ τὶς κάνουν νὰ ἐπιστρέφουν στὴν κατοικία τους. «Θὰ σφυρίξει» λοιπόν, λέγει, καὶ αὐτοὶ θὰ φθάσουν πετώντας σὰ νὰ ἔχουν φτερά, δείχνοντας λίγο ἐνδιαφέρον γιὰ τὴν πεῖνα, μὴ φοβούμενοι τοὺς κόπους, μένοντας ἄυπνοι καὶ πάντα ζωσμένοι καλὰ καὶ μὲ πλήρη τὴν πολεμικὴ ἐξάρτιση, καὶ ἀνεβασμένοι πάνω σὲ ἀκαταπόνητους ἵππους, ὁρμοῦν σὰν καταιγίδα καὶ ὅμοιοι μὲ λιοντάρια καὶ κατασπαράζοντας σὰν θηρία. Τόσο λοιπὸν ἄκαμπτοι θὰ εἶναι καὶ φοβεροί, ὥστε νὰ μποροῦν νὰ νικοῦν χωρὶς μάχη καὶ χωρὶς νὰ τοὺς ἀντιμάχεται κανείς, νὰ εἶναι δηλαδὴ σὲ θέση νὰ βοηθήσει.

Ἀλλὰ θὰ ἐπικρατεῖ ἐκεῖνον τὸν καιρὸ θρῆνος καὶ βοὴ ἀνάμικτη, ὥστε τίποτε ἄλλο νὰ μὴ νομίζει κανεὶς ὅτι εἶναι, παρὰ ὅτι ἁπλώνεται στὴ χώρα τῶν Ἰουδαίων ἡ βοὴ τῆς θάλασσας. Καὶ θὰ ὑπάρχει καὶ πυκνὸ σκοτάδι, καὶ ὄχι ὁπωσδήποτε αὐτὸ ποὺ νοοῦμε σὲ ὥρα ὁμίχλης καὶ κατὰ τὴ νύχτα, ἀλλὰ μᾶλλον αὐτὸ ποὺ προκαλεῖται ἀπὸ φόβους καὶ ἀπόγνωση. Γιατὶ σκοτίζουν τὸν νοῦ τὰ πάρα πολὺ φοβερὰ δεινά. Μᾶς ὠφελεῖ λοιπὸν μὲ τὸ κάθετι ὁ Θεὸς τῶν ὅλων. Γιατὶ δὲν κάνει ἄσκοπα τὶς προαγγελίες τῶν μελλοντικῶν, καὶ ἐκθέτει μὲ ἀκρίβεια τὰ μεγάλα δεινά, ὥστε, ἐπειδὴ εἴμαστε πολλὲς φορὲς καὶ ἀνουθέτητοι καὶ περιφρονοῦμε τὸ λόγο ποὺ μᾶς καλεῖ σὲ μετάνοια, νὰ φοβηθοῦμε τουλάχιτο νὰ περιπέσομε σὲ τόσο φοβερὲς τιμωρίες, νὰ δεχθοῦμε μέσα μας τὸν θεῖο φόβο, καὶ ἀφοῦ ἀπαλλαγοῦμε ἀπὸ τὴ φροντίδα γιὰ τὰ κακά, νὰ μεταφέ-

φόβον, καὶ ἀποσπουδάσαντες τὰ πονηρά, μετακομίσωμεν τὴν καρδίαν εἴς γε τὸ χρῆναι λοιπὸν ἑλέσθαι τὸ ἀγαθόν.

ΚΕΦ. 6, στίχ. 1-3. «Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶν κατεκάλυπτον τὰ πρόσωπα, καὶ ταῖς δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ».

Οὐ καθ' ἕνα τυχόν, οὔτε μὴν ἀδιαστάτως οἱ μακάριοι προφῆται τὰς τῶν ὁράσεων ἀποκαλύψεις ἐδέχοντο παρὰ Θεοῦ, ἀνὰ μέρος δὲ μᾶλλον, κατὰ τὸ Δεσπότῃ δοκοῦν, καὶ ἐν χρόνοις καθ' οὓς ἤθελε τοῦτο δρᾶν ὁ ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα καὶ γινώσκων τἄ κεκρυμμένα. Καὶ γὰρ ἔστι μετὰ τοῦτο φῶς, καθὰ γέγραπται. Ὀζίου τοιγαροῦν τοῦ καὶ Ἀζαρίου περιόντος ἔτι καὶ τοὺς τῆς βασιλείας τῆς ἐν τοῖς Ἱεροσολύμοις διέποντος θρόνους, τοὺς ἐπὶ τοῖς ἤδη φθάσασι πεποίηται λόγους ὁ μακάριος προφήτης Ἡσαΐας. Ἦν μὲν γὰρ Ὀζίας καὶ Ἀζαρίας τῶν ὅτι μάλιστα φιλοθεωτάτων, πεποιηκέναι γὰρ λέγεται τὸ εὐθὲς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ. Πλὴν οὐ μέχρι παντὸς διεσώσατο καλὴν καὶ ἀμώμητον τῆς εὐσεβείας τὴν δόξαν. Κατισχύσας γὰρ διὰ Θεοῦ τῶν ὁμόρων ἐθνῶν, πλεῖστά τε ὅσα καὶ ἀξιοθαύμαστα κατ' αὐτῶν ἐργασάμενος, τοῖς τῆς εὐπραγίας μεμέθυσται τρόποις καὶ κατώλισθεν εἰς ὑπεροψίαν. Ἀφίκετο γὰρ εἰς τοῦτο γνώμης, ὥστε καὶ λειτουργίαν ἁρπάσαι τὴν ἱερὰν καὶ αὐτόκλητος ἐλθεῖν ἐπὶ τὸ δεῖν ἱερᾶσθαι τῷ Θεῷ. Εἰσελθὼν γὰρ εἰς τὸν θεῖον ναόν, οὐ διὰ τῆς τῶν Λευϊτῶν μεσιτείας, ἦγουν ἱερέων, προσκομίζειν ἤθελε τὰς θυσίας τῷ Θεῷ, ἀλλ' ἐπ' αὐ-

ρομε τὴν καρδιά μας στὸ ἔξῆς στὴν ὑποχρέωση τῆς ἐπιλογῆς τοῦ ἀγαθοῦ.

ΚΕΦ. 6. στίχ. 1-3. «Κατὰ τὸ ἔτος ποὺ πέθανε ὁ βασιλιὰς Ὀζίας εἶδα τὸν Κύριο τῶν δυνάμεων καθισμένο σὲ ὑψηλὸ καὶ μετέωρο θρόνο, καὶ ὁ χῶρος ἐκεῖ ἦταν γεμᾶτος ἀπὸ τὴ δόξα του. Γύρω του στέκονταν τὰ Σεραφείμ, ποὺ εἶχαν ἕξι φτερὰ τὸ ἕνα καὶ ἕξι φτερὰ τὸ ἄλλο. Μὲ τὰ δύο κάλυπταν τὸ πρόσωπό τους, μὲ τ' ἄλλα δύο κάλυπταν τὰ πόδια, καὶ μὲ τὰ ἄλλα δύο πετοῦσαν. Καὶ φώναζαν τὸ ἕνα στὸ ἄλλο κι ἔλεγαν· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Παντοκράτωρ, ὅλη ἡ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα του».

Οἱ μακάριοι προφῆτες δέχονταν τὶς ἀποκαλύψεις τῶν ὁραμάτων τους ἀπὸ τὸν Θεὸ ὄχι γιὰ καθένα τυχὸν γεγονός, οὔτε ἀδιάκοπα, ἀλλὰ μᾶλλον κατὰ διαστήματα καὶ σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου, καὶ τὸν καιρὸ ποὺ ἤθελε νὰ κάνει αὐτὸ αὐτὸς ποὺ ἀποκαλύπτει τὰ βαθιὰ καὶ ἀπόκρυφα καὶ γνωρίζει ὅσα εἶναι κρυμμένα. Γιατί, ὅπως ἔχει γραφεῖ, «Ἔπειτα ἀπὸ αὐτὸ θὰ ὑπάρξει φῶς»[70]. Ζοῦσε λοιπὸν ἀκόμα ὁ Ὀζίας τοῦ Ἀζαρία καὶ κατεῖχε τὸν θρόνο τῆς βασιλείας στὰ Ἱεροσόλυμα, ὅταν ὁ μακάριος προφήτης Ἡσαΐας μίλησε γιὰ ὅσα ἤδη εἶχαν συμβεῖ. Γιατὶ ὁ Ὀζίας καὶ ὁ Ἀζαρίας, ἦταν ἀπὸ τοὺς πιὸ φιλόθεους βασιλεῖς, καὶ λένε ὅτι εἶχε κάνει αὐτὸ ποὺ εἶναι ὀρθὸ στὰ μάτια τοῦ Θεοῦ. Ἀλλὰ δὲν διατήρησε μέχρι τὸ τέλος καλὴ καὶ ἄμεμπτη τὴ δόξα τῆς εὐσέβειας. Ἀφοῦ δηλαδὴ κατέκτησε τὰ γειτονικὰ ἔθνη καὶ ἐπέτυχε ἐναντίον τους πλεῖστα ὅσα καὶ ἀξιοθαύμαστα, μέθυσε ἀπὸ τὴν πολλὴ ἐπιτυχία του καὶ γλίστρησε στὴν ὑπεροψία. Ἔφτασε δηλαδὴ σὲ τέτοιο βαθμὸ ἀνοησίας, ὥστε ν' ἁρπάξει καὶ τὸ ἱερὸ λειτούργημα καὶ μόνος του πῆρε στὴν ἀπόφαση νὰ θυσιάζει στὸν Θεό. Μπῆκε λοιπὸν στὸν ἱερὸ ναὸ τοῦ Θεοῦ, ὄχι μὲ τὴ μεσιτεία τῶν Λευϊτῶν ἤτοι τῶν ἱερέων, καὶ ἤθελε νὰ προσφέρει τὶς θυσίες στὸν Θεό.

---

70. Πρβλ. Ζαχ. 14. 6.

τὸ τὸ θεῖον ἀναπηδήσας θυσιαστήριον, θυμιᾶν ἐζήτει παρὰ τὸ εἰωθὸς καὶ τὸν νόμον. Καὶ ἠλέγχετο μὲν παρὰ τῆς ἱερατευούσης φυλῆς ὡς ἀνόσια δρῶν καὶ παραλύειν ἐπιχειρῶν τὸν νόμον, ἐπειδὴ δὲ τοῖς τῆς βασιλείας αὐχήμασιν ἐντρυφῶν προσνενέμηκεν ἑαυτῷ καὶ τὸ ἱεράσθαι πρέπειν, καὶ παρ' οὐδὲν ποιούμενος τὰς τῶν ἱερέων συμβουλάς, ἠλέγχετο παραχρῆμα παρὰ Θεοῦ. Λελέπρωται γάρ, αὐτοῖς μετώποις ἐπηνθηκότος τοῦ πάθους.

Οἶμαι δὲ δεῖν πρὸς ἀκριβῆ τῶν εἰρημένων εἴδησιν καὶ αὐτὰ τὰ θεῖα παραθέσθαι λόγια τὰ ἐπ' αὐτῷ γεγραμμένα. Ἔχει δὲ οὕτως· «Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ Ἱεροβοὰμ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμασίου βασιλέως Ἰούδα. Ἓξ καὶ δέκα ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ πεντήκοντα καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Χαλία ἐξ Ἰερουσαλήμ. Καὶ ἐποίησε τὸ εὐσεβὲς ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάντα ὅσα ἐποίησεν Ἀμασίας ὁ πατὴρ αὐτοῦ Πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζεν καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς. Καὶ ἥψατο Κύριος τοῦ βασιλέως, καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ». Καὶ ταυτὶ μὲν ἐν ταῖς Βασιλείαις. Ἐν δὲ Παραλειπομέναις, ὡς ἔφην· «Καὶ ὡς κατίσχυσε, φησίν, ὑψώθη ἡ καρδία αὐτοῦ καταφθεῖραι. Καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων, καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ Ἀζαρίας ὁ ἱερεύς, καὶ μετ' αὐτοῦ ἱερεῖς τοῦ Κυρίου ὀγδοήκοντα καὶ δύο υἱοὶ δυνατοί· καὶ ἔστησαν ἐπὶ Ὀζίαν τὸν βασιλέα, καὶ εἶπαν αὐτῷ· Οὐ σοί, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ, ἀλλ' ἡμῖν τοῖς ἱερατεύουσι τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις θυμιάσαι. Ἔξελθε ἀπὸ τοῦ ἁγιάσματος,

71. Δ' Βασ. 15, 1-5.

Ἀνεβαίνοντας στὸ ἴδιο τὸ θεῖο θυσιαστήριο ἤθελε νὰ θυμιάζει ἀντίθετα πρὸς τὴ συνήθεια καὶ τὸ νόμο. Καὶ ἡ φυλὴ βέβαια ποὺ ἀσκοῦσε τὰ ἱερατικὰ καθήκοντα τὸν ἔλεγχε ὅτι ἔπραττε ἀσέβειες καὶ ἐπιχειροῦσε νὰ διαλύσει τὸ νόμο, ἐπειδὴ ὅμως, ἀπολαμβάνοντας τὶς τρυφὲς τῆς βασιλείας, ἀπένειμε στὸν ἑαυτό του καὶ τὸ ὅτι ἔπρεπε καὶ νὰ ἱερατεύει καὶ περιφρονοῦσε τὶς ὑποδείξεις τῶν ἱερέων, δέχθηκε ἀμέσως τὸν ἔλεγχο ἐκ μέρους τοῦ Θεοῦ. Ἔπαθε δηλαδὴ λέπρα ἡ ὁποία ἐκδηλώθηκε ἐπάνω στὸ μέτωπό του.

Νομίζω ὅμως ὅτι πρέπει πρὸς ἀκριβῆ γνώση αὐτῶν ποὺ ἔχουν λεχθεῖ νὰ παραθέσω τὰ ἴδια τὰ θεῖα λόγια ποὺ ἔχουν γραφεῖ γι᾽ αὐτό, καὶ τὰ ὁποῖα ἔχουν ὡς ἑξῆς· «Κατὰ τὸ εἰκοστὸ ἕβδομο ἔτος τῆς βασιλείας τοῦ Ἱεροβοάμ, βασιλιᾶ τοῦ Ἰσραήλ, βασίλευσε ὁ Ἀζαρίας, υἱὸς τοῦ Ἀμασία, βασιλιᾶ τοῦ Ἰούδα. Ἦταν δεκαέξι ἐτῶν ὅταν ἀνέβηκε στὸν θρόνο καὶ βασίλευσε στὴν Ἱερουσαλημ πενήντα δύο χρόνια· τὸ ὄνομα τῆς μητέρας του ἦταν Χαλία, καὶ καταγόταν ἀπὸ τὴν Ἱερουσαλήμ· αὐτὸς ἔπραξε τὸ ὀρθὸ μπροστὰ στὰ μάτια τοῦ Θεοῦ σὲ ὅλα, ὅπως ἀκριβῶς καὶ ὁ Ἀμαζίας ὁ πατέρας του. Πλὴν ὅμως ἀπὸ τὴ λατρία τῶν εἰδώλων δὲν τοὺς ἀπομάκρυνε, ἀλλ᾽ ὁ λαὸς συνέχιζε ἀκόμα νὰ προσφέρει θυσία καὶ θυμίαμα στὰ εἴδωλα. Γι᾽ αὐτὸ ὁ Κύριος τιμώρησε τὸν βασιλιὰ καὶ ἔμεινε λεπρὸς μέχρι τὴν ἡμέρα τοῦ θανάτου του»[71]. Καὶ αὐτὰ βέβαια ἔχουν γραφεῖ στὸ βιβλίο τῶν Βασιλειῶν. Στὰ Παραλειπόμενα πάλι, ὅπως εἶπα, λέγει· «Κι ὅταν ἀπέκτησε μεγάλη ἰσχύ, κυριεύθηκε ἡ καρδιά του ἀπὸ ὑπερηφάνεια, μὲ ἀποτέλεσμα νὰ τὸν καταστρέψει. Διέπραξε τότε παράβαση πρὸς τὸν Κύριο τὸν Θεό του καὶ μπῆκε στὸ ναὸ τοῦ Κυρίου γιὰ νὰ προσφέρει θυμίαμα ἐπάνω στὸ θυσιαστήριο τῶν θυμιαμάτων, καὶ πίσω ἀπὸ αὐτὸν μπῆκε ὁ Ἀζαρίας ὁ ἱερέας καὶ μαζί του ὀγδόντα δύο ἱερεῖς τοῦ Κυρίου μὲ μεγάλη δύναμη. Στάθηκαν ἀπέναντι στὸν Ὀζία τὸν βασιλιὰ καὶ τοῦ εἶπαν· Δὲν ἔχεις τὸ δικαίωμα, Ὀζία, νὰ προσφέρεις ἐσὺ θυμίαμα στὸν Κύριο, ἀλλ᾽ αὐτὸ τὸ δικαίωμα τὸ ἔχομε ἐμεῖς οἱ ἱερεῖς, οἱ ἀπόγονοι τοῦ Ἀαρὼν ποὺ ἔχομε ἁγιασθεῖ. Ἔβγα ἀπὸ τὸ ἱερό, γιατὶ ἀπομακρύνθηκες ἀπὸ τὸν Θεό, κι αὐτὸ

ὅτι ἀπέστης ἀπὸ Κυρίου, καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου Θεοῦ. Καὶ ἐθυμώθη Ὀζίας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιάσαι ἐν τῷ ναῷ, ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς, καὶ ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ, ἐναντίον τῶν ἱερέων ἐν τῷ οἴκῳ Κυρίου, ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. Καὶ ἐπέστρεψεν ἐπ' αὐτὸν ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς ἐν τῷ μετώπῳ. Καὶ κατέσπευσαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν Κύριος».

Ἐπειδὴ δὲ τοῦ διὰ Μωσέως προστάττοντος νόμου χρῆναι δὴ πάντως ἐκπέμπεσθαι τῆς παρεμβολῆς ὡς ἀκάθαρτον τὸν λεπρόν, καταμιαίνοντος δὲ καὶ κοινὸν ἀποφαίνοντος τῆς ἀκαθαρσίας τοῦ λεπροῦ τὸν συνόντα αὐτῷ, κατῴκηκεν ἐν τοῖς Ἱεροσολύμοις Ὀζίας, μονονουχὶ σύμπασαν διὰ τούτου μιαίνων τὴν Ἱερουσαλήμ. Σεσίγηκεν ὁ Δεσπότης οὐκ ἀτιμάζων προφήτας ἁγίους, ἀναξίους δὲ μᾶλλον ἀποφαίνων τῆς παρ' αὐτοῦ νουθεσίας τοὺς ἀκαθάρτους συνοικοῦντας παρά γε τὸ τῷ νομοθέτῃ δοκοῦν. Οὕτω γάρ πού φησι καὶ πρὸς τὸν μακάριον Ἰεζεχιήλ· «Καὶ τὴν γλῶσσάν σου συνδήσω καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα εὐθύνοντα, ὅτι οἶκος παραπικραίνων ἐστίν». Ἀποσεσίγηκε τοίνυν, καίτοι δεικνύων τὴν ἀγανάκτησιν. Σέσεισται γὰρ τὰ Ἱεροσόλυμα καὶ κατεδονήθη πᾶσα τῶν Ἰουδαίων χώρα. Εἰσόμεθα δὲ καὶ τοῦτο δι' ὧν ἐγεγράφει ὁ προφήτης Ἀμώς· ἔχει γὰρ οὕτως· «Λόγοι Ἀμὼς οἳ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐν Θεκουέ, οὓς ἴδεν ὑπὲρ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωᾶς βασιλέως Ἰσραὴλ πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ». Ἐπειδὴ δὲ τετελεύτηκεν Ὀζίας συγκατέληξεν αὐτῷ τῆς σιωπῆς ὁ καιρός. Καὶ πάλιν ἐδίδου τὰς θεοπτίας

---

72. Β' Παραλ. 26, 16-20.
73. Ἰεζ. 3, 26.

δὲν εἶναι κάτι ποὺ νὰ μπορεῖ νὰ σοῦ προσφέρει δόξα ἐκ μέρους τοῦ Κυρίου τοῦ Θεοῦ. Θύμωσε τότε ὁ Ὀζίας ἐνῶ ἀκόμα κρατοῦσε στὸ χέρι τὸ θυμιατήρι γιὰ νὰ θυμιάσει στὸ ναό, καὶ τὴ στιγμὴ ποὺ ὀργίσθηκε ἐναντίον τῶν ἱερέων ἐκδηλώθηκε τὸ ἐξάνθημα τῆς λέπρας στὸ μέτωπό του, μπροστὰ στὰ μάτια τῶν ἱερέων καὶ μέσα στὸν ναὸ τοῦ Κυρίου, πάνω ἀπὸ τὸ θυσιαστήριο τῶν θυμιαμάτων. Στράφηκε τότε πρὸς αὐτὸν ὁ ἱερέας ὁ πρῶτος καὶ οἱ ἱερεῖς καὶ νά, εἶδαν τὴ λέπρα στὸ πρόσωπό του. Τὸν ἀπομάκρυναν γρήγορα ἀπὸ ἔκεῖ, καθόσον καὶ ὁ ἴδιος βιάσθηκε νὰ βγεῖ, γιατὶ τὸν τιμώρησε ὁ Κύριος»[72].

Ἐπειδὴ ὅμως ὁ Μωσαϊκὸς νόμος προστάζει ὅτι πρέπει ὁπωσδήποτε νὰ ἐκδιώκεται ἀπὸ τὸ στρατόπεδο ὁ λεπρὸς ὡς ἀκάθαρτος, γιατὶ καταμολύνει καὶ καθιστᾶ κοινωνὸ τῆς ἀκαθαρσίας τοῦ λεπροῦ αὐτὸν ποὺ συναστρέφεται, ἐγκαταστάθηκε ὁ Ὀζίας στὰ Ἱεροσόλυμα καὶ κατὰ κάποιο τρόπο μόλυνε μὲ τὴ νόσο του ὅλη τὴν Ἱερουσαλήμ. Σιώπησε ὁ Δεσπότης ὄχι ἀτιμάζοντας τοὺς ἁγίους προφῆτες, ἀλλὰ μᾶλλον δείχνοντας ἀνάξιους τῶν νουθεσιῶν του ἐκείνους ποὺ συνοικοῦν μὲ ἀκάθαρτους παρὰ τὸ θέλημα τοῦ νομοθέτη. Γιατὶ αὐτό κάπου λέγει καὶ στὸν μακάριο Ἰεζεκιήλ· «Καὶ τὴ γλώσσα σου θὰ δέσω καὶ θὰ γίνεις κουφός, καὶ δὲν θὰ εἶσαι γι᾽ αὐτοὺς ἐσὺ ἐκεῖνος ποὺ θὰ τοὺς καθοδηγεῖς, ἐπειδὴ εἶναι λαὸς ποὺ μοῦ προκαλεῖ ὀργή»[73]. Σιώπησε λοιπόν, μολονότι ἔδειξε τὴν ἀγανάκτησή του. Γιατὶ σείσθηκαν τὰ Ἱεροσόλυμα καὶ συγκλονίσθηκε ὅλη ἡ χώρα τῶν Ἰουδαίων. Θὰ τὸ μάθομε καὶ αὐτὸ ἀπὸ ὅσα γράφει ὁ προφήτης Ἀμὼς, ποὺ ἔχουσ ὡς ἑξῆς· «Λόγοι ποὺ λέχθηκαν στὴν Ἀκκαρεὶμ ἀπὸ τὸν Ἀμώς, ποὺ καταγόταν ἀπὸ τὴ Θεκουέ, ἀναφερόμενοι σὲ ἀποκαλύψεις ποὺ εἶδε σὲ ὅραμα γιὰ τὴν Ἱερουσαλὴμ στὶς ἡμέρες τοῦ Ὀζία, βασιλιᾶ τοῦ Ἰούδα καὶ στὶς ἡμέρες τοῦ Ἱεροβοὰμ, υἱοῦ τοῦ Ἰωᾶς, βασιλιᾶ τοῦ Ἰσραήλ, δύο χρόνια πρὶν ἀπὸ τὸν σεισμό»[74]. Ὅταν δηλαδὴ πέθανε ὁ Ὀζίας τέλειωσε μαζί του καὶ ὁ καιρὸς τῆς σιωπῆς του, καὶ

74. Ἀμὼς 1, 1.

τοῖς ἁγίοις προφήταις ὁ τῶν ὅλων Θεός. Ταύτῃ τοί φησιν ὁ προφήτης Ἡσαΐας· «Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, ἴδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Ὅτι μὲν οὖν τὸν Υἱὸν ὁ προφήτης τεθέαται ἐν τῇ δόξῃ τοῦ Θεοῦ καὶ Πατρός, οὐκ ἂν ἐνδοιάσειέ τις, Ἰωάννου γράφοντος ἐναργῶς περὶ αὐτοῦ· «Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε ἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ».

Ἄθρει δέ μοι τῆς θεοπρεποῦς ὑπεροχῆς τὸ ἀξίωμα καὶ τὸ κατὰ πάσης κτίσεως κράτος. Ὁ μὲν γάρ ἐστιν ἐφ' ὑψηλοῦ τε καὶ ἐπηρμένου θρόνου τοῖς τῆς βασιλείας ἐκπρεπεστάτοις αὐχήμασιν εὖ μάλα κατεστεμμένος, αἱ δὲ ἀνωτάτω δυνάμεις, μεθ' ἃς οὐδὲν ἐπέκεινα τῶν γενητῶν εἶναι λέγεται, κύκλῳ περιιστᾶσι τάξιν ἔχουσαι τὴν οἰκετικὴν καὶ ταῖς εὐφημίαις καταγεραίρουσαι. Πλήρη τε εἶναί φησι τὴν γῆν ἅπασαν τῆς δόξης αὐτοῦ. Χρῆναι δὲ ὑπολαμβάνω μὴ ἐν τοπικοῖς ὑψώμασι τὸν θεῖον οἴεσθαι τεθεῖσθαι θρόνον. Εὔηθες γὰρ καὶ ἀσύνετον νομισθῇ τὸ χρῆμά ἐστιν. Ὑψοῦ δὲ ὁ θεῖος τέθειται θρόνος, καθὸ καὶ νοεῖται πάσης ἐπέκεινα φύσεως νοητῆς τῆς τοῦ Θεοῦ βασιλείας ἡ δόξα. Ἡ δὲ κάθισις ἡ ἐπ' αὐτοῦ τὴν οἱονεί βεβαιότητά τε καὶ ἐν ταυτότητι τῶν ἀγαθῶν ἵδρυσίν τε καὶ διαμονὴν ἔοικεν ὑποδηλοῦν. Ψάλλει γὰρ οὕτω καὶ ὁ θεσπέσιος Δαβίδ· «Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ». Καὶ μὴν καὶ ὁ προφήτης Ἱερεμίας πρὸς αὐτόν πού φησιν· «Ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα». Ἀεί γὰρ καὶ ἐν παντὶ χρόνῳ φθαρτή τέ ἐστιν ἡ πεποιημένη φύσις, καὶ τῶν γενητῶν ἐν τούτοις τὸ μέτρον· κάθηται δέ, ὡς ἔφην, ἡ πάντων τεχνῖτις καὶ δημιουργὸς σοφία, τοῦτ' ἔστιν ἀκλόνητον ἔχει τὴν ἐν ταυτότητι διαμονήν. Πλήρη δὲ εἶναί φησι τὸν οἶκον τῆς δόξης αὐτοῦ. Οὔπω γὰρ δεδυσσεβηκότος τοῦ

75. Ἰω. 12, 41. 76. Ψαλμ. 46, 9.

ἔδινε πάλι τὰ θεῖα ὁράματα στοὺς ἁγίους προφῆτες ὁ Θεὸς τῶν ὅλων. Γι' αὐτὸ λέγει ὁ προφήτης Ἡσαΐας· «Κατὰ τὸν χρόνο ποὺ πέθανε ὁ βασιλιὰς Ὀζίας, συνέβη νὰ δεῖ τὸν Κύριο τῶν δυνάμεων νὰ κάθεται σὲ θρόνο ὑψηλὸ καὶ μετέωρο». Ὅτι βέβαια ὁ προφήτης εἶδε τὸν Υἱὸ μέσα στὴ δόξα τοῦ Θεοῦ καὶ Πατέρα, δὲν θὰ μποροῦσε νὰ ἀμφιβάλει κανείς, τὴ στιγμὴ ποὺ ὁ Ἰωάννης γράφει καθαρὰ γι' αὐτόν· «Αὐτὰ εἶπε ὁ Ἡσαΐας, ὅταν εἶδε τὴ δόξα αὐτοῦ καὶ μίλησε γι' αὐτόν»[75].

Πρόσεχε ὅμως, σὲ παρακαλῶ, τὸ ἀξίωμα τῆς θεοπρεποῦς ὑπεροχῆς καὶ τὴ δύναμή του ἔναντι ὁλόκληρης τῆς κτίσεως. Ἐκεῖνος βέβαια βρίσκεται πάνω σὲ ὑψηλὸ καὶ μετέωρο θρόνο στεφανωμένος κατὰ τὸν πλέον πρέποντα τρόπο μὲ τὶς ὁλόλαμπρες τιμὲς τῆς βασιλείας, ἐνῶ οἱ ἀνώτατες δυνάμεις, πέρα ἀπὸ τὶς ὁποῖες λέγεται ὅτι δὲν ὑπάρχει κανένα γεννητό, στέκονται γύρω του κυκλικὰ σὲ σχῆμα οἰκέτη τιμώντας τον μὲ τὶς δοξολογίες τους. Ὅλη ἡ γῆ, λέγει, εἶναι γεμάτη ἀπὸ τὴ δόξα του. Θεωρῶ ὅτι δὲν πρέπει νὰ νομίζομε ὅτι ὁ θεῖος θρόνος ἔχει τοποθετηθεῖ σὲ τοπικὰ ὑψώματα. Γιατὶ τὸ πρᾶγμα εἶναι ἠλιθιότητα καὶ ὑπερβολικὴ ἀνοησία. Ὁ θεῖος θρόνος ἔχει τοποθετηθεῖ ψηλά, ἐπειδὴ νοεῖται πέρα ἀπὸ κάθε νοητὴ φύση ἡ δόξα τῆς βασιλείας τοῦ Θεοῦ. Τὸ ὅτι κάθεται πάνω σ' αὐτὸν φαίνεται νὰ ὑποδηλώνει τὴ βεβαιότητα κατὰ κάποιο τρόπο καὶ τὴν ἑδραίωση στὴν ταυτότητα καὶ παραμονή του στὰ ἀγαθά. Γιατὶ ἔτσι ψάλλει καὶ ὁ θεσπέσιος Δαβίδ· «Ὁ Θεὸς κάθεται πάνω στὸν ἅγιο θρόνο του»[76]. Ἀλλὰ καὶ ὁ προφήτης Ἱερεμίας λέγει κάπου πρὸς αὐτόν· «Ἐσὺ κάθεσαι αἰώνια, ἐνῶ ἐμεῖς ἀφανιζόμαστε αἰώνια»[77]. Γιατὶ πάντοτε καὶ σὲ κάθε χρονικὴ στιγμὴ εἶναι φθαρτὴ ἡ δημιουργημένη φύση κι αὐτὸ εἶναι τὸ μέτρο τῶν δημιουργημάτων. Κάθεται, ὅπως εἶπα, ἡ σοφία ποὺ τεχνούργησε καὶ δημιούργησε τὰ πάντα, δηλαδὴ ἔχει ἀκλόνητη τὴν διαμονὴ ὡς πρὸς τὴν ταυτότητα. Ἐπίσης λέγει ὅτι εἶναι γεμᾶτος ὁ οἶκος ἀπὸ τὴ δόξα του. Ὅταν δὲν εἶχε ἀκόμα

77. Βαρούχ 3, 3.

Ἰσραὴλ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, ἐπλήρου τὸν οἶκον τὸν ἐν τοῖς Ἱεροσολύμοις ἡ τοῦ Θεοῦ δόξα, ἐπειδὴ δὲ ἠρνήσαντο τὴν βασιλείαν αὐτοῦ, καὶ πεπτώκασιν εἰς ἀνοσιότητα τρόπων, οὗ ἕνεκεν τὴν φωνὴν ἤκουσαν λέγοντος· «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν». Ἑκάστῳ δὲ τῶν Σεραφεὶμ ἐξ ἐμπεφυκέναι φησὶ τὰς πτέρυγας, ὡς ταῖς μὲν δυσὶ κατακαλύπτειν τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας, πέτασθαι δὲ ταῖς λοιπαῖς. Διερμηνεύεται δὲ Σεραφείμ, ἐμπρησταί, ἤτοι θερμαίνοντες. Ψυχρὸν γὰρ οὐδὲν παρά γε ταῖς ἄνω δυνάμεσιν, αἵπερ ἂν εἶεν μάλιστα καὶ ἐγγὺς Θεοῦ.

Ταύτῃ τοι καὶ ἡμεῖς αὐτοὶ κολλώμενοι διὰ πίστεως καὶ πολιτείας τῆς ἀγαθῆς καὶ ἐννομωτάτης ζέοντες ἀποτελούμεθα τῷ πνεύματι καὶ θερμοὶ τὴν ἀγάπην τὴν εἰς Θεόν. Σύμβολον δὲ τὸ ταῖς πτέρυξι κατακαλύπτειν τὰ Σεραφεὶμ τό τε πρόσωπον καὶ τοὺς πόδας, πέτασθαι δὲ ταῖς δυσίν, τοῦ μὴ δύνασθαί τινας ἢ ἀρχὴν ἢ τέλος ὁρᾶν ἐννοιῶν ἢ λόγων τῶν περὶ Θεοῦ. Σημαίνει μὲν γὰρ τὴν ἀρχὴν ἡ κεφαλὴ καὶ τὸ πρόσωπον, τὸ δέ γε τέλος οἱ πόδες. Ἄναρχον γὰρ τὸ Θεῖον καὶ τελευτᾶν οὐκ εἰδός. Προσβάλλομεν δὲ τοῖς διὰ μέσου μόλις τοῖς κατά γε τοὺς χρόνους φημί, καθ' οὓς τὰ οὐκ ὄντα ποτὲ παρήχθη πρὸς ὕπαρξιν. Πέτονταί γε μὴν ὡς οὐδὲν ἔχοντες τὸ κατερριμμένον, ὑψοῦ δὲ μᾶλλον ἀεὶ τὸ φρόνημα πρὸς Θεόν. Οὐ γάρ τοι καθ' ἡμᾶς φρονοῦσι τὰ κάτω, ἀλλ' ἐν ἀπορρήτοις τισὶν ὑψώμασιν ἐννοιῶν αἱ ἀνωτάτω δυνάμεις τὸν οἰκεῖον ἔχουσι νοῦν. Εὔφημον δὲ καὶ τὸ στόμα αὐταῖς. Δοξολογοῦσι γὰρ καὶ τοῦτο ἐξ ἀμοιβῆς, οὐ διά γε τὸ κάμνειν, καθάπερ ἐγῷμαι, παραχωροῦσι δὲ μᾶλλον τὰς τιμὰς ἀλλήλως καὶ ἀντιδωρούμεναι τὰς δοξολογίας. Πάντα γὰρ ἐν κόσμῳ τὰ ἄνω.

Τρὶς δὲ τό, «Ἅγιος» λέγουσαι, κατακλείουσι τὴν δοξολογίαν εἰς τό, «Κύριος Σαβαώθ», ἐν μιᾷ θεότητος φύσει τὴν

---

78. Ματθ. 23, 38.

ἐκδηλώσει τὴν ἀσέβειά του ὁ Ἰσραὴλ πρὸς τὸν Κύριό μας Ἰησοῦ Χριστὸ ἡ δόξα τοῦ Θεοῦ γέμιζε τὸν οἶκο του στὰ Ἱεροσόλυμα, ὅταν ὅμως ἀρνήθηκαν τὴ βασιλεία του, γι᾽ αὐτὸ κι ἔπεσαν σὲ ἀσεβῆ συμπεριφορά, ἄκουσαν ἐξαιτίας αὐτοῦ τὴ φωνή του νὰ λέγει· «Νά, ὁ οἶκος σας θὰ μείνει ἔρημος»[78]. Σὲ κάθε Σεραφεὶμ λέγει ὅτι ἦταν φυτρωμένα ἕξι φτερά, ἀπὸ τὰ ὁποῖα μὲ τὰ δύο κάλυπταν τὸ πρόσωπο, μὲ τὰ ἄλλα δύο τὰ πόδια, καὶ μὲ τὰ ὑπόλοιπα πετοῦσαν. Ἡ λέξη Σεραφεὶμ ἑρμηνευόμενη σημαίνει «ἐμπρηστές», ἤτοι αὐτὰ ποὺ θερμαίνοουν. Γιατὶ δὲν ὑπάρχει κανένα ψυχρὸ στὶς ἄνω δυνάμεις, οἱ ὁποῖες εἶναι μάλιστα καὶ κοντὰ στὸν Θεό.

Ἔτσι κι ἐμεῖς, ἑνωμένοι μαζί του μὲ πίστη καὶ πολιτεία ἀγαθὴ καὶ ἀπόλυτα σύμφωνη μὲ τὸ νόμο, γινόμαστε ζέοντες ὡς πρὸς τὸ πνεῦμα καὶ θερμοὶ ὡς πρὸς τὴ ἀγάπη τοῦ Θεοῦ. Τὸ ὅτι τὰ Σεραφεὶμ καλύπτουν μὲ τὰ φτερὰ τὸ πρόσωπο καὶ τὰ πόδια καὶ μὲ τὰ δύο πετοῦν, εἶναι σύμβολο τοῦ ὅτι κάποιοι δὲν μποροῦν νὰ κατανοήσουν τὴν ἀρχὴ ἢ τὸ τέλος τῶν ἐννοιῶν ἢ τῶν λόγων σχετικὰ μὲ τὸν Θεό. Γιατὶ ἡ κεφαλὴ καὶ τὸ πρόσωπο σημαίνουν τὴν ἀρχή, ἐνῶ τὰ πόδια τὸ τέλος. Καθόσον τὸ Θεῖο εἶναι χωρὶς ἀρχὴ καὶ δὲν γνωρίζει τέλος. Ἐμεῖς ὅμως ἰσχυριζόμαστε ὅτι μὲ τὰ ἐνδιάμεσα φτερὰ προσεγγίζομε μόλις τοὺς χρόνους κατὰ τοὺς ὁποίους αὐτὰ ποὺ δὲν ὑπῆρχαν ἦρθαν στὴν ὕπαρξη. Γιατὶ πετοῦν σὰ νὰ μὴν ἔχουν τίποτα τὸ χαμηλό, ἀλλὰ τὸ φρόνημά τους ὑψώνεται πάντοτε πρὸς τὸν Θεό. Γιατὶ δὲν φρονοῦν ὅπως ἐμεῖς τὰ κάτω, ἀλλὰ οἱ ἀνώτατες δυνάμεις ἔχουν στραμμένο τὸ νοῦ τους σὲ κάποιες ἀπόρρητες πολὺ ὑψηλὲς ἔννοιες. Ἀλλὰ καὶ τὸ στόμα τους εἶναι γεμᾶτο ἀπὸ εὔφημους λόγους· γιατὶ δοξολογοῦν τὸν Θεό, καὶ αὐτὸ τὸ κάνουν κατ᾽ ἐναλλαγή· ὄχι βέβαια ἐπειδὴ κουράζονται, ὅπως τουλάχιστον ἐγὼ νομίζω, ἀλλὰ μᾶλλον παραχωροῦν τὶς τιμές ἀναμεταξύ τους καὶ ἀντιδωρίζοντας τὶς δοξολογίες. Γιατὶ ὅλα τὰ οὐράνια γίνονται μὲ κοσμιότητα.

Λέγοντας τρεῖς φορὲς τό, «Ἅγιος», τελειώνουν τὴ δοξολογία στό, «Κύριος Σαβαώθ», ὁρίζοντας τὴν ἁγία Τριάδα σὲ μία φύση

ἁγίαν τιθέντες Τριάδα. Ὑφεστάναι μὲν γὰρ ὁμολογουμένως φαμὲν τὸν Πατέρα· οὕτω δὲ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ λόγος οὐδεὶς διατέμνει πρὸς ἑτερότητα φυσικὴν τῶν ὠνομασμένων ἕκαστον, ἀλλ' ἐν ὑποστάσεσι τρισὶ νοεῖται μία θεότης. Καὶ δι' αὐτῶν ἡμῖν τοῦτο μεμαρτύρηται τῶν ἁγίων Σεραφείμ, οἳ καὶ πλήρη πᾶσαν τὴν γῆν εἶναι λέγουσι τῆς δόξης αὐτοῦ, προαναφωνοῦντες τὰ ἐσόμενα, καὶ τῆς διὰ Χριστοῦ γεγενημένης οἰκονομίας προαναγγέλλοντες τὸ μυστήριον. Πρὶν μὲν γὰρ σάρκα γενέσθαι τὸν Λόγον, κατεκράτει τῆς ὑπ' οὐρανὸν ὁ δαίμων ὁ ἁλιτήριος, ὁ δράκων, ὁ ἀποστάτης, προσεκυνήθη δὲ καὶ ἡ κτίσις παρὰ τὸν κτίσαντα καὶ Ποιητήν, ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, πεπλήρωται τῆς δόξης αὐτοῦ πᾶσα γῆ. Κάμψει γὰρ αὐτῷ πᾶν γόνυ, καὶ πᾶσα φυλὴ καὶ γλῶσσαι ἐξομολογήσονται καὶ αὐτῷ δουλεύσουσι, κατὰ τὸ γεγραμμένον. Προανακεκράγει δὲ καὶ τοῦτο ὁ μακάριος Δαβὶδ ἐν πνεύματι· ἔφη γάρ· «Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε». Τοῦτό τοι τετέλεσται κεκλημένης τῆς ἐξ ἐθνῶν πληθύος, καὶ προσκυνούντων ἁπάντων τῷ δι' ἡμᾶς καθ' ἡμᾶς γενομένῳ, μεμενηκότι δὲ δι' ἑαυτὸν ὑπὲρ πάντα.

Στίχ. 4. «Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ».

Τεθέαται μὲν γὰρ ὁ προφήτης τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, περιεστηκότων ἐν κύκλῳ τῶν ἁγίων Σεραφεὶμ καὶ ἀκαταλήκτοις δοξολογίαις εὐφημούντων αὐτόν. Διεβεβαιοῦτο δέ, ὅτι πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Νῦν δὲ ἐπῆρθαί φησι τὸ ὑπέρθυρον, ἐμπεπλῆσθαι δὲ καὶ τὸν οἶκον καπνοῦ καὶ ἀπό γε τῆς φωνῆς ἧς ἐκέκραγον τὰ ἅγια Σεραφείμ. Ἆρ' οὖν ἐροῦμεν τὴν φωνὴν αἰτίαν γενέσθαι τῶν συμβεβηκότων τῷ οἴκῳ; Καίτοι πῶς οὐ σφόδρα ἐστὶν ἀκαλλὲς τὸ φρονεῖν ἑλέσθαι

θεότητας. Γιατὶ δεχόμαστε κατὰ κοινὴ ὁμολογία ὅτι ὁ Πατέρας ἔχει δική του ὕπαρξη, τὸ ἴδιο βέβαια καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα, καὶ κανένας λόγος δὲν διαιρεῖ σὲ φυσικὴ ἑτερότητα τὸ καθένα ἀπὸ αὐτὰ ποὺ ὀνομάσαμε, ἀλλὰ μὲ τὶς τρεῖς ὑποστάσεις νοεῖται μία θεότητα. Καὶ αὐτὸ ἔχει βεβαιωθεῖ σ' ἐμᾶς ἀπὸ τὰ ἴδια τὰ ἅγια Σεραφείμ, ποὺ λένε ὅτι ὅλη ἡ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα του, προαναγγέλλοντας αὐτὰ ποὺ θὰ συνέβαιναν καὶ προμηνύοντας τὸ μυστήριο τῆς οἰκονομίας ποὺ ἔγινε στὸ πρόσωπο τοῦ Χριστοῦ. Προτοῦ δηλαδὴ γίνει ὁ Λόγος σάρκα κυριαρχοῦσε στὴν οἰκουμένη ὁ πανοῦργος δαίμονας, ὁ δράκος, ὁ ἀποστάτης, καὶ προσκυνήθηκε καὶ ἡ κτίση παρὰ ὁ Κτίστης καὶ Ποιητής, ὅταν ὅμως ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ ἔγινε ἄνθρωπος γέμισε ἀπὸ τὴ δόξα του ὅλη ἡ γῆ. Γιατὶ σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Θὰ λυγίσει μπροστὰ του πρὸς προσκύνηση κάθε γόνατο καὶ κάθε φυλὴ καὶ γλώσσα θὰ τὸν δοξολογήσει καὶ θὰ τὸν ὑπηρετήσει»[79]. Γιατὶ τὸ προανήγγειλε καὶ αὐτὸ ὁ μακάριος Δαβὶδ ἐμπνευσμένος ἀπὸ τὸ Πνεῦμα. Γιατὶ εἶπε· «Ὅλα τὰ ἔθνη ὅσα ἔκανες θὰ ρθοῦν καὶ θὰ σὲ προσκυνήσουν, Κύριε»[80]. Αὐτὸ βέβαια ἔχει γίνει μετὰ τὴν πρόσκληση τοῦ πλήθους τῶν ἐθνῶν καὶ ὅλοι προσκυνοῦν αὐτὸν ποὺ γιὰ χάρη μας ἔγινε σὰν κι ἐμᾶς, ἐνῶ ὡς πρὸς τὸν ἑαυτό του ἔχει μείνει πάνω ἀπὸ ὅλα.

Στίχ. 4. «Καὶ σηκώθηκε τὸ ὑπέρθυρο ἀπὸ τὴ φωνὴ ἐκείνων ποὺ ἔκραζαν καὶ ὁ οἶκος γέμισε ἀπὸ καπνό».

Εἶδε βέβαια ὁ προφήτης τὸν Κύριο τῶν δυνάμεων καθισμένο πάνω σὲ θρόνο ὑψηλὸ καὶ μετέωρο καὶ ὁλόγυρά του στέκονταν τὰ ἅγια Σεραφεὶμ ποὺ τὸν ἐξυμνοῦσαν μὲ ἀδιάκοπες δοξολογίες, καὶ διαβεβαιωνόταν ὅτι ὁ οἶκος ἦταν γεμᾶτος ἀπὸ τὴ δόξα του. Τώρα ὅμως, λέγει, σηκώθηκε τὸ ὑπέρθυρο καὶ ὁ οἶκος γέμισε ἀπὸ καπνὸ καὶ ἀπὸ τὴ φωνὴ ποὺ ἔβγαζαν κραυγάζοντας τὰ Σεραφείμ. Ἄραγε θὰ ποῦμε ὅτι ἡ φωνὴ ἔγινε αἰτία ὅσων συνέβησαν στὸν οἶκο; Καὶ πῶς δὲν εἶναι τελείως ἀπρέπεια τὸ νὰ θελήσομε νὰ

79. Ἡσ. 45, 23.

80. Ψαλμ. 85, 9.

ταυτί; Τίνα δὴ οὖν τρόπον ταῖς τῶν προκειμένων προσβαλοῦμεν ἐννοίαις; Ἄριστά τε καὶ σοφῶς. Πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνανθρωπήσεως καὶ ἐπιδημίας, ἔτι τὴν ἐν νόμῳ πολιτείαν ἀκωλύτως τε καὶ ἀνεπιπλήκτως διέποντος τοῦ Ἰσραήλ, πλήρης ἦν ὁ διαβόητος ἐκεῖνος νεὼς ἐν τοῖς Ἱεροσολύμοις ὃν Σολομὼν ἀνεδείματο τῆς δόξης τοῦ Θεοῦ. Ἐπετέλουν γὰρ ἐν αὐτῷ τὰς κατὰ νόμον θυσίας. Ἐπειδὴ δὲ τὸν ἐξ οὐρανοῦ ἀφιγμένον ἐν ἀνθρωπείᾳ μορφῇ καὶ διὰ νόμου καὶ προφητῶν κεκηρυγμένον οὐ προσήκαντο, μᾶλλον δὲ καὶ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγκατέλιπε τὸν οἶκον αὐτοῦ, ἀφῆκε τὴν κληρονομίαν αὐτοῦ. Ἀπονένευκε γὰρ εἰς τὰ ἔθνη καὶ πεπλήρωται μὲν πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Παραδέδοται δὲ τῶν Ἰουδαίων ἡ χώρα πρὸς ἐρήμωσιν, ἐμπέπρησται δὲ καὶ αὐτὸς ὁ νεώς. Ὅτε τοίνυν κατά γε τὴν προφητείαν, ἤγουν προαγόρευσιν, ἤτοι φωνὴν τῶν ἁγίων Σεραφεὶμ ἐπλήσθη πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, τότε ἐπήρθη τὸ ὑπέρθυρον τοῦ ναοῦ, καὶ ἐνεπλήσθη καπνοῦ.

Οὐκοῦν τό, «ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον», χρόνου μᾶλλόν ἐστι σημαντικόν, οὐχὶ δὴ πάντως τῆς δοξολογίας ἔργον καὶ ἀποτέλεσμα. Σημαίνει δέ, οἶμαι, τό, «Ἐπήρθη τὸ ὑπέρθυρον», τὸ καταλελεῖφθαι τὸν ναόν. Ὅτι δὲ καὶ ἐμπέπρησται, τὸ ἐμπεπλῆσθαι λέγειν αὐτὸν καπνοῦ. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τὰ τοιάδε νοεῖν καὶ τὰ κατὰ παντὸς τοῦ τῶν Ἰουδαίων ἔθνους πεπράχθαι λέγειν αὐτὰ νοητῶς, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λογισμοῦ. Ὅτε γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν δόξης ἐπλήσθη πᾶσα ἡ γῆ κεκλημένων διὰ τῆς πίστεως τῶν ἐθνῶν, τότε τῆς Ἰουδαίων διανοίας πᾶσα μὲν ἀσφάλεια λέλυται πνευματική, καπνοῦ δὲ δίκην οἱ τάλανες τὴν ἐκ τῆς ἁμαθίας ἀχλὺν λαβόντες εἰς νοῦν τυφλοί γεγόνασι νοητῶς. Ταύτῃτοι καὶ ὁ Σωτὴρ αὐτοῖς ἐπεφώνει λέγων· «Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτί, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ». Ὅτι δέ ἐστιν

σκεφθοῦμε αὐτά; Μὲ ποιὸν τρόπο λοιπὸν θὰ προσεγγίσομε τὴν ἔννοια αὐτῶν ποὺ ἐξετάζομε; Ἄριστα καὶ μὲ σοφία. Πρὶν δηλαδὴ ἀπὸ τὴν ἐνανθρώπηση καὶ τὸν ἐρχομὸ τοῦ Σωτήρα μας κι ἐνῶ ἀκόμα ὁ Ἰσραηλιτικὸς λαὸς ἀκολουθοῦσε ἀνεμπόδιστα καὶ χωρὶς κατάκριση τὸν τρόπο ζωῆς τὸν ὁρισμένο ἀπὸ τὸ νόμο, ἦταν γεμᾶτος ὁ περίφημος ἐκεῖνος ναὸς τῆς δόξας τοῦ Θεοῦ στὰ Ἱεροσόλυμα ποὺ ἔχτισε ὁ Σολομών. Γιατὶ τελοῦσαν σ' αὐτὸν τὶς ὁρισμένες ἀπὸ τὸν νόμο θυσίες. Ἐπειδὴ ὅμως δὲν δέχθηκαν ἐκεῖνον ποὺ ἦρθε ἀπὸ τὸν οὐρανὸ μὲ ἀνθρώπινη μορφὴ καὶ εἶχε κηρυχθεῖ ἀπὸ τὸν νόμο καὶ τοὺς προφῆες, ἀλλὰ μᾶλλον καὶ σκότωσαν τὸν ἀρχηγὸ τῆς ζωῆς, ἐγκατέλειψε τὸν ναό του, ἔπαυσε νὰ φροντίζει γιὰ τὴν κληρονομία του. Γιατὶ στράφηκε στὰ ἔθνη καὶ γέμισε ὅλη ἡ γῆ ἀπὸ τὴ δόξα του, ἐνῶ παραδόθηκε ἡ χώρα τῶν Ἰουδαίων στὴν ἐρήμωση καὶ πυρπολήθηκε καὶ ὁ ἴδιος ὁ ναός. Ὅταν λοιπὸν σύμφωνα μὲ τὴν προφητεία ἢ προαγγελία, ἤτοι τὴ φωνὴ τῶν ἁγίων Σεραφείμ, γέμισε ὅλη ἡ γῆ ἀπὸ τὴ δόξα του, τότε σηκώθηκε τὸ ὑπέρθυρο τοῦ ναοῦ καὶ γέμισε ἀπὸ καπνό.

Ἡ φράση λοιπόν, «ἀπὸ τὴ φωνὴ ποὺ ἔβγαζαν κραυγάζοντας», δηλώνει μᾶλλον χρόνο, καὶ δὲν εἶναι ὁπωσδήποτε ἔργο καὶ ἀποτέλεσμα δοξολογίας. Τό, «Σηκώθηκε τὸ ὑπέρθυρο», σημαίνει, κατὰ τὴ γνώμη μου, ὅτι ἐγκαταλείφθηκε ὁ ναός. Ὅτι βέβαια καὶ πυρπολήθηκε τὸ λέγει, λέγοντας ὅτι «γέμισε ἀπὸ καπνό». Ἂν ὅμως κάποιος θέλει νὲ ἐκλάβει αὐτὰ τὰ λόγια καὶ μὲ ἄλλο τρόπο καὶ πεῖ ὅτι νοητὰ αὐτὰ ἔχουν πραχθεῖ γιὰ ὅλο τὸ Ἰουδαϊκὸ ἔθνος, δὲν θὰ κάνει λάθος στὴν ὀρθὴ σκέψη. Ὅταν δηλαδὴ ἡ γῆ ὅλη γέμισε ἀπὸ τὴ δόξα τοῦ Σωτήρα μας ἔπειτα ἀπὸ τὴν πρόσκληση τῶν ἐθνῶν μέσω τῆς πίστεως, τότε διαλύθηκε κάθε πνευματικὴ ἀσφάλεια τῆς Ἰουδαϊκῆς διάνοιας, καὶ ὅμοια μὲ καπνό, ἀφοῦ ἔλαβαν στὸ νοῦ τους οἱ δυστυχεῖς τὸ σκοτάδι ποὺ προέρχεται ἀπὸ τὴν ἀμάθεια, ἔγιναν νοητὰ τυφλοί. Γι' αὐτὸ καὶ ὁ Σωτήρας φώναζε πρὸς αὐτοὺς λέγοντας· «Ὅσον καιρὸ ἔχετε τὸ φῶς, νὰ βαδίζετε μέσα στὸ φῶς, γιὰ νὰ μὴ σᾶς πιάσει τὸ σκοτάδι»[81]. Ὅτι ὅμως ὁ

81. Ἰω. 12, 35.

ἀσφαλὴς καὶ εὐάλωτος τῶν Ἰουδαίων ὁ νοῦς πρὸς πᾶν ὁτιοῦν τῶν παθῶν ἐπικουρίας τῆς ἄνωθεν ἔρημος ὤν, πῶς ἂν ἐνδοιάσειέ τις τῶν εὖ φρονεῖν εἰωθότων;

Στίχ. 5. «Καὶ εἶπα, Ὤ τάλας ἐγώ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς».

Ὁ διὰ τοῦ πανσόφου Μωσέως προστέταχε νόμος, μὴ συναναμίγνυσθαι τοῖς ἁγίοις τὸν βέβηλον, καὶ πολλή τις ἄγαν ἡ ἐπιτήρησις παρὰ τοῖς Ἰουδαίοις ἐν τούτοις. Καὶ γοῦν τοῖς ἁγίοις ἀποστόλοις ἁλιεύουσιν ἔτι προσεφώνει λέγων ὁ Κύριος· «Χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν». Οὗ δὴ γεγονότος, ἰχθύων μὲν πλῆθος συνείληπτο πολύ, τεθαυμακὼς δὲ τοῦ λόγου τὴν δύναμιν ὁ θεσπέσιος Πέτρος, «Προσέπεσε», φησί, «τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε». Ἀλλ' οὐκ ἂν ὁ Πέτρος ἠθέλησεν ἀπελθεῖν ἀπ' αὐτοῦ τὸν Χριστόν. Ἐπειδὴ δὲ ᾔδει τὸν τοῦ νόμου σκοπόν, ὡμολόγει μὲν ὅτι ἁμαρτωλός ἐστιν, ἐδεδίει δὲ τῷ ἁγίῳ συνεῖναι, κατά γε τὸ κρατῆσαν ἀεὶ παρὰ τοῖς Ἰουδαίοις ἔθος. Ἀφιγμένου δέ ποτε τοῦ Χριστοῦ καὶ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, εἶτα τεθεραπευκότος τοὺς ἐν τοῖς μνημείοις δαιμωνῶντας ἀγρίως, τεθαυμάκασι μὲν τὴν θεοσημείαν. Ἔφη δὲ ὁ Ματθαῖος, ὅτι «Πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τοῦ Ἰησοῦ, καὶ ἰδόντες αὐτόν, παρεκάλεσαν μεταβῆναι ἀπὸ τῶν ὁρίων αὐτῶν». Καίτοι πῶς οὐκ ἔδει μᾶλλον μεταποιεῖσθαι τοῦ τεθεραπευκότος καὶ παρακαλεῖν προσμεῖναί τε αὐτοῖς καὶ πολλῶν ἑτέρων θαυμάτων γενέσθαι δημιουργόν; Ἀλλ' ἦν εὐλαβείας ἀπόδειξις κατ' ἐκεῖνο καιροῦ καὶ τιμῆς τοῖς ἁγίοις ὀφειλομένης τρόπος τὸ παραιτεῖσθαί τινας ἐγγίζειν αὐτοῖς. Ματθαίου κεκλημένου καὶ ἀκολουθήσαντος τῷ Χριστῷ, εἶτα κεκληκότος αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ· «Καὶ ἰδού»,

νοῦς τῶν Ἰουδαίων εἶναι ὀλισθηρὸς καὶ εὐάλωτος πρὸς κάθε πάθος ὄντας γυμνὸς ἀπὸ τὴν οὐράνια βοήθεια, πῶς θὰ μποροῦσε ν' ἀμφιβάλει κανεὶς ἀπὸ αὐτοὺς ποὺ συνήθως σκέπτονται ὀρθά;

Στίχ. 5. «Καὶ εἶπα· Δυστυχισμένος ἐγώ, εἶμαι συγκλονισμένος· γιατί, ἐνῶ εἶμαι ἄνθρωπος καὶ ἔχω χείλη ἀκάθαρτα καὶ ζῶ μέσα σὲ λαὸ ποὺ ἔχει ἀκάθαρτα χείλη, ὅμως ἔχω δεῖ τὸν Κύριο τῶν δυνάμεων μὲ τὰ μάτια μου».

Ὁ νόμος ποὺ δόθηκε μέσω τοῦ πάνσοφου Μωυσῆ πρόσταζε νὰ μὴ συναναστρέφεται ὁ βέβηλος μὲ τοὺς ἁγίους καὶ ἡ τήρηση τῆς ἐντολῆς ἀπὸ τοὺς Ἰουδαίους ἦταν πολὺ αὐστηρή. Καὶ πράγματι στοὺς ἁγίους ἀποστόλους ποὺ ἦταν ἀκόμα ἁλιεῖς ὁ Κύριος μιλώντας πρὸς αὐτοὺς τοὺς ἔλεγε· «Ρίξετε τὰ δίχτυα σας γιὰ ψάρεμα»[82]. Ὅταν αὐτὸ ἔγινε καὶ ἔπιασαν πλῆθη ψαριῶν, θαυμάζοντας ὁ θεσπέσιος Πέτρος τὴ δύναμη τοῦ λόγου, «Ἔπεσε», λέγει, «στὰ γόνατα μπροστὰ στὸν Ἰησοῦ καὶ τοῦ εἶπε· Φύγε ἀπὸ ἐδῶ, Κύριε, γιατὶ εἶμαι ἄνθρωπος ἁμαρτωλός»[83]. Δὲν ἤθελε βέβαια ὁ Πέτρος νὰ φύγει ἀπὸ αὐτὸν ὁ Χριστός, ἀλλ' ἐπειδὴ γνώριζε τὸν σκοπὸ τοῦ νόμου, ὁμολογοῦσε ἀπὸ τὴ μιὰ ὅτι ἦταν ἁμαρτωλός, κι ἀπὸ τὴν ἄλλη ἔνοιωθε δέος νὰ εἶναι μαζὶ μὲ τὸν ἅγιο, σύμφωνα μὲ τὴ συνήθεια ποὺ ὑπῆρχε πάντοτε στοὺς Ἰουδαίους. Κι ὅταν ὁ Χριστὸς εἶχε φτάσει κάποτε στὴ χώρα τῶν Γεργεσηνῶν καὶ στὴ συνέχεια θεράπευσε τοὺς ἄγριους δαιμονισμένους στὰ μνήματα, θαύμασαν τὸ θαῦμα καὶ ὁ Ματθαῖος εἶπε· «Ὅλη ἡ πόλη βγῆκε νὰ συναντήσει τὸν Ἰησοῦ, κι ὅταν τὸν εἶδαν, τὸν παρακάλεσαν νὰ φύγει ἀπὸ τὴν περιοχή τους»[84]. Ἂν καὶ βέβαια πῶς δὲν ἔπρεπε ν' ἀλλάξουν γνώμη γιὰ τὸν θεραπευτὴ καὶ νὰ τὸν παρακαλέσουν νὰ μείνει μαζί τους καὶ νὰ γίνει δημιουργὸς καὶ πολλῶν ἄλλων θαυμάτων; Ἀλλ' ἦταν ἀπόδειξη εὐλάβειας τότε καὶ ἐκδήλωση τιμῆς ὀφειλόμενης στοὺς ἁγίους, τὸ νὰ ἀποφεύγουν κάποιοι νὰ τοὺς πλησιάζουν. Κι ὅταν ὁ Ματθαῖος προσκλήθηκε κι ἀκολούθησε τὸν Χριστὸ κι ἔπειτα τὸν κάλεσε στὸ σπίτι του, λέγει· «Καὶ νά,

82. Λουκᾶ 5, 4. 83. Λουκᾶ 5, 8. 84. Ματθ. 8, 34.

σί, «πολλοὶ ἁμαρτωλοὶ καὶ τελῶναι ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;».

Συνῆς οὖν ὅπως ὡς ἠμεληκότα τοῦ νόμου κατηγοροῦντο τὸν Χριστόν, διά τοι τὸ θέλειν συνδιαιτᾶσθαι πονηροῖς. Ἐπαιτιᾶται δέ που καὶ Θεὸς τοὺς τῆς Ἰουδαίων Συναγωγῆς προσεγκεῖσθαι λαχόντας διὰ προφήτου λέγων· «Ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον». Εὐλαβείας οὖν ἄρα τρόπος, ὡς ἔφην, καὶ νομικῶν ἐνταλμάτων παράδοσις τὸ μὴ συνεῖναι θέλειν τοῖς ἁγίοις τοὺς ἐν ὑπολήψει φαυλότητος, καὶ οὐκ ἐλεύθερον ἁμαρτιῶν ἔχοντας τὸ συνειδός. Τοιοῦτόν τι καὶ ὁ μακάριος προφήτης ὁρᾶται παθών, ταὐτητοί φησιν· «Ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι». Καὶ οὐ διὰ τοῦτο τάλας, ὅτι κατανένυκται (πῶς οὐκ εὐηθες τοῦτο οὕτω νοεῖν;), ἀλλ' ὅτι κατανένυκται, φησίν, ὑπὸ τοῦ συνειδότος, δῆλον δὲ ὅτι διὰ τοῦτο ἔφη· «Ὦ τάλας ἐγώ, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα Κύριον Σαβαὼθ ἴδον τοῖς ὀφθαλμοῖς μου». Ἐπειδὴ γὰρ τὰ ἅγια Σεραφεὶμ καθαροῖς καὶ πανάγνοις στόμασιν ἐποιοῦντο τὰς δοξολογίας, δέδιεν αὐτὸς τὸ χρῆμα, θεοδίδακτος ὤν, καὶ οὐκ ἀγνοήσας ὅτι οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, καθά γέγραπται. Ἦν μὲν γὰρ ὁμολογουμένως ἀκάθαρτα χείλη τοῦ Ἰσραήλ· δεδυσφημήκασι γὰρ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Εἰ δὲ δή λέγοι καὶ ὁ προφήτης, ὅτι καὶ αὐτὸς ἔχοι τὰ χείλη τοιαῦτα, καίτοι τῆς τοῦ Ἰσραὴλ δυσσεβείας ἀμοιρήσας παντελῶς, φαμὲν ὅτι μετριάζει μὲν ὡς ἅγιος, εἰκὸς δὲ ὅτι καὶ ὡς ὑπάρχων ἐξ αἵματος Ἰσραήλ, οὐκ ἔξω τίθησι τῆς αἰτίας ἑαυτόν, ἀλλ' ὑποφέρει τῷ κοινῷ τοῦ λαοῦ πλημμελήματι, σῶ-

85. Ματθ. 9, 10-11.
86. Ἰεζ. 22, 26.

πολλοὶ ἁμαρτωλοὶ καὶ τελῶνες ἦρθαν καὶ κάθισαν μαζὶ μὲ τὸν Ἰησοῦ καὶ τοὺς μαθητές του. Ὅταν ὅμως τὸν εἶδαν οἱ Φαρισαῖοι ἔλεγαν στοὺς μαθητές του· Γιατὶ ὁ διδάσκαλός σας τρώγει μαζὶ μὲ τοὺς ἁμαρτωλοὺς καὶ τοὺς τελῶνες;»[85].

Ἀντιλαμβάνεσαι λοιπὸν ὅτι κατηγοροῦσαν τὸν Χριστὸ πὼς ἀδιαφοροῦσε γιὰ τὸ νόμο, ἐπειδὴ ἤθελε νὰ τρώγει μαζὶ μὲ φαύλους. Κατηγορεῖ βέβαια κάπου καὶ ὁ Θεὸς ἐκείνους ποὺ ἔλαχε νὰ εἶναι προϊστάμενοι τῆς Συναγωγῆς τῶν Ἰουδαίων, λέγοντας μέσω προφήτη· «Δὲν ἔκανα διάκριση ἀνάμεσα στὸν ἅγιο καὶ τὸν βέβηλο»[86]. Εἶναι λοιπὸν ἐκδήλωση εὐλάβειας, ὅπως εἶπα, καὶ παράδοση ἐντολῶν τοῦ νόμου τὸ νὰ μὴ θέλουν νὰ εἶναι μαζὶ μὲ τοὺς ἁγίους οἱ θεωρούμενοι φαῦλοι καὶ ποὺ δὲν ἔχουν ἐλεύθερη ἀπὸ ἁμαρτίες τὶς συνειδήσεις τους. Κάτι παρόμοιο φαίνεται ὅτι ἔχει πάθει καὶ ὁ μακάριος προφήτης καὶ γι᾽ αὐτὸ λέγει· «Δυστυχισμένος ἐγώ· εἶμαι συγκλονισμένος». Καὶ δὲν εἶναι δυστυχισμένος γι᾽ αὐτό, ἐπειδὴ ἔχει συγκλονισθεῖ (πῶς δὲν εἶναι ἀνόητο αὐτὸ νὰ τὸ νοοῦμε ἔτσι;), ἀλλ᾽ ἐπειδὴ ἔχει συντριβεῖ, λέγει, ἀπὸ τὴ συνείδησή του, καὶ εἶναι φανερὸ ὅτι γι᾽ αὐτὸ εἶπε· «Δυστυχισμένος ἐγώ, γιατί, ἐνῶ εἶμαι ἄνθρωπος κι ἔχω ἀκάθαρα χείλη καὶ ζῶ ἀνάμεσα σὲ λαὸ ποὺ ἔχει ἀκάθαρτα χείλη, εἶδα τὸν Κύριο τῶν δυνάμεων μὲ τὰ μάτια μου». Ἐπειδὴ δηλαδὴ τὰ ἅγια Σεραφεὶμ μὲ καθαρὰ καὶ πάναγνα στόματα πραγματοποιοῦσαν τὶς δοξολογίες τους, ὁ ἴδιος ἔνοιωθε δέος γι᾽ αὐτὸ τὸ πρᾶγμα, ὄντας διδαγμένος ἀπὸ τὸ Θεό, καὶ δὲν ἀγνοοῦσε «ὅτι δὲν εἶναι ὡραῖος ὁ ὕμνος στὸ στόμα ἁμαρτωλοῦ»[87], ὅπως ἔχει γραφεῖ. Ἦταν βέβαια ὁμολογουμένως ἀκάθαρατα τὰ χείλη τῶν Ἰσραηλιτῶν, γιατὶ εἶχαν ἐκστομίσει ὑβριστικοὺς λόγους ἐναντίον τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἂν ὅμως λέγει καὶ ὁ προφήτης, ὅτι κι αὐτὸς ἔχει παρόμοια ἀκάθαρτα τὰ χείλη του, ἂν καὶ ἦταν ἐντελῶς ἀμέτοχος τῆς δυσσέβειας τῶν Ἰσραηλιτῶν, λέμε ὅτι δείχνει μετριοφροσύνη ὡς ἅγιος, ἀλλ᾽ εὔλογο ἦταν, ἐπειδὴ καταγόταν ἀπὸ τὸ αἷμα τοῦ Ἰσραήλ, δὲν ἐξαιρεῖ τὸν ἑαυτό του ἀπὸ τὴν κατηγορία, ἀλλὰ τὸν κάνει μέτοχο στὸ

87. Σοφ. Σειρ. 15, 9.

ζων διὰ τούτου τοὺς ἡμαρτηκότας, ἤγουν τῆς ἀνθρώπου φύσεως ὁμολογεῖ τὴν νόσον. Ὁποῖόν ἐστι τὸ παρὰ τοῦ μακαρίου Δαβὶδ κατὰ τοῦ παντὸς ἀνθρώπου λεγόμενον· «Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης». Νοσεῖ γὰρ τὸ ψεῦδος ἡ ἀνθρώπου διάνοια, κἂν εἰ ἀπαλλάττοιντό τινες τοῦ κακοῦ, νήψει τὸ χρῆμα κερδαίνοντες

Δέδιε τοίνυν ὁ προφήτης ὅτι μὴ ὑπάρχων οὕτω καθαρός, καθάπερ ἀμέλει τὰ ἅγια Σεραφείμ, τεθέαται μὲν τὸν Κύριον Σαβαώθ, σεσίγηκε δέ, καίτοι μᾶλλον ὀφείλων δοξολογεῖν, διὰ τὸ μὴ οὕτως ἔχειν καθαρὸν τὸ στόμα. Ὅτι δὲ χρὴ καθαροῖς στόμασιν ὑμνολογεῖν, σαφὲς ἂν γένοιτο περὶ τῆς γλώσσης λέγοντος ἑνὸς τῶν ἁγίων μαθητῶν· «Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Κύριον καὶ Πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας. Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; Οὕτως οὐδὲ ἁλυκὸν γλυκὺ ποιῆσαι ὕδωρ».

Στίχ. 6-7. «Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφείμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. Καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ».

Ὁ θεσπέσιος γράφει Παῦλος περὶ τῶν ἁγίων ἀγγέλων, ὅτι πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανές Πάντα μὲν γὰρ ἐν κόσμῳ τὰ παρὰ ταῖς ἄνω δυνάμεσι καὶ τιμῆς, ἤτοι λειτουργίας μέτρα παρ' αὐταῖς, καὶ ὅροι τέθεινται τῆς ἑκάστου δόξης, παρά γε τοῦ πάντα κατὰ τὸ αὐτῷ δοκοῦν διανέμοντος Θεοῦ. Πλὴν εἷς ἐφ' ἅπασιν ὁ ζυγός, καὶ ὑπηρετοῦσι νεύμα-

88. Ψαλμ. 115, 2. 89. Ἰακ. 3, 9-12.

κοινὸ πλημμέλημα τοῦ λαοῦ, σώζοντας μ᾽ αὐτὸ τοὺς ἁμαρτωλούς, δηλαδὴ ὁμολογώντας τὴ νόσο τῆς ἀνθρώπινης φύσης, πρᾶγμα ποὺ εἶναι ὅμοιο μ᾽ αὐτὸ ποὺ λέγει ὁ μακάριος Δαβὶδ γιὰ κάθε ἄνθρωπο· «Ἐγὼ εἶπα μέσα στὴν ἔκστασή μου· Κὰθε ἄνθρωπος εἶναι ψεύτης»[88]. Ἡ διάνοια τοῦ ἀνθρώπου πάσχει ἀπὸ τὴ νόσο τοῦ ψεύδους, κι ἂν συμβεῖ κάποιοι ν᾽ ἀπαλλαγοῦν ἀπὸ τὸ κακό, κερδίζουν τὴν ἀπαλλαγή τους μὲ τὴ νηφαλιότητα.

Νοιώθει λοιπὸν ὁ προφήτης δέος, γιατί, ἐνῶ δὲν εἶναι τόσο καθαρός, ὅπως ἀκριβῶς τὰ ἅγια Σεραφείμ, εἶδε βέβαια τὸν Κύριο τῶν δυνάμεων, ἀλλὰ σιώπησε, μολονότι ἔπρεπε μᾶλλον νὰ τὸν δοξολογεῖ, ἐπειδὴ δὲν εἶχε τόσο καθαρὸ τὸ στόμα. Ὅτι ὅμως πρέπει μὲ καθαρὰ στόματα νὰ τὸν ὑμνολογοῦμε θὰ μποροῦσε νὰ γίνει σαφὲς ἀπὸ αὐτὸ ποὺ λέγει κάποιος ἀπὸ τοὺς ἁγίους μαθητὲς γιὰ τὴ γλώσσα· «Μὲ αὐτὴν εὐλογοῦμε τὸν Κύριο καὶ Πατέρα, καὶ μὲ αὐτὴν καταρώμαστε τοὺς ἀνθρώπους, ποὺ ἔγιναν καθ᾽ ὁμοίωση τοῦ Θεοῦ. Δὲν πρέπει, ἀδελφοί μου, αὐτὰ νὰ γίνονται ἔτσι. Μήπως ἡ πηγὴ ἀναβλύζει ἀπὸ τὸ ἴδιο σημεῖο τὸ γλυκὸ καὶ τὸ πικρό; Μήπως μπορεῖ, ἀδελφοί μου, συκιὰ νὰ κάνει ἐλιὲς ἢ τὸ κλῆμα σῦκα; Ἔτσι οὔτε ἡ πηγὴ νὰ κάνει γλυκὸ τὸ ἁλμυρὸ νερό»[89].

> Στίχ. 6-7. «Στάλθηκε τότε σ᾽ ἐμένα ἕνα ἀπὸ τὰ Σεραφείμ, ποὺ κρατοῦσε στὸ χέρι του ἀναμμένο κάρβουνο, τὸ ὁποῖο πῆρε μὲ τὴ λαβίδα ἀπὸ τὸ θυσιαστήριο, καὶ ἀγγίζοντας τὸ στόμα μου, εἶπε· Νά, σοῦ ἄγγιξε αὐτὸ τὰ χείλη, καὶ θὰ ἀφαιρέσει τὶς ἀνομίες σου καὶ θὰ καθαρίσει τὶς ἁμαρτίες σου».

Ὁ θεσπέσιος Παῦλος γράφει γιὰ τοὺς ἁγίους ἀγγέλους, ὅτι ὅλοι εἶναι λειτουργικὰ πνεύματα, ποὺ στέλνονται πρὸς διακονία γιὰ χάρη ἐκείνων ποὺ πρόκειται νὰ κληρονομήσουν τὴ σωτηρία[90]. Καὶ δὲν εἶναι ἀσαφὲς τὸ πρᾶγμα. Γιατὶ ὅλα γίνονται ἀπὸ τὶς ἄνω δυνάμεις μὲ τάξη, καὶ ὑπάρχουν σ᾽ αὐτὲς μέτρα τιμῆς, ἤτοι λειτουργίας, καὶ γιὰ τὴ δόξα κάθε μιᾶς ἔχουν τεθεῖ ὅρια ἀπὸ τὸν Θεὸ ποὺ τὰ μοιράζει σύμφωνα μὲ τὸ θέλημά του. Ἀλλ᾽ ὅμως ὁ ζυγὸς

90. Ἑβρ. 1, 14.

σι τοῖς Δεσποτικοῖς, οὐκ ἀπαξιοῦντα τὴν δουλείαν, ἀλλ' ἐν μοίρᾳ τιμῆς καὶ δόξης καταλογιζόμενά που τὸ ἐν τούτοις γνήσιον. Προαναμορφοῦται τοίνυν ἐν ὀφθαλμοῖς τοῦ προφήτου τὸ Χριστοῦ μυστήριον, διὰ τῶν ἄνω δυνάμεων εὖ μάλα διακονούμενον. Ἀποστέλλεται γοῦν ἓν τῶν Σεραφεὶμ ἄνθρακα ἔχον, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. Καὶ τοῦτο ἄρα ἦν Χριστοῦ σύμβολον, ὃς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν προσεκόμισεν ἑαυτὸν τῷ Θεῷ καὶ Πατρί, εἰς θυσίαν πνευματικὴν καθαρὰν καὶ ἀβέβηλον καὶ εἰς ὀσμὴν εὐωδίας. Ταύτῃ τοι, καὶ μάλα εἰκότως, ἐκ τοῦ θυσιαστηρίου λαμβάνεται.

Παρεικάζεταί γε μὴν ἄνθρακι, καὶ διὰ ποίαν αἰτίαν εἰπεῖν ἀναγκαῖον. Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ πυρὶ τὴν θείαν παρεικάζειν φύσιν. Ὤφθη γὰρ οὕτω τῷ μακαρίῳ Ἰσραὴλ ἐν τῷ ὄρει Χωρήμ, ἤτοι Σινᾶ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, οὕτω καὶ αὐτῷ τῷ μακαρίῳ Μωσῇ ποιμαίνοντι κατὰ τὴν ἔρημον, ἐν εἴδει πυρὸς ἐν τῷ βάτῳ κατὰ καιρούς, ὤφθη τε καὶ προσελάλει. Ὥσπερ οὖν ὁ ἄνθραξ ξύλον ἐστὶ τῇ φύσει, πλὴν ὅλος δι' ὅλου μεμέστωται τοῦ πυρός, καὶ τὴν αὐτοῦ δύναμίν τε καὶ ἐνέργειαν ἔχει, κατὰ τοῦτον, οἶμαι, τρόπον νοοῖτ' ἂν εἰκότως καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· «Γέγονε γὰρ σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν». Ἀλλ' εἰ καὶ ἦν καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος οἰκονομικῶς, ἀλλ' οὖν ἅπαν τὸ τῆς θεότητος πλήρωμα κατῴκησεν ἐν αὐτῷ, κατά γέ φημι τὸν τῆς ἑνώσεως τρόπον. Ταύτῃτοι καὶ διὰ τῆς ἰδίας σαρκὸς θεοπρεπεστάτας ἔχων ὁρᾶται τὰς ἐνεργείας. Ἥψατο γοῦν τῆς σοροῦ, καὶ ἀνέστησε τὸν τεθνεῶτα τῆς χήρας υἱόν. Καὶ μὴν καὶ πτύσας ἐνετίθει τυφλοῖς τὸ βλέπειν, πηλῷ καταχρίων τοὺς ὀφθαλμούς· Ἄνθρακι δὴ οὖν εὖ μάλα παρεικαστέον τὸν Ἐμμανουήλ, ὃς εἰ καὶ γένοιτό πως ἐν τοῖς ἡμετέροις χείλεσιν, πάντῃ τε καὶ

---

91. Ἰω. 1, 14.

γιὰ ὅλα εἶναι ἕνας καὶ ὑπηρετοῦν μὲ τὰ Δεσποτικὰ νεύματα, χωρὶς νὰ ἀρνοῦνται τὴ δουλεία, ἀλλὰ καταλογίζοντας κατὰ κάποιο τρόπο στὴ θέση τιμῆς καὶ δόξας τὴ γνησιότητα σ' αὐτὴ τὴ δουλεία. Προτυπώνεται λοιπὸν στὰ μάτια τοῦ προφήτη τὸ μυστήριο τοῦ Χριστοῦ, ποὺ ὑπηρετεῖται ἄριστα ἀπὸ τὶς οὐράνιες δυνάμεις. Ἀποστέλλεται δηλαδὴ ἕνα ἀπὸ τὰ Σεραφεὶμ κρατώντας κάρβουνο ἀναμμένο, ποὺ τὸ πῆρε μὲ τὴ λαβίδα ἀπὸ τὸ θυσιαστήριο. Κι αὐτὸ βέβαια ἦταν σύμβολο τοῦ Χριστοῦ, ὁ ὁποῖος ἐξαιτίας μας καὶ γιὰ χάρη μας πρόσφερε τὸν ἑαυτό του στὸν Θεὸ καὶ Πατέρα ὡς θυσία πνευματικὴ καθαρὴ καὶ ἁγνὴ καὶ ὡς ὀσμὴ εὐωδιαστή. Γι' αὐτό, καὶ πάρα πολὺ εὔλογα, τὴν παίρνει ἀπὸ τὸ θυσιαστήριο.

Παρομοιάζεται βέβαια μὲ κάρβουνο· εἶναι ἀνάγκη ὅμως νὰ ποῦμε καὶ γιὰ ποιὰ αἰτία. Ὑπάρχει συνήθεια στὴ θεόπνευστη Γραφὴ νὰ παρομοιάζει μὲ φωτιὰ τὴ θεία φύση. Πράγματι ἔτσι τὴν εἶδε ὁ μακάριος Ἰσραὴλ στὸ ὄρος Χωρήβ, ἤτοι τὸ Σινᾶ, τὴν ἡμέρα τῆς συνάθροισης. Ἔτσι μὲ τὴ μορφὴ φωτιᾶς παρουσιάσθηκε κάποτε στὴ βάτο καὶ στὸν ἴδιο τὸν μακάριο Μωυσῆ ὅταν ἔβοσκε τὰ πρόβατα στὴν ἔρημο καὶ τοῦ μίλησε. Ὅπως λοιπὸν τὸ κάρβουνο εἶναι ὡς πρὸς τὴ φύση του ξύλο, ἀλλ' ὁλόκληρο πέρα ὡς πέρα ἔχει διαπερασθεῖ ἀπὸ τὴ φωτιὰ καὶ ἔχει τῆς φωτιᾶς τὴ δύναμη καὶ τὴν ἐνέργεια, κατὰ τὸν ἴδιο, νομίζω, τρόπο θὰ μποροῦσε νὰ νοηθεῖ εὔλογα καὶ ὁ ἴδιος ὁ Κύριός μας Ἰησοῦς Χριστός· γιατὶ λέγει· «Ὁ Λόγος ἔγινε σάρκα καὶ κατοίκησε ἀνάμεσά μας»[91]. Ἀλλὰ ἂν καὶ βλεπόμενος ἦταν ἄνθρωπος κατ' οἰκονομία σὰν κι ἐμᾶς, ὡστόσο ὅλο τὸ πλήρωμα τῆς θεότητας κατοίκησε σ' αὐτόν, ἐννοῶ μὲ τὸν τρόπο τῆς ἕνωσης. Γι' αὐτὸ παρουσιάζεται νὰ ἐκτελεῖ μὲ τὴν ἴδια του τὴ σάρκα τὶς ἐνέργειες ποὺ πρέπουν στὸν Θεό. Πράγματι ἄγγιξε τὴ σορὸ καὶ ἀνάστησε τὸν πεθαμένο υἱὸ τῆς χήρας. Ἀλλὰ καὶ φτύνοντας ἀποκαθιστοῦσε τὴν ὅραση στοὺς τυφλούς, ἀλείφοντας τὰ μάτια μὲ πηλό. Μὲ ἄνθρακα λοιπὸν πρέπει πολὺ σωστὰ νὰ παρομοιάσομε τὸν Ἐμμανουήλ, ὁ ὁποῖος

πάντως ἀφαιρεῖ τὰς ἁμαρτίας καὶ περικαθαριεῖ τὰς ἀνομίας. Εἶτα πῶς ἐν τοῖς ἡμετέροις χείλεσιν ἔσται; Ὅταν τὴν πίστιν ὁμολογῶμεν τὴν εἰς αὐτόν.

Οὕτω καὶ ὁ θεσπέσιος γράφει Παῦλος· «Ἐγγύς σου τό ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν. Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου ὅτι Κύριος Ἰησοῦς καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν». Ἔστω τοίνυν ἐν τοῖς χείλεσιν ἡμῶν ὁ θεῖος ἄνθραξ, ὁ τὸν ἐκ τῆς ἁμαρτίας καταφλέγων συρφετὸν καὶ τὸν ἐκ τῆς ἀνομίας ἐκτήκων ῥύπον καὶ ζέοντας ἡμᾶς ἀποτελῶν τῷ πνεύματι. Εἰ δὲ δὴ λέγοιτο τῇ λαβίδι λαμβάνεσθαι, συνήσεις εἰστείως ὅτι πίστιν τὴν ἐπ' αὐτῷ, καὶ μέντοι τὴν γνῶσιν, καθάπερ τινὶ λαβίδι δεχώμεθα διὰ νομικῶν τε ἅμα καὶ προφητικῶν παιδευμάτων, ἤτοι προαγορεύσεων. Ὅθεν καὶ ὁ τῶν ἁγίων ἀποστόλων εἰς ἀλήθειαν πανταχῇ κατασφραγίζεται λόγος Κεχρημένοι γὰρ ταῖς ἐκ νόμου καὶ προφητῶν μαρτυρίαις, ἀναπείθουσι τοὺς ἀκροωμένους, καὶ μονονουχὶ τὸν ἄνθρακα προσάγουσι καὶ αὐτοὶ τοῖς χείλεσιν αὐτῶν, ὁμολογεῖν τὴν πίστιν τὴν εἰς Χριστὸν παρασκευάζοντες.

Στίχ. 8. «Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγώ εἰμι· ἀπόστειλόν με».

Ὅτε τῶν τοῦ προφήτου χειλέων ὁ ἄνθραξ ἥψατο, καὶ ἀφῄρηκεν αὐτοῦ τὰς ἀνομίας, τότε καὶ ἀκούει τῆς φωνῆς Κυρίου, καὶ δέδιε μὲν οὐκέτι, καὶ σιωπᾷ τό, «Τάλας ἐγώ», παρεστήκει δέ, καὶ μάλα γοργῶς, ἑαυτὸν εἰς ἀποστολὴν καὶ οἷον αὐτόμολος εἰς τοῦτό τοι ἰών, τό, «Ἰδοὺ ἐγώ, ἀπόστειλόν με». Εἰ δὲ δὴ λέγοι Θεός, «Τίνα ἀποστείλω, καὶ τίς

92. Ρωμ. 11, 8-10.

μόλις ἀγγίζει τὰ χείλη μας ἀφαιρεῖ ὁπωσδήποτε τὶς ἁμαρτίες καὶ καθαρίζει τὶς ἀνομίες μας. Πῶς ὅμως καὶ πότε βρίσκεται στὰ χείλη μας; Ὅταν ὁμολογοῦμε τὴν πίστη μας πρὸς αὐτόν.

Αὐτὸ γράφει καὶ ὁ θεσπέσιος Παῦλος· «Εἶναι κοντά σου ὁ λόγος σου, μέσα στὸ στόμα σου καὶ τὴν καρδιά σου, δηλαδὴ ὁ λόγος τῆς πίστεως ποὺ κηρύσσομε. Γιατί, ἂν ὁμολογήσεις μὲ τὸ στόμα σου ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Κύριος καὶ πιστέψεις μὲ τὴν καρδιά σου, ὅτι ὁ Θεὸς τὸν ἀνέστησε ἀπὸ τοὺς νεκρούς, θὰ σωθεῖς. Γιατὶ μὲ τὴν καρδιὰ πιστεύει κανεὶς αὐτὸ ποὺ ὁδηγεῖ στὴ δικαίωση, καὶ μὲ τὸ στόμα ὁμολογεῖ αὐτὸ ποὺ ὁδηγεῖ στὴ σωτηρία»[92]. Ἂς βρίσκεται λοιπὸν στὰ χείλη μας ὁ θεῖος ἄνθρακας, ὁ ὁποῖος κατακαίει τὸν συρφετὸ τῆς ἁμαρτίας, διαλύει τὸν ρύπο ἀπὸ τὴν ἀνομία, καὶ μᾶς κάνει θερμοὺς στὸ πνεῦμα. Ἂν τώρα λέγεται ὅτι τὸν πῆρε μὲ τὴν λαβίδα, θὰ κατανοήσεις μὲ ὡραῖο τρόπο, ὅτι τὴν πίστη σ' αὐτόν, ἀλλὰ καὶ τὴ γνώση γι' αὐτόν, τὴ δεχόμαστε, σὰν μὲ λαβίδα, μὲ νομικὲς μαζὶ καὶ προφητικὲς παιδαγωγίες, δηλαδὴ προαγγελίες, ἀπὸ τὶς ὁποῖες καὶ κατασφραγίζεται ἡ ἀλήθεια τοῦ λόγου τῶν ἁγίων ἀποστόλων. Γιατί, χρησιμοποιώντας τὶς μαρτυρίες ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες, πείθουν ἐκείνους ποὺ τοὺς ἀκοῦν καὶ κατὰ κάποιο τρόπο φέρνουν κι αὐτοὶ τὸν ἄνθρακα στὰ χείλη τους, κάνοντάς τους νὰ ὁμολογοῦν τὴν πίστη τους στὸν Χριστό.

Στίχ. 8. «Καὶ ἄκουσα τὴ φωνὴ τοῦ Κυρίου ποὺ ἔλεγε· Ποιὸν ν' ἀποστείλω, καὶ ποιὸς θὰ πάει σ' αὐτὸν τὸ λαό; Καὶ εἶπα· Νά, ἐγὼ εἶμαι ἐδῶ· στεῖλε ἐμένα».

Ἀφοῦ τὸ ἀναμμένο κάρβουνο ἄγγιξε τὰ χείλη τοῦ προφήτη καὶ ἀφαίρεσε τὶς ἀνομίες του, τότε ἀκούει καὶ τὴ φωνὴ τοῦ Κυρίου, καὶ δὲν νοιώθει πιὰ δέος καὶ ἀποσιωπᾶ τὸ «Δυστυχισμένος ἐγώ», ἀλλὰ παρουσιάζει τὸν ἑαυτό του, καὶ πολὺ γρήγορα, ἕτοιμο γι' ἀποστολὴ καὶ κατὰ κάποιο τρόπο προχωρεῖ σ' αὐτὴν ἀπὸ μόνος του, λέγοντας· «Νά, ἐγὼ εἶμαι ἐδῶ· στεῖλε ἐμένα». Ἂν βέβαια λέγει ὁ Θεός, «Ποιὸν νὰ στείλω καὶ ποιὸς θὰ πάει σ' αὐτὸν

πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;», οὐκ ἠπορηκότος εἶναί φαμεν τὴν φωνήν, οὐδὲ οἷον ἐν σπάνει γεγονότος τοῦ πεμφθησομένου, καταιτιωμένου δὲ μᾶλλον τὸν Ἰσραὴλ ὡς ἀπειθῆ λίαν, καὶ εἴξαντα μὲν οὐδενὶ τῶν προαπεσταλμένων, ἀπεκτονότα δὲ μᾶλλον αὐτούς. Τοὺς μὲν γὰρ ὕβρισαν, τοὺς δὲ ἐλιθοβόλησαν, τοὺς δὲ ἀπέκτειναν, καθά φησιν ὁ Χριστός, τὴν ἐν τοῖς Εὐαγγελίοις ἡμῖν συντιθεὶς παραβολήν. Τίνα δὴ οὖν ἄρα, φησίν, ἀποστείλω; Καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον, οἳ τοῖς ἤδη προαπεσταλμένοις ἠπειθηκότες, σκληροί τέ εἰσι καὶ δυσάντητοι, καὶ δι' αὐτῶν ἔδειξαν τῶν πραγμάτων· ὡς οὐκ ἂν εἴη τοῦ τυχόντος προσβαλεῖν αὐτοῖς, μόνου δὲ τάχα τοῦ καὶ αὐτῆς ἀπεγνωκότος τῆς ἰδίας ζωῆς.

Ὅτι δὲ γέγονεν ἀκαμπὴς καὶ ἀνουθέτητος ἄγαν ὁ Ἰσραήλ, ἔστι μαθεῖν τις ἂν καὶ δι' ὧν ἔφη Θεὸς πρὸς τὸν μακάριον Ἐζεκιήλ. Ἔχει δὲ οὕτως· «Υἱὲ ἀνθρώπου, βάδιζε, εἴσελθε εἰς τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτούς· διότι οὐ πρὸς λαὸν βαθύχειλον καὶ βραδύγλωσσον ἐξαποστέλλῃ, πρὸς οἶκον τοῦ Ἰσραήλ, οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους ἢ ἀλλογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους αὐτῶν. Καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, αὐτοί ἂν εἰσήκουσάν σου· ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν ἀκοῦσαί σου, διότι οὐ βούλονται εἰσακοῦσαί μου, ὅτι πᾶς ὁ οἶκος τοῦ Ἰσραὴλ φιλόνεικοί εἰσι καὶ σκληροκάρδιοι». Εἰκότως δὴ οὖν μονονουχὶ ἀπορήσας, μᾶλλον δέ, ὡς ἔφην ἀρτίως, ἐπὶ πολλῇ λίαν ὠμότητι καταιτιώμενος τοὺς ἐξ Ἰσραήλ. Τίνα δὴ οὖν ἀποστείλω; Μελλήσας δὴ οὖν ὁ προφήτης κατ' οὐδένα τρόπον· «Ἰδοὺ ἐγώ», φησίν, «ἀπόστειλόν με».

Ὅταν τοίνυν καὶ ἡμῶν ὁ θεῖος ἄνθραξ ἐπιθιγγάνῃ, καθαροὶ μὲν ἐσόμεθα τῶν διεπταισμένων, πρόθυμοι δὲ καὶ νεανικοὶ πρὸς ἀποστολήν, ὃ δὴ καὶ πεπράχασιν οἱ θεσπέσιοι

τὸν λαό;», δὲν εἶναι λόγος κάποιου ποὺ ἀπορεῖ, οὔτε σὰν κατὰ κάποιο τρόπο νὰ μὴ ὑπῆρχε κανένας ποὺ θὰ ἔστελνε, ἀλλὰ εἶναι μᾶλλον λόγος κάποιου ποὺ κατηγορεῖ τὸν Ἰσραηλιτικὸ λαὸ ὡς ὑπερβολικὰ ἀνυπάκουο, ποὺ ὄχι μόνο δὲν ὑπάκουσε σὲ κανέναν ἀπὸ ὅσους εἶχαν ἀποσταλεῖ προηγουμένως, ἀλλὰ καὶ τοὺς εἶχαν σκοτώσει. Γιατὶ ἄλλους κακολόγησαν, ἄλλους λιθοβόλησαν, ἄλλους σκότωσαν, ὅπως λέγει ὁ Χριστός, λέγοντάς μας τὴν παραβολὴ τοῦ Εὐαγγελίου. Ποιὸν λοιπόν, λέγει, ν' ἀποστείλω; Καὶ ποιὸς νὰ πάει σ' αὐτὸν τὸν λαό, οἱ ὁποῖοι στοὺς προηγούμενους ἀπεσταλμένους ἔδειξαν ἀνυπακοή, εἶναι σκληροὶ καὶ ἀνελέητοι κι ἔδειξαν μὲ τὰ ἴδια τὰ πράγματα ὅτι δὲν θὰ μποροῦσε ὁ τυχὼν νὰ τοὺς ἀντιμετωπίσει, ἀλλὰ ἴσως μόνο κάποιος ποὺ ἔφτασε στὴν ἄρνηση τῆς ἴδιας του τῆς ζωῆς;

Ὅτι βέβαια ὁ Ἰσραὴλ ἔγινε ἄκαμπτος καὶ ἀνουθέτητος ὑπερβολικά, μπορεῖ νὰ τὸ μάθει κανεὶς κι ἀπὸ αὐτὰ ποὺ εἶπε ὁ Θεὸς στὸν μακάριο Ἰεζεκιὴλ, ποὺ ἔχουν ὡς ἑξῆς· «Υἱὲ τοῦ ἀνθρώπου, προχώρει, μπὲς μέσα στὸν οἶκο τοῦ Ἰσραὴλ καὶ πὲς τοὺς λόγους μου σ' αὐτούς· γιατὶ δὲν στέλνεσαι σὲ λαὸ μὲ βαριὰ ὁμιλία καὶ βραδυκίνητη γλώσσα, ἀλλὰ στὸν λαὸ τοῦ Ἰσραήλ· οὔτε σὲ λαοὺς πολλοὺς ἀλλόφωνους ἢ ἀλλόγλωσσους καὶ ποὺ εἶναι δυνατοὶ στὸ λόγο καὶ δὲν θὰ κατανοήσεις τοὺς λόγους τους. Ἀλλά, κι ἂν σὲ ἔστελνα σὲ τέτοιους, αὐτοὶ θὰ σὲ ἄκουγαν, οἱ Ἰσραηλίτες ὅμως δὲν θὰ θελήσουν νὰ σὲ ἀκούσουν, ἀφοῦ δὲν θέλουν ν' ἀκούσουν ἐμένα, γιατὶ ὅλος ὁ λαὸς τοῦ Ἰσραὴλ εἶναι φιλόνεικος καὶ ἔχουν σκληρὴ καρδιά»[93]. Εὔλογα λοιπὸν ὄχι μόνο δὲν ἀπόρησε, ἀλλὰ ἀντίθετα, ὅπως εἶπα πρὶν ἀπὸ λίγο, κατηγοροῦσε τοὺς Ἰσραηλίτες γιὰ μεγάλη ὠμότητα. Ποιὸν λοιπὸν ν' ἀποστείλω; Ὁ προφήτης βέβαια δὲν καθυστέρησε καθόλου. «Νά, ἐγὼ εἶμαι ἐδῶ», λέγει, «στεῖλε ἐμένα».

Ἐὰν λοιπὸν ἀγγίξει κι ἐμᾶς ὁ θεῖος ἄνθρακας, θὰ καθαριστοῦμε ἀπὸ τὰ πταίσματά μας καὶ θὰ καταστοῦμε πρόθυμοι κι ἀποφαστιστικοὶ στὴν ἀποστολή, πρᾶγμα βέβαια ποὺ ἔκαναν καὶ

93. Ἰεζ.3, 4-7.

μαθηταί. Καίτοι γὰρ ὄντες ἐξ Ἰουδαίων καὶ πρὸ τῆς εἰς Χριστὸν ἀγάπης, ἀκάθαρτά που καὶ αὐτῶν τὰ χείλη μετὰ τῶν ἄλλων ἔχοντες, ἐπειδὴ δὲ προσήκαντο τὴν πίστιν, πεποίηνται τὴν καλὴν ὁμολογίαν, ἧψατο δὲ καὶ αὐτῶν ὁ ἄνθραξ, τότε καὶ κέκληνται πρὸς ἀποστολήν, καὶ ἠκολούθουν ἀμελλητί, καίτοι λέγοντος τοῦ πανσόφου Μωσέως· «Δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς»· Ἱερεμίου δὲ πάλιν· «Ὁ ὤν, Δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι ἐγὼ νεώτερός εἰμι». Θερμότεροι δὴ οὖν πρὸς ἀποστολὴν καὶ διακονίαν τῶν ἀρχαιοτέρων ἁγίων οἱ ἐν Χριστῷ. Καὶ σαφὴς ἂν γένοιτο τοῦ πράγματος τύπος ὁ μακάριος προφήτης Ἡσαΐας μετὰ τὴν τοῦ ἄνθρακος ἁπαφὴν ἀνακεκραγώς τε καὶ λέγων τό· «Ἰδοὺ ἐγώ, ἀπόστειλόν με».

Στίχ 9-10. «Καὶ εἶπεν· Πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς».

Πώρωσιν μὲν ἀπό μέρους γεγενῆσθαι τῷ Ἰσραὴλ ὁ θεσπέσιος γράφει Παῦλος, διερμηνεύων δὲ ὥσπερ τίνα τρόπον αὐτοῖς τὴν πώρωσιν συνέβη παθεῖν· «Ἄχρι γὰρ σήμερον», φησίν, «ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται». Καὶ γὰρ ἦν ἀκόλουθον τοῖς εἰς τοῦτο λοιπὸν ἀγριότητος τρόπων ὠλισθηκόσιν, ὡς πολὺ νοσεῖν τὸ ἐξήνιον, καὶ μήτε τοῖς Μωσέως γράμμασιν εἴκειν ἐθέλοντες, μήτε μὴν τοῖς ἁγίοις προφήταις, προσθείην δ' ἂν ὅτι μηδὲ αὐτῷ τῷ Χριστῷ, τῷ τῆς νοητῆς ἀχλύος καταλαμβάνεσθαι σκότῳ, καὶ ὀλίγα διενεγκεῖν τῶν ἀναι-

94. Ἐξ. 4, 13. 95. Ἱερ. 1, 6.

οἱ θεσπέσιοι μαθητές. Μολονότι δηλαδὴ κατάγονταν ἀπὸ τοὺς Ἰουδαίους καὶ πρὶν ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ εἶχαν καὶ αὐτοὶ μαζὶ μὲ τοὺς ἄλλους χείλη ἀκάθαρτα, ὅταν δέχθηκαν τὴ πίστη καὶ ἔκαναν τὴν καλὴ ὁμολογία καὶ ἄγγιξε καὶ αὐτοὺς ὁ ἄνθρακας, τότε ἔλαβαν τὴν κλήση γιὰ τὴν ἀποστολὴ κι ἀκολουθοῦσαν χωρὶς διισταγμό, μολονότι ὁ πάνσοφος Μωυσῆς ἔλεγε, «Σὲ παρακαλῶ, Κύριε, ἀνάθεσε σὲ ἄλλον τὸ ἔργο αὐτὸ ποὺ νὰ μπορεῖ, καὶ αὐτὸν νὰ ἀποστείλεις»[94], ἀλλὰ καὶ ὁ Ἱερεμίας ἐπίσης· «Ἐσὺ ποὺ ὑπάρχεις, Δέσποτα Κύριε, νά, ἐγὼ δὲν ξέρω νὰ μιλῶ, ἐπειδὴ εἶμαι πολὺ νέος»[95]. Οἱ πιστοὶ λοιπὸν τοῦ Χριστοῦ εἶναι θερμότεροι πρὸς ἀποστολὴ καὶ διακονία ἀπὸ τοὺς παλαιότερους., καὶ σαφὴς τύπος αὐτοῦ τοῦ πράγματος εἶναι ὁ μακάριος Ἡσαΐας, ὁ ὁποῖος μετὰ τὴν ἐπαφὴ τοῦ ἄνθρακα φώναξε καὶ εἶπε· «Νά, ἐγὼ εἶμαι ἐδῶ, στεῖλε ἐμένα».

> Στίχ. 9-10. «Καὶ εἶπε· Πήγαινε καὶ νὰ πεῖς στὸν λαὸ τοῦτο· Θ' ἀκοῦστε μὲ τὰ αὐτιὰ σας καὶ δὲν θὰ καταλαβαίνετε· θὰ βλέπετε μὲ τὰ μάτια σας, καὶ δὲν θὰ βλέπετε. Πέτρωσε ἡ καρδιὰ τοῦ λαοῦ τούτου, τ' αὐτιά τους ἀκοῦν βαριά, καὶ ἔκλεισαν τά μάτια τους, γιὰ νά μὴ δοῦν κάποτε μὲ τὰ μάτια τους κι ἀκούσουν μὲ τ' αὐτιά τους καὶ κατανοήσουν μὲ τὸ νοῦ τους, ὥστε νὰ ἐπιστρέψουν σ' ἐμένα καὶ νὰ τοὺς θεραπεύσω».

Ὁ θεσπέσιος Παῦλος γράφει ὅτι ὁ Ἰσραηλιτικὸς λαὸς ἔπαθε ἀπὸ μέρους του πώρωση, διερμηνεύοντας μὲ ποιὸ τρόπο συνέβη νὰ πάθουν αὐτοὶ τὴν πώρωση· γιατὶ λέγει· «Μέχρι σήμερα, ὅταν διαβάζεται ὁ Μωυσῆς ὑπάρχει ἕνα κάλυμμα πάνω στὴ διάνοιά τους»[96]. Καὶ πράγματι ἦταν ἐπόμενο γιὰ ἐκείνους, ποὺ εἶχαν ὀλισθήσει πιὰ σὲ τέτοια ἀγριότητα τρόπων, νὰ ἔχουν πολὺ ἔντονη τὴ νόσο ἀποχαλίνωσης, καὶ οὔτε στὰ γραπτὰ τοῦ Μωυσῆ ἤθελαν νὰ ὑποχωρήσουν οὔτε καὶ στοὺς ἁγίους προφῆτες, θὰ πρόσθετα οὔτε στὸν ἴδιο τὸν Χριστὸ ἐξαιτίας τοῦ ὅτι εἶχαν καταληφθεῖ ἀπὸ τὸ σκότος τῆς νοητῆς ὁμίχλης καὶ λίγο διέφεραν ἀπὸ τὰ ἀναίσθη-

96. Β΄ Κορ. 3, 15.

σθήτων λίθων. Ταύτην οὖν ἄρα ποιεῖται τὴν προαγόρευσιν ὁ τῶν ὅλων Θεός, καὶ τῷ προφήτῃ παρεγγυᾷ προκαταμηνύειν αὐτοῖς· ὅτι «Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε». Γεγόνασι γὰρ αὐτήκοοι τῆς τοῦ Σωτῆρος φωνῆς· ἐδίδαξεν ἐν συναγωγαῖς, προσπεφώνηκεν ἐν τοῖς Ἱεροσολύμοις πλειστάκις, ἀλλ' ἦσαν ἐν ἴσῳ τοῖς μηδ' ὅλως ἀκηκοόσιν. Γεγόνασι θεωροὶ τῶν παραδόξως τετελεσμένων. Τεθέανται γὰρ λεπροὺς τοῦ πάθους ἀπηλλαγμένους, ἀναπηδῶντας χωλούς, τυφλοὺς ἀναβλέποντας, νεκροὺς ἐκ μνημάτων ἀνισταμένους, ἀλλ' ὠφέληνται μὲν κατ' οὐδένα τρόπον, ὥσπερ δὲ καὶ αὐτῶν ὀμμάτων ἐστερημένοι, διετέλουν οἱ δείλαιοι. Ταύτῃ τοι καὶ ὀνειδίζονται διὰ τῆς τῶν ἁγίων φωνῆς, ὡς γεγονότες ἀεὶ σκληροτράχηλοι καὶ ἀπειθεῖς τῇ καρδίᾳ καὶ ἀπεκτονότες ἁγίους. Δεδόσθαι γε μὴν τὴν πώρωσιν αὐτοῖς φησιν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ συνῶσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι καὶ ἰάσηται αὐτούς Καὶ τοῦτο ἦν ἄρα, καὶ μάλα σαφῶς, ὅπερ ἔφη Χριστὸς ἀπειθεῖν ᾠρημένοις· «Μὴ γογγύζετε μετ' ἀλλήλων· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατήρ μου ὁ πέμψας με ἑλκύσῃ αὐτόν». Καὶ πάλιν· «Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Πατρός, ἔρχεται πρός με».

Οὐκοῦν οὐ κέκληνται πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ, δι' ἀποκαλύψεως τοῦ Θεοῦ καὶ Πατρός, ὅτι μηδὲ ἦσαν ἄξιοι τῆς δι' αὐτοῦ σωτηρίας καὶ ζωῆς. Εἰ δὲ δή τις βούλοιτο προσβαλεῖν ἑτέρως ταῖς τῶν εἰρημένων ἐννοίαις, συνήσει τοιῶσδε. Προαγορεύει μὲν γὰρ ὁ τῶν ὅλων Θεός, ὡς γινώσκων τὰ κεκρυμμένα καὶ τὰ ἐσόμενα, καί φησιν, ὅτι πάντῃ τε καὶ πάντως ὄψονται μὲν καὶ ἀκούσονται, μενοῦσί γε μὴν ὡς μήτε ἀκηκοότες, μήτε συντιθέμενοι, καὶ τοῦτο παθόντες ἐκ μοχθηρᾶς αὐτοὶ τῆς ἰδίας γνώμης. Προσεπάγει δὲ τούτοις, ὅτι ταῦτα δρῶντε ς ἐκεῖνοι, ταῖς ἰδίαις ἐπιβουλεύουσι κεφαλαῖς. Ἠρωστήκασι γὰρ τὸ δυσήκοον καὶ τὸ μὴ δύνα-

97. Ἰω. 6, 44. 98. Ἰω. 6, 45.

τα λιθάρια. Αὐτὴ λοιπὸν τὴν προαγγελία κάνει ὁ Θεὸς τῶν ὅλων καὶ παραγγέλλει στὸν προφήτη νὰ ἀναγγείλει καὶ νὰ πεῖ σ' αὐτούς· «Μὲ τ' αὐτιά σας θ' ἀκούσετε καὶ δὲν θὰ καταλαβαίνετε, καὶ ἐνῶ θὰ βλέπετε μὲ τὰ μάτια σας, θὰ εἶναι σὰ νὰ μὴ βλέπετε». Ἔγιναν πράγματι αὐτήκοοι τῆς φωνῆς τοῦ Σωτήρα· τοὺς δίδαξε στὶς συναγωγές, τοὺς ἀπηύθυνε πολλὲς φορὲς τὸ λόγο στὰ Ἱεροσόλυμα, ἀλλ' ἦταν σὲ ἴση μοῖρα μὲ ἐκείνους ποὺ δὲν τὸν εἶχαν ἀκούσει καθόλου. Ἔγιναν θεατὲς γεγονότων ποὺ εἶχαν τελεσθεῖ μὲ παράδοξο τρόπο. Πράγματι εἶδαν λεπροὺς νὰ ἔχουν ἀπαλλαχθεῖ ἀπὸ τὴν ἀρρώστια, χωλοὺς νὰ ἀναπηδοῦν, τυφλοὺς νὰ βλέπουν, νεκροὺς νὰ σηκώνονται ἀπὸ τὰ μνήματα, ἀλλὰ δὲν ὠφελήθηκαν μὲ κανένα τρόπο, γιατὶ ζοῦσαν, οἱ δυστυχεῖς, σὰν νὰ εἶχαν στερηθεῖ καὶ τὰ ἴδια τους τὰ μάτια. Γι' αὐτὸ βέβαια καὶ κατηγοροῦνται ἀπὸ τοὺς ἁγίους, ὅτι ἦταν πάντοτε σκληροτράχηλοι καὶ ἀνυπήκοοι καὶ φονιάδες ἁγίων. Καὶ δόθηκε λέγει ἡ πώρωση σ' αὐτούς, γιὰ νὰ μὴ δοῦν μὲ τὰ μάτια τους καὶ κατανοήσουν τὰ γινόμενα καὶ ἐπιστρέψουν σ' αὐτὸν καὶ τοὺς θεραπεύσει. Καὶ αὐτὸ σημαίνει, καὶ πολὺ καθαρά, ἐκεῖνο ποὺ εἶπε ὁ Χριστὸς σὲ ἐκείνους ποὺ ἤθελαν νὰ εἶναι ἀνυπήκοοι· «Μὴ γογγύζετε μεταξύ σας· κανένας δὲν μπορεῖ νὰ ρθεῖ σ' ἐμένα, ἂν ὁ Πατέρας μου ποὺ μ' ἔστειλε δὲν τὸν ἑλκύσει»[97]. Καὶ πάλι· «Καθένας ποὺ ἄκουσε ἀπὸ τὸν Πατέρα μου, ἔρχεται σ' ἐμένα»[98].

Ἄρα λοιπὸν δὲν ἔχουν κληθεῖ πρὸς ἐπίγνωση τοῦ Υἱοῦ μὲ ἀποκάλυψη τοῦ Θεοῦ καὶ Πατέρα, ἐπειδὴ δὲν ἦταν ἄξιοι τῆς μέσω αὐτοῦ σωτηρίας καὶ ζωῆς. Ἂν ὅμως ἤθελε κάποιος νὰ δώσει διαφορετικὴ ἐξήγηση στὰ λεγόμενα αὐτά, θὰ τὰ ἐννοήσει ὡς ἑξῆς. Προαναγγέλλει δηλαδὴ ὁ Θεὸς τῶν ὅλων, ἐπειδὴ γνωρίζει τὰ κρυμμένα καὶ τὰ μελλοντικά, καὶ λέγει ὅτι ὁπωσδήποτε βέβαια θὰ δοῦν καὶ θ' ἀκούσουν, ἀλλὰ θὰ παραμείνουν σὰ νὰ μὴν ἔχουν ἀκούσει οὔτε νὰ ἔχουν καταλάβει, καὶ ὅτι αὐτὸ τὸ ἔπαθαν ἀπὸ τὴν ἴδια τους τὴ μοχθηρὴ γνώμη. Σ' αὐτὰ προσθέτει ὅτι, κάνοντας αὐτὰ ἐκεῖνοι, κάνουν κακὸ τοῦ κεφαλιοῦ τους. Γιατὶ πά-

σθαι καθορᾶν, «Ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ ἐπιστρέψουσι καὶ ἰάσομαι αὐτούς». Αἴτιοι τοίνυν αὐτοὶ τῆς σφῶν αὐτῶν γεγόνασιν ἀπωλείας, μήτε τὸ οὖς παραθέντες τοῖς παρὰ Χριστοῦ λεγομένοις ὀξύ, μήτε μὴν τὸν τῆς ἑαυτῶν διανοίας ἀνευρύνοντες ὀφθαλμόν. Εἰ γὰρ τοῦτο ἔδρων, ὑπέστρεψαν ἂν καὶ τῆς καθηκούσης θεραπείας τετυχηκότες, σῶόν τε καὶ ὑγιᾶ τὸν ἑαυτῶν διεσώσαντο νοῦν.

Στίχ. 11-12. «Καὶ εἶπα· Ἕως πότε, Κύριε; Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι, παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς».

Δέδιεν ὁ προφήτης, μὴ ἄρα διηνεκὴς καὶ ἀκατάληκτος ἐπενήνεκται τοῖς ἐξ Ἰσραὴλ ἡ πώρωσις Ταύτῃ τοι καὶ διαμαθεῖν ἀξιοῖ τὸν χρόνον, καθ' ὃν ἔσται τοῦτο αὐτοῖς, καὶ μέχρι τίνος παρατείνει τὸ ἀρρώστημα. Καὶ πρός γε δὴ ταῦτα Θεὸς προαγορεύει τὴν δήωσιν αὐτῶν τε τῶν Ἱεροσολύμων καὶ ἁπάσης τῆς Ἰουδαίων χώρας, καί φησιν· «Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους», ὃ δὴ καὶ εἰς πέρας ἐκβέβηκεν, Οὐεσπασιανοῦ τε καὶ Τίτου καταδηωσάντων τὴν Ἰουδαίαν μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν καὶ ἀνάληψιν τὴν εἰς οὐρανούς. Ὅτι δὲ οὐ μέχρι τοῦ ταῦτα παθεῖν ἐκμετρηθήσεται τοῖς ἀπειθοῦσιν ἡ κόλασις, οὔτε μὴν εἰς ἅπαν, ἤγουν ὁλόριζος, ὁ Ἰσραὴλ οἰχήσεται, καταμηνύει λέγων· «Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς». Ἐμακρύνθησαν μὲν γὰρ ἀπὸ Θεοῦ, καὶ ἁγίους ἀπεκτονότες, προσθέντες δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς. Οἱ δὲ δὴ καταλειφθέντες, τοῦτ' ἔστιν οἱ περισεσωσμένοι καὶ πεπιστευκότες εἰς Χριστόν, οἵ καί εἰσι

σχουν ἀπὸ τὴν ἀρρώστια τῆς ἀνυπακοῆς καὶ τῆς ἀδυναμίας νὰ βλέπουν, «Γιὰ νὰ μὴ δοῦν μὲ τὰ μάτια τους καὶ νὰ μὴν ἀκούσουν μὲ τ' αὐτιά τους, καὶ ἐπιστρέψουν σ' ἐμένα καὶ τοὺς θεραπεύσω». Ἔγιναν λοιπὸν οἱ ἴδιοι αἴτιοι τῆς ἀπώλειάς τους, ἀφοῦ δὲν ἔστησαν πρόθυμο τὸ αὐτί τους στὰ λεγόμενα τοῦ Χριστοῦ, οὔτε ἄνοιξαν τὰ μάτια τῆς διάνοιάς τους. Γιατί, ἂν τὸ ἔκαμναν αὐτό, θὰ ἐπέστρεφαν, κι ἀφοῦ δέχονταν τὴν κατάλληλη θεραπεία, θὰ διατηροῦσαν σῶον καὶ ὑγιῆ τὸν νοῦ τους.

Στίχ. 11-12. «Καὶ εἶπα· Μέχρι πότε, Κύριε; Καὶ εἶπε· Μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις, ἐπειδὴ δὲν θὰ κατοικοῦνται πιά, καὶ τὰ σπίτια, ἀφοῦ δὲν θὰ ὑπάρχουν ἄνθρωποι, καὶ ἡ γῆ νὰ ἐγκαταλειφθεῖ καὶ νὰ γίνει ἔρημη. Ἔπειτα ἀπὸ αὐτὰ θὰ ἀπομακρύνει ὁ Θεὸς τοὺς ἀνθρώπους ἀπὸ τὴ γῆ, καὶ ἐκεῖνοι ποὺ θ' ἀπομείνουν θὰ πληθύνουν ἐπάνω στὴ γῆ».

Φοβᾶται ὁ προφήτης μὴ τυχὸν προσβλήθηκαν Ἰσραηλίτες ἀπὸ συνεχῆ καὶ χωρὶς τέλος πώρωση, καὶ γι' αὐτὸ θέλει νὰ μάθει τὸ χρόνο ποὺ θὰ συμβεῖ αὐτὸ σ' αὐτούς., καὶ ὡς πότε θὰ παρατείνει τὸ πάθος τους. Σχετικὰ μ' αὐτὰ λοιπὸν ὁ Θεὸς προαναγγέλλει τὴν ἐρήμωση καὶ τῆς Ἱερουσαλὴμ καὶ ὅλης τῆς Ἰουδαϊκῆς χώρας, καὶ λέγει «Μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις, ἀφοῦ δὲν θὰ κατοικοῦνται, καὶ τὰ σπίτια ἀφοῦ δὲν θὰ ὑπάρχουν ἄνθρωποι», πρᾶγμα ποὺ ἔγινε, ὅταν ὁ Βεσπασιανὸς καὶ ὁ Τίτος καταλεηλάτησαν τὴν Ἰουδαία μετὰ τὴ σταύρωση τοῦ Χριστοῦ καὶ τὴν ἀνάληψή του στοὺς οὐρανούς. Ὅτι ὅμως ἡ τιμωρία γιὰ ὅσους δὲν ἔδειξαν ὑπακοὴ δὲν θὰ τελειώσει μὲ τὸ νὰ πάθουν ἁπλῶς αὐτά, οὔτε βέβαια θὰ ἀφανισθεῖ ὁ Ἰσραηλιτικὸς λαὸς ὁλοσχερῶς, δηλαδὴ ὁλόρριζα, τὸ δηλώνει λέγοντας· «Κι ἔπειτα ἀπὸ αὐτὰ θ' ἀπομακρύνει ὁ Θεὸς τοὺς ἀνθρώπους, κι ὅσοι ἀπομείνουν θὰ πληθύνουν ἐπάνω στὴ γῆ». Πράγματι ἀπομακρύνθηκαν ἀπὸ τὸν Θεό, καὶ σκοτώνοντας τοὺς ἁγίους, καὶ προσθέτοντας σ' αὐτοὺς καὶ τὸν ἀρχηγὸ τῆς ζωῆς. Ἐκεῖνοι ὅμως ποὺ ἀπέμειναν, δηλαδὴ ποὺ σώθηκαν καὶ πίστεψαν στὸν Χριστό, οἱ ὁποῖοι καὶ εἶναι τὸ

τὸ κατάλειμμα τοῦ Ἰσραήλ, ἐν πολλῇ, φησίν, ἔσονται πληθύϊ. Πεπίστευκε γὰρ οὐ βραχὺ μέρος τοῦ Ἰσραήλ, καὶ τοῦτο ἐν ἀρχαῖς τοῦ βιβλίου καὶ αὐτὸς ὁ μακάριος προφήτης Ἡσαΐας μεμήνυκε, λέγων· «Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόρρα ἂν ὡμοιώθημεν».

Δοκεῖ δέ τισι καὶ ἑτέρως νοεῖν τῶν προκειμένων τὴν δύναμιν. Διερωτῶντος δὲ τοῦ προφήτου καὶ ἀναμαθεῖν ἐθέλοντος εἰς τίνα καὶ πόσον ἐκταθήσεται καιρὸν ἡ πώρωσις, ἀποκρίνεται Θεός· «Ἕως ἂν ἐρημωθῶσιν αἱ πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους», ἵνα διὰ τούτου νοῶμεν τὸν τῆς συντελείας καιρόν. Δεῖ γὰρ πρότερον πολέμους ἡμᾶς ἀκοῦσαι, καὶ ἀκοὰς πολέμων, ἀναστῆναί τε ἔθνος ἐπ' ἔθνος, καὶ βασιλείας ἐπὶ βασιλείας, ἐρημωθῆναί τε πόλεις, καὶ οἴκους, εἶθ' οὕτω τὸ τέλος, μεθ' ὃν μακρύνονται λοιπὸν οἱ ἄνθρωποι, μετὰ τὸν τῆς ἀναστάσεως δηλονότι καιρόν, τὸν εὐαγῆ καὶ μακραίωνα διαζῶντες βίον, ἀνηρημένης εἰς ἅπαν τῆς φθορᾶς, καὶ κατηργημένου τοῦ θανάτου, καὶ ἁπάσης ἁμαρτίας ἐξηρημένης. Ὅτι δὲ πεπώρωται ὁ Ἰσραήλ, κεκλήσεταί γε μὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, τῆς θεοπνεύστου Γραφῆς λεγούσης σαφῶς τε καὶ ἐναργῶς, εἰκαῖον οἶμαι τὸ διατείνεσθαι καὶ ζητεῖν τὰ τελοῦντα πρὸς πληροφορίαν.

Στίχ. 15. «Καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσονται εἰς προνομὴν ὡς τερέβινθος καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἀπὸ τῆς θήκης αὐτοῦ».

Διαμέμνηται καὶ νῦν ἱστορίας ὁ προφητικὸς ἡμῖν λόγος, ἣν ἀναγκαῖον, ὡς ἔοικεν, εἰπεῖν· ἔσται γὰρ οὕτω σαφὲς τὸ δηλούμενον. Καταστρατευόντων τοιγαροῦν τῆς Ἰουδαίων χώρας, ὡς ἤδη προεῖπον, Οὐεσπασιανοῦ τε καὶ Τίτου, δεδα-

99. Ἡσ. 1, 9.

ὑπόλειμμα τοῦ Ἰσραήλ, θὰ πληθύνουν, λέγει, πολύ. Γιατὶ δὲν πίστεψε μικρὸ μέρος τῶν Ἰσραηλιτῶν, καὶ αὐτὸ τὸ δήλωσε στὴν ἀρχὴ τοῦ βιβλίου του καὶ ὁ ἴδιος ὁ μακάριος προφήτης Ἡσαΐας, λέγοντας· «Καὶ ἂν ὁ Κύριος τῶν δυνάμεων δὲν ἄφηνε σπέρμα σ' ἐμᾶς, θὰ γινόμασταν σὰν τὰ Σόδομα καὶ θὰ ἐξομοιωνόμασταν μὲ τὰ Γόμορρα»[99].

Κάποιοι ὅμως κρίνουν ὀρθὸ νὰ δώσουν διαφορετικὴ ἐξήγηση στὰ λεγόμενα αὐτά. Ἐρωτώντας ὁ προφήτης καὶ θέλοντας νὰ μάθει σὲ ποιὸ καὶ πόσο χρονικὸ διάστημα θὰ συνεχισθεῖ ἡ πώρωση, ὁ Θεὸς ἀποκρίνεται· «Μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις, ἀφοῦ δὲν θὰ κατοικοῦνται, καὶ τὰ σπίτια, ἀφοῦ δὲν θὰ ὑπάρχουν ἄνθρωποι. Μετὰ ἀπὸ αὐτὰ θ' ἀπομακρύνει ὁ Θεὸς τοὺς ἀνθρώπους», γιὰ νὰ νοοῦμε μ' αὐτὸ τὸν καιρὸ τῆς συντέλειας. Γιατὶ πρέπει προηγουμένως ν' ἀκούσομε πολέμους καὶ μηνύματα πολέμων, νὰ ἐξεγερθεῖ ἔθνος ἐναντίον ἄλλου ἔθνους, καὶ βασιλεία ἐναντίον βασιλείας, καὶ νὰ ἐρημώσουν πόλεις καὶ σπίτια, κι τότε μετὰ ἀπὸ αὐτὰ θὰ ἔρθει τὸ τέλος, καὶ μετὰ ἀπὸ τὸν καιρὸ τῆς ἀπομάκρυνσης τῶν ἀνθρώπων, μετὰ τὴν ἀνάσταση δηλαδή, θὰ ζοῦν τὸν ἅγιο καὶ μακραίωνα βίο, ἐνῶ θὰ ἔχει ἀφανισθεῖ ἡ φθορά, θὰ καταργηθεῖ ὁ θάνατος, καὶ θὰ ἐξαλειφθεῖ ὅλη ἡ ἁμαρτία. Ὅτι βέβαια ἔχει πωρωθεῖ ὁ Ἰσραήλ, θὰ κληθεῖ ὅμως τοὺς ἔσχατους καιροὺς τοῦ αἰώνα, ἀφοῦ τὸ λέγει μὲ σαφήνεια καὶ ὁλοκάθαρα ἡ θεόπνευστη Γραφή, εἶναι ἄσκοπο, νομίζω, νὰ ἰσχυρίζεται κανεὶς καὶ νὰ ἀναζητεῖ ὅσα συντελοῦν πρὸς πληροφορία.

> Στίχ. 13. «Ἀκόμα καὶ τώρα ὑπάρχει σ' αὐτὴ (τὴ γῆ τοῦ Ἰσραήλ) τὸ ἕνα δέκατο τοῦ πληθυσμοῦ, ἀλλὰ κι αὐτὸ θὰ παραδοθεῖ στὴ λεηλασία καὶ θὰ ἐρημωθεῖ ὅπως ἡ τερέβινθος καὶ ὅπως τὸ βελανίδι ὅταν πέσει ἀπὸ τὴ θήκη του».

Μᾶς ὑπενθυμίζει καὶ τώρα ὁ προφητικὸς λόγος τὴν ἱστορία ποὺ ἦταν ἀνάγκη, ὅπως φαίνεται, νὰ τὴ διηγηθεῖ· γιατὶ ἔτσι θὰ γίνει σαφὲς αὐτὸ ποὺ δηλώνει. Ὅταν δηλαδὴ ἐξετράτευσαν στὴ χώρα τῶν Ἰουδαίων, ὅπως ἤδη ἔχω πεῖ προηγουμένως, ὁ Βεσπα-

πάνηται μὲν ἡ τῶν Ἰουδαίων χώρα, πόλεσί τε ὁμοῦ καὶ αὐτοῖς οἴκοις ἐμπεπρησμένη, θέαμα δεινόν, καὶ παντὸς οἴκτου μεστὸν τοῖς ὁρῶσιν ἦν, ὀλιγανδρίας ἥκειν εἰς τοῦτο λοιπὸν τὸ ἔθνος αὐτοῖς, ὡς τῆς ἀληθείας οὐκ ἀφαμαρτεῖν τὸν λέγοντα, περιλελεῖφθαι μόλις ἐν αὐτῇ τοῦ παντὸς δήμου τὸ ἐπιδέκατον. Εἶτα διατετελέκασι χρόνους τινὰς τρεφόμενοι μὲν ἐν εἰρήνῃ, πλὴν οὐκ ἔξω δεμάτων, τοῦ καὶ εἰσαῦθις παθεῖν τὴν δήωσιν, ὃ δὴ καὶ γέγονεν. Ἀδριανὸς γὰρ κατὰ καιροὺς τῶν Ῥωμαίων βασιλείας διέπων τοὺς θάκους, καὶ μὴν Ἀντίοχος ἐπίκλην Ἐπιφανής, κατέδραμον τῆς Ἰουδαίων χώρας, καὶ οὐδὲν ἦν ἐν μείοσι τῶν πάλαι κακῶν προσερημουμένων λειψάνων, πεμπομένων εἰς αἰχμαλωσίαν τῶν κατειλημμένων, ὅτε καὶ τὰ τῶν Μακκαβαίων συνέβη γενέσθαι πάθη.

Τῶν τοιούτων διηγημάτων ἡμῖν ποιεῖται τὴν μνήμην ἐν προηγορεύσει πάλιν ὁ τῶν ὅλων Θεὸς καί φησιν· «Ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομήν». Οὐ γὰρ ἔξω φροντίδος κείσεται, φησί, κἂν εἰ ἐν λειψάνοις γένοιτο, καὶ τοῦτο μικροῖς, τῶν Ἰουδαίων ὁ δῆμος, ἀλλ' ἔσται πάλιν εἰς προνομήν. Γενήσεται δὲ ἡ χώρα καὶ τότε πάλιν αὐτοῖς ὡς τερέβινθος, καὶ αὐτοὶ δὲ ὡς βάλανος, ὅτε ἐκπέσῃ ἀπὸ τῆς θήκης αὐτοῦ. Φυτὸν μὲν γὰρ ἡ τερέβινθος, ἀλλ' εἰ γένοιτο τῶν φύλλων ἀποβολή, πολὺ δή λίαν ἔχει τὸ ἀτερπές, ξηροτάτους ἔχων τοὺς κλῶνας. Κατὰ τοῦτον οἶμαι τὸν τρόπον, καὶ χώρα παθοῦσα τῶν ἐνοικούντων αὐτὴν ἐρήμωσιν, ἐν ἴσῳ που πάντως ξηροῖς ἔσται φυτοῖς, τοῖς κατ' αὐτὴν οὐκ ἔχουσι τὴν ἄνθην, ἀλλὰ καὶ αὐτῆς παθούσης τῆς φυλλίδος τὴν ἀποβολήν. Ὁμοίως ἡ βάλανος καρπός μέν ἐστι δρυός, ὅταν δὲ τῆς θήκης ἐκ πέσῃ, τότε παρακείσεται τοῖς εἰωθόσιν αὐτὴν κατανέμεσθαι τῶν ζῴων. Οὐκοῦν ἡ μὲν τῶν Ἰουδαίων χώρα μεμίμηται τὴν τερέβινθον ἀποβαλοῦσαν τὰ φύλλα. Οἱ δὲ ταύτης ἀποπεπτωκότες διὰ τοῦ δραμεῖν εἰς αἰχμαλωσίαν, ὡς βάλανοι κείσονται, μονονουχὶ θήκης ἰδίας ἐκπεπτωκότες τῆς ἐνεγκούσης αὐτούς. Τοιοῦ-

σιανὸς καὶ ὁ Τίτος, καταλεηλατήθηκε ἡ Ἰουδαϊκὴ χώρα, ἀφοῦ πυρπολήθηκαν οἱ πόλεις μαζὶ καὶ τὰ σπίτια, ποὺ ἦταν θέαμα φοβερὸ καὶ προκαλοῦσε οἶκτο σὲ ὅσους τὸ ἔβλεπαν, νὰ φτάσει σὲ τέτοια ὀλιγανθρωπία τὸ ἔθνος τους, ὥστε νὰ μὴν ξεφύγει ἀπὸ τὴν ἀλήθεια αὐτὸς ποὺ θὰ ἔλεγε, ὅτι ἀπόμεινε σ' αὐτὸ ἀπὸ ὅλο τὸν πληθυσμὸ μόνο τὸ ἕνα δέκατο. Στὴ συνέχεια πέρασαν μερικὰ χρόνια ζώντας μὲ εἰρήνη, ὄχι ὅμως χωρὶς κινδύνους νά πάθουν πάλι τὴ λεηλασία, πρᾶγμα βέβαια ποὺ καὶ ἔγινε. Τὸν καιρὸ δηλαδὴ ποὺ τὸν θρόνο τῆς βασιλείας τῶν Ρωμαίων τὸν κατεῖχε ὁ Ἀδριανός, αὐτός, ἀλλὰ καὶ ὁ Ἀντίοχος, ὁ λεγόμενος Ἐπιφανής, ἔκαναν ἐπιδρομὴ στὴ χώρα τῶν Ἰουδαίων, καὶ σὲ τίποτε δὲν ἦταν μικρότερα τὰ κακὰ ἀπὸ τὰ παλαιὰ, καθὼς ξανὰ ἐρημώνονταν τὰ ὅσα εἶχαν ἀπομείνει, στέλνονταν πάλι σὲ ἐξορία ὅσοι αἰχμαλωτίσθηκαν, τότε, ὅταν συνέβησαν καὶ οἱ συμφορὲς τῶν Μακκαβαίων.

Αὐτὰ τὰ γεγονότα φέρνει στὴ μνήμη μας σὲ προαγγελία του πάλι ὁ Θεὸς τῶν ὅλων καὶ λέγει· «Ὑπάρχει ἀκόμα σ' αὐτὴ τὸ ἕνα δέκατο, ἀλλὰ καὶ πάλι θὰ δοθεῖ σὲ λεηλασία». Δὲν θὰ μείνει βέβαια ἔξω ἀπὸ φροντίδα, λέγει, κι ἂν ἀκόμα ἀπομείνουν λείψανα, καὶ μάλιστα μικρά, ἀπὸ τὸ ἔθνος τῶν Ἰουδαίων, ἀλλὰ καὶ πάλι θὰ ὑποστεῖ λεηλασία, καὶ ἡ χώρα θὰ γίνει τότε πάλι ὅπως ἡ τερέβινθος καὶ οἱ κάτοικοί της σὰν βελανίδι ὅταν πέσει ἀπὸ τὴ θήκη του. Ἡ τερέβινθος εἶναι φυτό, ἀλλ' ὅταν πέσουν τὰ φύλλα του δείχνει πολὺ ἄσχημο, ἔχοντας κατάξερα τὰ κλαδιά του. Κατὰ τὸν ἴδιο τρόπο νομίζω καὶ μιὰ χώρα ποὺ ἔπαθε ἐρήμωση ἀπὸ τοὺς κατοίκους της εἶναι ὅμοια μὲ ξερὰ φυτὰ ποὺ δὲν ἔχουν ἄνθη, ἀλλ' ἔχασαν ἀκόμα καὶ τὴ φυλλωσιά τους. Τὸ ἴδιο καὶ τὸ βελανίδι, εἶναι καρπὸς τῆς βελανιδιᾶς, ὅταν ὅμως πέσει ἀπὸ τὴ θήκη του, τότε γίνεται τροφὴ τῶν ζώων ποὺ συνηθίζουν νὰ τὸ τρῶνε. Ὥστε λοιπὸν ἡ χώρα τῶν Ἰουδαίων παρομοιάζεται μὲ τερέβινθο ποὺ τῆς ἔπεσαν τὰ φύλλα., ἐνῶ ὅσοι ἀπομακρύνθηκαν ἀπὸ αὐτὴν φεύγοντας στὴν αἰχμαλωσία, θὰ εἶναι σὰν βελανίδια πεσμένα στὸ χῶμα, ποὺ κατὰ κάποιο τρόπο ἔπεσαν ἀπὸ τὴ θήκη ποὺ τοὺς συγκρατοῦσε. Κάτι παρόμοιο λέγει καὶ ὁ Σολομών·

τόν τι καὶ ὁ Σολομών φησιν· «Ὥσπερ ὄρνεον ὅταν ἐκπέσῃ ἐκ τῆς ἰδίας καλιᾶς, οὕτω καὶ ἄνθρωπος ὅταν ἀποσπασθῇ ἐκ τῶν ἰδίων τόπων». Τί γὰρ ἂν γένοιτο τῶν ἐν αἰχμαλωσίᾳ τὸ οἰκτρότερον; Τί δὲ οὕτως ἐλεεινὸν καὶ πεπατημένον, ὡς ἀνθρώπους ὑπὸ χεῖρα πεσεῖν τῶν κεκρατηκότων;

ΚΕΦ. 7, στίχ. 1. «Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωαθὰμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασσὼν βασιλεὺς Συρίας, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν».

Οἱ τὴν ἐν ταῖς θεοπνεύστοις Γραφαῖς ἱστορίαν ὡς ἔωλον παραιτούμενοι, φεύγουσι κατὰ τὸ εἰκὸς τὸ νοεῖν δύνασθαι, καθ' ὃν προσήκει τρόπον, τὰ ἐν αὐτοῖς γεγραμμένα. Θεωρία μὲν γὰρ πνευματικὴ καλή τε καὶ ὀνησιφόρος καὶ τῆς διανοίας τὸν ὀφθαλμὸν εὖ μάλα καταλαμπρύνουσα νουνεχεστάτους ἀποτελεῖ. Ὅταν δέ τι τῶν ἱστορικῶς πεπραγμένων διὰ τῶν ἱερῶν ἡμῖν Γραμμάτων εἰσφέρηται, τότε δή, τότε τὸ ἐκ τῆς ἱστορίας χρήσιμον θηρᾶσθαι πρέπει, ἵνα πανταχόθεν ἡμᾶς ἡ θεόπνευστος Γραφὴ σώζουσά τε καὶ ὠφελοῦσα φαίνηται. Ἀφηγεῖται τοίνυν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος τὰ ἐν καιροῖς τῆς Ὀζίου βασιλείας συμβεβηκότα τοῖς ἐξ Ἰούδα καὶ Βενιαμείν, καὶ ταῖς ἐν τῇ Σαμαρείᾳ δέκα φυλαῖς, αἳ καὶ Ἐφραΐμ ὠνομάζοντο, καὶ μέντοι καὶ Ἰσραήλ. Ἐπειδὴ δὲ ἐν καιροῖς τεσσάρων βασιλέων ὁ σύμπας τῆς προφητείας γέγονε λόγος, τὰ ἐν τοῖς ἑκάστου καιροῖς συμβαίνοντα τίθησιν ὁ προφήτης, καὶ ἀναγκαίως ἐπισημαίνεται, τάξιν ταῖς ὁράσεσιν, ἤτοι τοῖς ἑαυτοῦ λόγοις, τὴν ἀρίστην ἐπιτιθείς.

Τεθνεῶτος τοιγαροῦν Ἀζαρίου καὶ τοῦ Ὀζίου, διαδέχεται τὴν βασιλείαν Ἰωαθάμ, ἠκολούθησέ τε τῷ σκοπῷ, καὶ τοῖς ἐπιτηδεύμασι τοῦ ἰδίου πατρός. Λέγεται μὲν γὰρ καὶ

«Ὅπως εἶναι ἕνα ἁρπακτικὸ πουλὶ ὅταν πέσει ἀπὸ τὴ φωλιὰ του, ἔτσι εἶναι καὶ ὁ ἄνθρωπος ὅταν ἀπομακρυνθεῖ ἀπὸ τοὺς τόπους του»[1]. Τί δηλαδὴ μπορεῖ νὰ ὑπάρξει πιὸ θλιβερὸ ἀπὸ τὴν αἰχμαλωσία; Καὶ τί εἶναι τόσο θλιβερὸ καὶ περιφρονημένο, ὅσο οἱ ἄνθρωποι ποὺ ἔπεσαν στὰ χέρια τῶν νικητῶν τους;

ΚΕΦ. 7. στίχ. 1. «Καὶ συνέβη τὶς μέρες τοῦ Ἄχαζ, τοῦ υἱοῦ τοῦ Ἰωαθάμ, υἱοῦ τοῦ Ὀζία, τοῦ βασιλιᾶ τοῦ Ἰούδα, νὰ ἔχει ἐξεστρατεύσει ὁ Ραασσών, ὁ βασιλιὰς τῆς Συρίας, καὶ ὁ Φακεέ, υἱὸς τοῦ Ρομελίου, βασιλιὰς τοῦ Ἰσραήλ, ἐναντίον τῆς Ἱερουσαλὴμ γιὰ νὰ τὴν πολεμήσουν καὶ δὲν μπόρεσαν νὰ τὴν κυριεύσουν».

Ὅσοι ἀρνοῦνται ὡς ἕωλη τὴν ἱστορία τῶν θεόπνευστων Γραφῶν ἀποφεύγουν, ὅπως εἶναι εὔλογο, τὴ δυνατότητα νὰ ἐννοοῦν μὲ τὸν τρόπο ποὺ πρέπει ὅσα γράφονται σ' αὐτές. Γιατὶ ἡ πνευματικὴ θεωρία εἶναι καλὴ καὶ ὠφέλιμη καί, καταφωτίζοντας τὰ μάτια τῆς διάνοιας, μᾶς κάνει συνετότατους. Ὅταν ὅμως κάποιο ἀπὸ τὰ ἱστορικὰ γεγονότα μᾶς προσφέρεται μέσω τῶν ἱερῶν Γραμμάτων, τότε λοιπόν, τότε πρέπει νὰ ἐπιδιώκομε τὸ χρήσιμο ἀπὸ τὴν ἱστορία γιὰ ν' ἀποδεικνύεται ἀπὸ παντοῦ ὅτι ἡ θεόπνευστη Γραφὴ σώζει καὶ ὠφελεῖ. Μᾶς ἀφηγεῖται λοιπὸν μὲ αὐτὰ ὁ προφητικὸς λόγος τὰ ὅσα εἶχαν συμβεῖ κατὰ τοὺς χρόνους τῆς βασιλείας τοῦ Ὀζία στὶς φυλὲς τοῦ Ἰούδα καὶ τοῦ Βενιαμὶν καὶ στὶς δέκα φυλὲς ποὺ ζοῦσαν στὴ Σαμάρεια, οἱ ὁποῖες ὀνομάζονταν καὶ Ἐφραΐμ, ἀλλὰ καὶ Ἰσραήλ. Ἐπειδὴ ὅμως ὅλος ὁ προφητικὸς λόγος ἔγινε κατὰ τοὺς χρόνους τῶν τεσσάρων βασιλέων, ὁ προφήτης ἐκθέτει ὅσα συνέβησαν στοὺς χρόνους τοῦ καθενός, καὶ κατ' ἀνάγκην τὰ ἐπισημαίνει, ἐπιβάλλοντας στὶς ὁράσεις του, δηλαδὴ στοὺς λόγους του, τάξη ἄριστη.

Ὅταν λοιπὸν πέθαναν ὁ Ἀζαρίας καὶ ὁ Ὀζίας, διαδέχθηκε τὴ βασιλεία ὁ Ἰωάθαν, ὁ ὁποῖος ἀκολούθησε τὸν σκοπὸ καὶ τὸν τρόπο κυβέρνησης τοῦ πατέρα του. Γιατὶ λέγεται ὅτι κι αὐτὸς

1. Παροιμ. 27, 8.

αὐτὸς ἐν ὀφθαλμοῖς Κυρίου ποιῆσαι τὸ εὐθές, καθὰ καὶ Ὀζίας, πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν, ἀλλ' ἔτι ὁ λαὸς ἐθυμίων ἐν τοῖς ὑψηλοῖς Καὶ ἐζήτησε μὲν Ὀζίας παρὰ τὸ ἐξὸν ἱερατεῦσαι Θεῷ, καὶ προσενεγκεῖν θυμιάματα, καὶ λελέπρωται ταύτης ἕνεκα τῆς αἰτίας. Ἰωαθάμ γε μὴν οὐχ οὕτως. Ἐπειδὴ δὲ καὶ αὐτὸς ἀπεβίω, διαδέχεται τὴν βασιλείαν ὁ Ἄχαζ, βασιλεύοντος ἐπὶ τὸν Ἰσραήλ, τοῦτ' ἔστι τῶν δέκα φυλῶν, Φακεὲ υἱοῦ Ῥομελίου. Οὗτος κεκίνηκε πόλεμον κατὰ τοῦ Ἄχαζ καὶ τοῦ Ἰούδα, καὶ ἀπέκτεινε μὲν ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν καὶ εἴκοσι χιλιάδας. Παρωτρύνετο γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν ταῖς τοῦ Ἄχαζ δυσσεβείαις, περὶ οὗ καὶ γέγραπται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν, ὅτι ἐπορεύθη ἐν ὁδῷ βασιλέως Ἰσραήλ. Γέγονε γὰρ ἀνὴρ δυσσεβής, καὶ λελάτρευκεν εἰδώλοις, καὶ τὰ τέκνα αὐτοῦ διήγαγε διὰ πυρὸς καταθυμιῶν τοῖς ἀκαθάρτοις δαίμοσιν. Ἐν καιροῖς τοιγαροῦν τῆς ἑαυτοῦ βασιλείας συνεφράξαντο κατά τε τῶν Ἱεροσολύμων καὶ Ἰούδα, αὐτός τε Φακεὲ ὁ τοῦ Ῥομελίου, καὶ Ῥαασσὼν βασιλεὺς Ἀράμ, τοῦτ' ἔστι Συρίας. Καὶ ἦλθον ὡς καταδηώσοντες, πλὴν οὐχ εἷλον τὴν πόλιν. Δεδιὼς δὲ τὴν ἔφοδον ἀφόρητον οὖσαν ὁ Ἄχαζ, ἄθροισιν μὲν ποιεῖται χρημάτων πολλήν, πρεσβεύεται δὲ πρὸς τὸν βασιλέα τῶν Ἀσσυρίων Θεγλαφαλλασάρ, ἐπαμύνεσθαί τε αὐτῷ παρακαλεῖ, καὶ καταστρατεύσασθαι τοῦ Ῥαασσών, ὃ δὴ καὶ εἰς πέρας ἐνήνεκται. Ἐλθὼν δὲ Ἀσσύριος εἷλε τὴν Δαμασκόν, ἀπέκτεινε δὲ καὶ τὸν Ῥαασσών.

Τελευτήσαντος δὲ καὶ τοῦ Φακεὲ τοῦ Ῥομελίου τοῦ βασιλεύσαντος κατὰ τὴν Σαμαρείαν ἐπὶ τὸν Ἰσραήλ, διαδέχεται τὸ σκῆπτρον Ὡσηὲ υἱὸς Ἠλα, οὗ βασιλεύσαντος, ἔρχεται κατὰ τὴν Σαμαρείαν Σαλμανασάρ ὁ Ἀσσύριος, καὶ εἷλε μὲν πᾶσαν, ἀπεκόμισε δὲ τὸν Ἰσραὴλ αἰχμάλωτον, καὶ ἀπῴκησεν ἐν τοῖς ὄρεσι Περσῶν καὶ Μήδων· εἶτα τινὰς τῶν ὑφ' ἑαυτῷ κατοικεῖν ἐκέλευσε τὴν Σαμαρείαν, τόν τε ἐκ Χουνθὰ καὶ τὸν Σαπφαρουΐαν. Γέγραπται γὰρ οὕτως ἐν

ἔκανε τὸ σωστὸ στὰ μάτια τοῦ Κυρίου ὅπως καὶ ὁ Ὀζίας, ἀλλὰ δὲν κατάργησε τὰ εἴδωλα καὶ ὁ λαὸς ἀκόμα πρόσφεραν θυμιάματα σ' αὐτά. Καὶ ζήτησε βέβαια ὁ Ὀζίας πέρα ἀπὸ τὸ πρέπον νὰ ἱερατεύσει στὸν Θεὸ καὶ νὰ προσφέρει θυμιάματα, καὶ αὐτὸ ὑπῆρξε ἡ αἰτία γιὰ τὴν ὁποία ἔγινε λεπρός, πρᾶγμα ποὺ ὁ Ἰωάθαμ δὲν ἔκανε. Ὅταν ἀπεβίωσε κι αὐτὸς τὸν διαδέχθηκε στὴ βασιλεία ὁ Ἄχαζ, ἐνῶ στὸν Ἰσραήλ, δηλαδὴ στὶς δέκα φυλές, βασίλευε ὁ Φακεέ, υἱὸς τοῦ Ρομελίου. Αὐτὸς ξεκίνησε πόλεμο ἐναντίον τοῦ Ἄχαζ καὶ τοῦ Ἰούδα καὶ σὲ μιὰ μέρα σκότωσε ἑκατὸν εἴκοσι χιλιάδες. Γιατὶ ὀργίσθηκε ὁ Θεὸς τῶν ὅλων μὲ τὶς δυσσέβειες τοῦ Ἄχαζ, γιὰ τὸν ὁποῖο ἔχει γραφεῖ στὴν τέταρτη τῶν Βασιλειῶν, ὅτι βάδισε τὴν ὁδὸ τοῦ βασιλιᾶ τοῦ Ἰσραήλ. Ἔγινε δηλαδὴ ἄνθρωπος δυσσεβής, λάτρευσε τὰ εἴδωλα καὶ ἔκαψε τὰ παιδιὰ του στοὺς βωμούς, προσφέροντας θυμίαμα στοὺς ἀκάθαρτους δαίμονες. Στὰ χρόνια λοιπὸν τῆς βασιλείας του συμμάχησαν ἐναντίον τῶν Ἱεροσολύμων καὶ τοῦ Ἰούδα αὐτὸς ὁ Φακεέ, υἱὸς τοῦ Ρομελίου, καὶ ὁ Ραασσών, βασιλιὰς τοῦ Ἀράμ, δηλαδὴ τῆς Συρίας, οἱ ὁποῖοι ἦρθαν βέβαια μὲ σκοπὸ νὰ τὴ λεηλατήσουν, ἀλλὰ δὲν κυρίευσαν τὴν πόλη. Ἐπειδὴ ὅμως ὁ Ἄχαζ φοβόταν τὴν ἐκστρατεία ἐναντίον του, ποὺ ἦταν ἀνυπόφορη, ἀφοῦ συγκέντρωσε πολλὰ χρήματα, στέλνει πρεσβεία στὸν βασιλιὰ τῶν Ἀσσυρίων Θεγλαφολλασὰρ καὶ τὸν παρακαλεῖ νὰ τὸν βοηθήσει καὶ νὰ ἐκστρατεύσει ἐναντίον τοῦ Ραασσών, πρᾶγμα βέβαια ποὺ καὶ ἔγινε. Μεταβαίνοντας ἐκεῖ ὁ Ἀσσύριος, κυρίευσε τὴν Δαμασκὸ καὶ σκότωσε καὶ τὸν Ραασσών.

Μετὰ τὸ θάνατο καὶ τοῦ Φακεέ, τοῦ υἱοῦ τοῦ Ρομελίου, ποὺ ἦταν βασιλιὰς τοῦ Ἰσραὴλ στὴ Σαμάρεια, τὸν διαδέχθηκε στὸν θρόνο ὁ Ὡσηέ, υἱὸς τοῦ Ἤλα, ποὺ ὅταν αὐτὸς ἦταν βασιλιὰς ἐξεστράτευσε ἐναντίον τῆς Σαμάρειας ὁ Σαλμανασσὰρ ὁ Ἀσσύριος, ὁ ὁποῖος τὴν κυρίευσε ὅλη, αἰχμαλώτισε τοὺς Ἰσραηλῖτες, καὶ τοὺς ἐγκατέστησε στὰ ὅρια Περσῶν καὶ Μήδων. Στὴ συνέχεια διέταξε κάποιους ὑπηκόους του νὰ κατοικήσουν τὴ Σαμάρεια, τὸν Χουνθὰ καὶ τὸν Σαπφαρουΐα· γιατὶ ἔτσι ἔχει γραφεῖ στὶς Βα-

ταῖς Βασιλείαις, καὶ μακρὸς μὲν ὁ ἐφ' ἑκάστῳ τῶν εἰρημένων λόγος παρά γε τῇ θεοπνεύστῳ Γραφῇ, πλὴν πεποίημαι τὴν ἀφήγησιν βραχυλογήσας ὡς ἔνι. Ἐροῦμεν δὲ καὶ ἀνὰ μέρος ἕκαστα, ταῖς τῶν προκειμένων ἐννοίαις ἑπόμενοι. Ἐν ταῖς ἡμέραις τοίνυν, φησίν, Ἄχαζ τοῦ Ἰωαθὰμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, συμπεφωνήκασιν ὅ τε Ῥαασσὼν βασιλεὺς Ἀράμ, τοῦτ' ἔστι Συρίας, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραήλ, κατὰ τῶν Ἱεροσολύμων, ἀφίκοντο δὲ καταδηώσοντες, πλὴν οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν Εἴρηται δὲ ταῦτα τέως ἐν προγραφῆς δυνάμει, καὶ ὡς ἐν ἀφηγήσει τοῦ συμβεβηκότος. Δηλοῖ γὰρ τὴν σκέψιν καὶ αὐτὸ δὲ τὸ ἐγχείρημα, προσεπάγει δὲ παραχρῆμα καὶ τὸ τοῦ πράγματος πέρας· Οὐ γὰρ ἠδυνήθησαν, φησί, πολιορκῆσαι αὐτήν.

Στίχ. 2. «Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ λέγοντες, Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ».

Ὁρισάμενος, ὡς ἔφην, τῶν διηγημάτων τὴν πρόφασιν, καὶ ὡς ἐν βραχεῖ κεφαλαίῳ συλλήβδην εἰπὼν τὸ ἐγχείρημα τῶν δύο βασιλέων, καὶ ὅτι πρὸς πέρας αὐτοῖς οὐκ ἐκβέβηκεν ὁ σκοπός, ἄρχεται λοιπὸν ἀνὰ μέρος ἕκαστα κατισχνοῦν τῷ λόγῳ. «Ἀνηγγέλη» γάρ, φησίν, «εἰς τὸν οἶκον Δαβίδ», τοῦτ' ἔστι τὸν βασιλεύοντα, καὶ ἀπήγγελλον ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ. Ἀρὰμ δέ φησι τὸν Σύρον, καὶ Ἐφραΐμ ὁμοίως τὰς ἐν Σαμαρείᾳ δέκα φυλάς Ἐπειδὴ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐπύθετο καὶ πεπίστευκεν ὁ οἶκος Δαβίδ, τοῦτ' ἔστιν ὁ Ἄχαζ. «Ἐξέστη ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ». Τὸ δέ, «ἐξέστη», τίθησι κοινῶς, ἀντὶ τοῦ, "κατεπλάγη", καὶ μικρὸν καὶ αὐτῆς

σιλεῖες, καὶ εἶναι μακρὸς βέβαια ὁ λόγος στὴ θεόπνευστη γραφὴ γιὰ καθένα ἀπὸ ὅσα εἴπαμε, ὅμως ἔκανα τὴν ἀφήγησή μου βραχυλογώντας ὅσο ἦταν δυνατόν. Θὰ μιλήσομε φυσικὰ καὶ γιὰ τὸ καθένα ξεχωριστά, ἀκολουθώντας τὴ σειρὰ ποὺ ἀκολουθοῦν τὰ ἐξεταζόμενα. Κατὰ τὶς ἡμέρες λοιπόν, λέγει, τοῦ Ἄχαζ[2], τοῦ υἱοῦ τοῦ Ἰωαθάν, υἱοῦ τοῦ Ὀζία, βασιλιᾶ τοῦ Ἰούδα, ἦρθαν σὲ συμφωνία ὁ Ραασσών, ὁ βασιλιὰς τοῦ Ἀρὰμ, δηλαδὴ τῆς Συρίας, καὶ ὁ Φακεέ, υἱὸς τοῦ Ρομελίου, βασιλιὰς τοῦ Ἰσραήλ, νὰ ἐπιτεθοῦν ἐναντίον τῆς Ἰερουσαλήμ· καὶ ἐξεστράτευσαν φυσικὰ μὲ σκοπὸ νὰ τὴ λεηλατήσουν, πλὴν ὅμως δὲν μπόρεσαν νὰ τὴν κυριεύσουν. Αὐτὰ βέβαια εἰπώθηκαν τώρα σὰν ἕνα εἶδος προλόγου καὶ σὰν ἀφήγηση τοῦ γεγονότος. Γιατὶ τὸ ἴδιο αὐτὸ τὸ ἐγχείρημα φανερώνει τὴ σκέψη, προσθέτει ὅμως ἀμέσως καὶ τὸ τέλος τοῦ ἐγχειρήματος. Γιατὶ δὲν μπόρεσαν, λέγει, νὰ τὴν κυριεύσουν.

> Στίχ. 2. «Ἔφτασε μήνυμα στὸν οἶκο τοῦ Δαβὶδ ποὺ ἔλεγε· Συμφώνησε ὁ Ἀρὰμ μὲ τὸν Ἐφραΐμ, καὶ ταράχθηκε ἡ ψυχὴ τοῦ βασιλιᾶ καθὼς καὶ ἡ ψυχὴ τοῦ λαοῦ του, μὲ τὸν τρόπο ποὺ συγκλονίζεται τὸ δένδρο στὸ δάσος ἀπὸ τὸν ἄνεμο».

Ἀφοῦ προσδιόρισε, ὅπως εἶπα, τὴν αἰτία τῶν διηγήσεων καὶ ἀφοῦ ἀνέφερε ὅλη τὴν ἐπιχείρηση τῶν δύο βασιλέων σὲ περίληψη καὶ εἶπε ὅτι δὲν πραγματοποιήθηκε ὁ σκοπός της, ἀρχίζει πιὰ νὰ ἐξιστορεῖ τὸ καθένα ξεχωριστὰ καὶ μὲ λεπτομέρεια. Γιατὶ λέγει, «Ἔφτασε ἀγγελία στὸν οἶκο τοῦ Δαβίδ», δηλαδὴ στὸν βασιλιά, καὶ τοῦ εἶπαν, ὅτι συμφώνησε ὁ Ἀρὰμ μὲ τὸν Ἐφραΐμ. Ἀρὰμ ὀνομάζει τὸν Σύρο, καὶ Ἐφραΐμ ὁμοίως τὶς δέκα φυλὲς ποὺ κατοικοῦσαν στὴ Σαμάρεια. Ὅταν αὐτὰ ἔγιναν μ᾽ αὐτὸν τὸν τρόπο καὶ τὰ πληροφορήθηκε, πίστεψε ὁ οἶκος τοῦ Δαβίδ, δηλαδὴ ὁ Ἄχαζ. «Ταράχθηκε ἡ ψυχὴ τοῦ βασιλιᾶ καθὼς καὶ ἡ ψυχὴ τοῦ λαοῦ του κατὰ τὸν ἴδιο τρόπο μὲ τὸ δένδρο ποὺ σαλεύεται στὸ δάσος ἀπὸ τὸν ἄνεμο». Τὸ «ταράχθηκε» τὸ λέγει μὲ κοινὴ ἔννοια ἀντὶ τοῦ "κυριεύθηκε ἀπὸ ἔκπληξη", καὶ σχεδὸν ἔχασε τὰ

2. Δ΄ Βασ. 16, 20.

ἐκπέπτωκε φρενός. Τὰ γάρ τοι δεινὰ τῶν δειμάτων ἱκανά πώς ἐστι εἰς τὸ κατασεῖσαι δύνασθαι τὸν νοῦν, καὶ καταδονῆσαι τὴν ψυχήν, καί τι τοιοῦτον ὑπομεῖναι δοκεῖν, ὁποῖον ἂν πάθοι καὶ τὸ ἐν δρυμοῖς ξύλον, πνευμάτων ἀγρίων προσβολαῖς. τῇδέ τε κἀκεῖσε διαρριπτούμενον. Γέγονε δὲ μάλιστα τῆς δειλίας ἡ πρόφασις, ἤτοι τῆς ἐκστάσεως αὐτῷ τὸ συμβεβηκός. Ἤδη γὰρ ἔφην, ὅτι βασιλεύοντος αὐτοῦ, πεπολεμήκει πρὸς τὸν Ἰούδαν ὁ Φακεέ, καὶ ἀνεῖλεν ἐκ τοῦ λαοῦ ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν εἴκοσι χιλιάδας. Ὅτε τοίνυν καὶ μόνος ὁ Φακεὲ τοσοῦτος γέγονεν, ὡς κατισχῦσαι ῥᾳδίως τῶν ἐν τοῖς Ἱεροσολύμοις, πῶς οὐκ ἔδει τὸν ἐν τοῖς ἐσχάτοις ἐνδείξασθαι φόβον, αὐτόν τε τὸν Ἄχαζ καὶ τὸν ἐπ᾽ αὐτῷ λαόν, συμπεφωνηκότος τοῦ Σύρου καὶ συνεξοπλίζοντος τῷ Ἐφραΐμ μετὰ τῶν Ἱεροσολύμων;

Στίχ 3-4. «Καὶ εἶπε Κύριος πρὸς Ἡσαΐαν· Ἔξελθε εἰς συνάντησιν Ἄχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοῦν ὁ υἱός σου, πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ κναφέως, καὶ ἐρεῖς αὐτῷ· Φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι».

Οἰκτείρων ὄντως καὶ ἐλεήμων ὁ Κύριος, «καὶ πάντας ἀνθρώπους ἐθέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», οἰκονομεῖ δὲ πάντα σοφῶς καὶ καταλειαίνων ἑκάστῳ τῆς σωτηρίας τὴν ὁδόν. Καὶ τοῦτο ἡμῖν ἐξ αὐτῶν ἔνεστι τῶν πραγμάτων οὕτως ἔχον ἰδεῖν. Ἀνὴρ μὲν γὰρ γέγονεν εἰδωλολάτρης ὁ Ἄχαζ, βδελυρὸς καὶ βέβηλος. Ἐπειδὴ δὲ ἦν ἐν ἀφύκτοις ἤδη κακοῖς, καὶ μονονουχὶ μεθύοντα ταῖς συμφοραῖς ὁ φιλοικτείρμων τεθέαται, προστίθησιν εὐθὺς τὸ ἐξεῖναι μεταλαχεῖν τῆς παρ᾽ αὐτοῦ σωτηρίας, ὑπι-

λογικὰ του. Γιατὶ οἱ τρομεροὶ φόβοι εἶναι ἱκανοὶ νὰ συγκλονίίσουν τὸν νοῦ καὶ νὰ συνταράξουν τὴν ψυχή, καὶ νὰ φαίνεται ὅτι ἔχει πάθει κάτι τέτοιο ποὺ μπορεῖ νὰ πάθει τὸ δένδρο στὸ δάσος ποὺ τὸ πηγαίνουν οἱ ἄγριοι ἄνεμοι μὲ τὸ φύσημα τους πότε ἀπὸ τὴ μιὰ καὶ πότε ἀπὸ τὴν ἄλλη. Καὶ αἰτία τῆς δειλίας του, δηλαδὴ τῆς ταραχῆς του, ὑπῆρξε κυρίως τὸ συμβάν. Γιατὶ ἤδη ἔχω πεῖ, ὅτι ὅταν βασίλευε αὐτὸς εἶχε ἐκστρατεύσει ἐναντίον τοῦ Ἰούδα ὁ Φακεὲ καὶ σκότωσε ἀπὸ τὸ λαὸ σὲ μιὰ ἡμέρα ἑκατὸν εἴκοσι χιλιάδες. Ὅταν λοιπὸν καὶ μόνος του ὁ Φακεὲ εἶχε τόση δύναμη, ὥστε νὰ ὑπερισχύει καὶ νὰ νικᾶ εὔκολα τοὺς Ἱεροσολυμῖτες, πῶς ἦταν δυνατὸ νὰ μὴ δείξει τὸν στὸ ἀποκορύφωμα φόβο καὶ ὁ ἴδιος ὁ Ἄχαζ καὶ ὁ λαός του, τὴ στιγμὴ ποὺ εἶχε συνάψει συμφωνία ὁ Σύρος καὶ ἐξεστράτευσε μαζὶ μὲ τὸν Ἐφραὶμ ἐναντίον τῶν Ἱεροσολύμων;

> Στίχ. 3-4. «Εἶπε τότε ὁ Κύριος στὸν Ἡσαΐα· Πήγαινε νὰ συναντήσεις τὸν Ἄχαζ, ἐσὺ καὶ ὁ Ἰασοῦν, ὁ υἱός σου ποὺ σοῦ ἔχει ἀπομείνει, κοντὰ στὴ δεξαμενὴ ποὺ βρίσκεται στὸ ἄνω μέρος τοῦ δρόμου πρὸς τὸν ἀγρὸ τοῦ κναφέα, καὶ θὰ τοῦ πεῖς· Φυλάξου καὶ ἡσύχασε, καὶ μὴ φοβᾶσαι οὔτε νὰ δειλιάσει ἡ ψυχή σου ἀπὸ αὐτὰ τὰ δύο σβησμένα δαυλιὰ ποὺ καπνίζουν. Γιατί, ὅταν ἡ ὀργή μου ἱκανοποιηθεῖ μὲ τὴν τιμωρία σας, θὰ σᾶς θεραπεύσω πάλι ἀπὸ τὰ τραύματά σας».

Ὄντας πραγματικὰ σπλαχνικὸς καὶ πολυέλεος ὁ Κύριος, «καὶ θέλοντας νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ φτάσουν στὴν ἐπίγνωση τῆς ἀλήθειας»[3], οἰκονομεῖ τὰ πάντα μὲ σοφία καὶ καθιστᾶ ὁμαλὴ γιὰ τὸν καθένα τὴν ὁδὸ τῆς σωτηρίας. Κι αὐτὸ μποροῦμε νὰ δοῦμε ὅτι εἶναι ἔτσι ἀπὸ τὰ ἴδια τὰ πράγματα. Γιατὶ ὁ Ἄχαζ εἶχε γίνει εἰδωλολάτρης, καὶ ὑπῆρξε βδελυρὸς καὶ βέβηλος. Ἐπειδὴ ὅμως βρισκόταν σὲ ἀναπόφευκτα πλέον δεινὰ καὶ τὸν εἶχε δεῖ ὁ φιλεύσπλαχνος νὰ τρικλίζει κατὰ κάποιο τρόπο μεθυσμένος ἀπὸ τὶς συμφορές, προσθέτει ἀμέσως τὴ δυνατότητα

3. Α΄ Τιμ. 2, 4.

σχνεῖται δὲ τὴν ἐπικουρίαν, ἵνα παύσῃ μανίας εἰδωλομανοῦς, καὶ ἀποσχέσθαι παρασκευάζῃ τῶν ἤδη προσεπταισμένων, καὶ τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐκδέξασθαι φῶς. Προστάττει τοίνυν ὁ προφήτης ὑπαντῆσαί τε αὐτῷ συνόντος Ἰασοῦν, ὃς ὑπόλειμμα καὶ ὑπολελειμμένος ἑρμηνεύεται, μονονουχὶ τοῦ τύπου σημαίνοντος ὡς ἐν συμβόλῳ τῷ Ἄχαζ, ὅτι σωθήσεται τὸ ὑπόλειμμα τοῦ Ἰούδα μετὰ Θεοῦ μεμενηκός. Θεοῦ γὰρ εἰς τύπον ὁ προφήτης λαμβάνεται, εὖ δὲ δὴ σφόδρα τῆς ἐπικουρίας ποιεῖται τὴν ὑπόσχεσιν ἐπὶ τῇ κολυμβήθρᾳ τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ κναφέως. Τύπος δὲ πάλιν ἡ κολυμβήθρα τῆς σωτηρίου πηγῆς τοῦ ἁγίου βαπτίσματος, ἣ καὶ εἰς ὁδὸν ἡμᾶς ἀποφέρει τὴν ἄνω, καὶ τοῦ νοητοῦ κναφέως, τοῦτ' ἔστι τοῦ πάντα ῥύπον ἡμῶν ἐκμήχοντος καὶ ἀπαλλάττοντος μολυσμῶν.

Ἀσφαλὴς οὖν ἡ ὑπόσχεσις, καὶ ὡς ἐν τύπῳ τῆς μερικῆς τῆς καθόλου καὶ διὰ Χριστοῦ σοφὸν δέδοται τῷ προφήτῃ τὸ αἴνιγμα. Φησὶ δὲ τό, «Φυλάσσου τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων». Καὶ τὸ μὲν ἐπιτάττειν ἠρεμεῖν καὶ φροντίδων δίχα διατελεῖν, καὶ μὴν καὶ δειμάτων ἀπαλλάττεσθαι χαλεπῶν, καλοῦντος ἦν ἄρα καὶ μάλα ἐμφρόνως εἰς εὐπείθειαν, καὶ οἱονεὶ εἰς ἀρχὰς ἀναφέροντος τοῦ χρῆναι τιμᾶν τοὺς περὶ Θεοῦ λόγους, καὶ οἷς ἂν λέγοι τὸ ἀληθὲς ἑτοίμως ἐπιψηφίζεσθαι. Δαλοὺς δὲ καὶ ξύλα καπνιζόμενα καλεῖ τοὺς κατ' αὐτοῦ συμπεφωνηκότας, ὡς ὅσον οὐδέπω πεπαυσομένους καὶ αὐτοῦ τοῦ εἶναι καὶ τῆς βασιλείας. Ὥσπερ γὰρ ξύλον, ἤγουν ὁ δαλός, ὅταν ἐξέληται τοῦ πυρός, καπνίζεται μέν, πλὴν ἐν καταλήξει γίνεται τοῦ καὶ ἔτι τὸ πῦρ ἔχειν ἐν ἑαυτῷ, κατὰ τὸν ἴσον, οἶμαι, τοντονὶ τρόπον καὶ ἄνθρωπος μέλλων ἢ ζωῆς ἢ πράγματος ἐν καταλήξει γίνεσθαι, λέγοιτ' ἂν εἰκότως δαλὸς ἢ ξύλον

νὰ ἐπιτύχει ἀπὸ αὐτὸν τὴ σωτηρία, καὶ τοῦ ὑπόσχεται βοήθεια, γιὰ νὰ παύσει τὴν τρελλὴ εἰδωλομανία του, καὶ τὸν προετοιμάζει ν' ἀπομακρυνθεῖ ἀπὸ τὰ μέχρι τότε πταίσματά του καὶ νὰ δεχθεῖ τὸ φῶς τῆς ἀληθινῆς θεογνωσίας. Προστάζει λοιπὸν νὰ τὸν συναντήσει ὁ προφήτης συνοδευόμενος ἀπὸ τὸ υἱό του Ἰασοῦν, ὄνομα ποὺ ἑρμηνευόμενο σημαίνει "ὑπόλειμμα" καὶ "αὐτὸς ποὺ ἔχει ἀπομείνει", ὑποδηλώνοντας ὁ τύπος κατὰ κάποιο τρόπο μὲ σύμβολο τὸν Ἄχαζ, ὅτι θὰ σωθεῖ τὸ ὑπόλειμμα τοῦ Ἰούδα μένοντας μὲ τὸν Θεό. Γιατὶ ὁ προφήτης χρησιμοποιεῖται ὡς τύπος τοῦ Θεοῦ, καὶ ἄριστα δίνει τὴν ὑπόσχεση τῆς βοήθειας στὴ δεξαμενὴ ποὺ βρίσκεται στὸν ἐπάνω δρόμο πρὸς τὸν ἀγρὸ τοῦ κναφέα. Ἡ δεξαμενὴ (κολυμβήθρα) πάλι εἶναι τύπος τῆς σωτήριας πηγῆς τοῦ ἁγίου βαπτίσματος, ἡ ὁποία καὶ μᾶς ὁδηγεῖ στὴν ἄνω ὁδό, τὴν ὁδὸ τοῦ νοητοῦ κναφέα, δηλαδὴ αὐτοῦ ποὺ καθαρίζει ἀπὸ πάνω μας κάθε ρύπο καὶ μᾶς ἀπαλλάσσει ἀπὸ τοὺς μολυσμούς.

Εἶναι λοιπὸν ἀσφαλὴς ἡ ὑπόσχεση καὶ μὲ τὸν τύπο τῆς μερικῆς δίνεται μὲ τὸν προφήτη μὲ σοφὸ αἴνιγμα ἡ ὑπόσχεση τῆς καθολικῆς καὶ μέσω τοῦ Χριστοῦ σωτηρίας. Καὶ τοῦ λέγει· «Φυλάξου καὶ ἡσύχασε, καὶ μὴ φοβᾶσαι, οὔτε ἡ ψυχή σου νὰ δείξει δειλία μπροστὰ στὰ δύο αὐτὰ σβησμένα δαυλιὰ ποὺ καπνίζουν». Καὶ ἡ διαταγὴ βέβαια γιὰ ἠρεμία καὶ γιὰ ζωὴ χωρὶς φροντίδες καὶ ἡ ἀπαλλαγὴ ἀπὸ φόβους φοβερούς, εἶναι ἐκείνου ποὺ καλεῖ καὶ μὲ πολλὴ φρόνηση σὲ ὑπακοὴ καὶ κατὰ κάποιο τρόπο ἀνεβάζει στὸν κανόνα, ὅτι πρέπει νὰ τιμοῦμε τοὺς λόγους σχετικὰ μὲ τὸν Θεό, καὶ νὰ δεχόμαστε μὲ προθυμία ὅτι ὅσα λέγει εἶναι ἀλήθεια. Δαυλοὺς πάλι καὶ ξύλα ποὺ καπνίζουν ὀνομάζει ἐκείνους ποὺ συμφώνησαν μεταξύ τους ἐναντίον του, οἱ ὁποῖοι ὅπου νἆναι θὰ παύσουν καὶ νὰ ὑπάρχουν καὶ νὰ ἔχουν τὴ βασιλεία. Ὅπως δηλαδὴ τὸ ξύλο, ἤτοι τὸ δαυλί, ὅταν σβήσει, καπνίζει βέβαια ἀκόμα, ἀλλὰ βρίσκεται πρὸς τὸ τέλος της ἡ φωτιὰ ποὺ ἔχει ἀκόμα μέσα του, κατὰ τὸν ἴδιο αὐτὸ τρόπο, νομίζω, καὶ ὁ ἄνθρωπος, μέλλοντας νὰ φτάσει στὸ τέλος ἢ τῆς ζωῆς του ἢ κάποιου ἄλλου πράγματος, εὔλογα θὰ μποροῦσε νὰ λέγεται δαυλὶ ἢ ξύλο ποὺ

καπνιζόμενον ἔτι. Ἐπειδὴ δὲ ἠπίστοιτο περιδεεῖς μάλιστα γεγονότας καὶ ἐν κατηφείᾳ πολλῇ, διά τε τὸ ἡττᾶσθαι μεμαχημένους πρὸς Φακεέ, ὅτε καὶ πεπτώκασιν, ὡς ἔφην, ἑκατὸν εἴκοσι χιλιάδες ἐκ τοῦ Ἰούδα ἐν ἡμέρᾳ μιᾷ, καὶ τούτων ἐξίστησι τῶν δειμάτων αὐτούς, καί φησιν· «Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι»· τοῦτ' ἔστιν οὐδ' ἂν ἐκεῖνοι πεπτώκασιν, εἰ μὴ δέδωκεν αὐτοὺς ὑπὸ χεῖρα τῶν ἐχθρῶν θυμὸς ἐμός Ἀλλ', εἰ γένοιτο, φησί, τὰ ἐξ ὀργῆς κατά τινων, ἰάσομαι πάλιν τοὺς πεπονθότας. Ὁ γὰρ παραδοὺς ἐξ ὀργῆς, ἐξελεῖται ῥᾳδίως δι' ἔμφυτον ἡμερότητα καὶ φιλανθρωπίαν.

Στίχ 5-7. «Καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν περὶ σοῦ λέγοντες, Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτοῖς τὸν υἱὸν Ταβεήλ, τάδε λέγει Κύριος Σαβαώθ· Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται».

Οὔτε τῶν κατ' αὐτοῦ σκευωρημάτων τὴν ἀπαγγελίαν ἀπιστεῖσθαι συγχωρεῖ, οὔτε μὴν ἐφίησι περισσῶς συνθραύεσθαι δείματι, βεβαιώσας δὲ μᾶλλον καὶ ἀληθεῖς ἀποφήνας τὰς κατ' αὐτοῦ συναινέσεις, ἤγουν συμφωνίας, τῶν δύο βασιλέων, ὑπισχνεῖται τὴν ἐπικουρίαν μετατάττων ἐπὶ τὸ ἐπ' αὐτῶν μᾶλλον ἐρηρεῖσθαι δεῖν, καὶ μὴ ταῖς τῶν εἰδώλων προσκεῖσθαι λατρείαις καὶ τοῖς τῶν ψευδομαντέων λόγοις, οἳ μυρία μὲν ὅσα κατὰ γνώμην φασὶ τοῖς τὰς πεύσεις προσάγουσι, λαλοῦσί γε μὴν τῶν ἀληθῶν οὐδέν. Ὅτι τοίνυν ἐβουλεύσαντο, φησίν, ἀνελθεῖν μὲν εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλῆσαι τοῖς ὑπὸ χεῖρα σήν, ἀναπεῖσαί τε ταῖς αὐτῶν ἔπεσθαι γνώμαις, ἀληθὲς καὶ ὡμολογημένον. Βούλονται γὰρ ἐπιστῆσαι τὸν τοῦ Ταβεὴλ υἱόν.

καπνίζει ἀκόμα. Ἐπειδὴ ὅμως γνώριζε ὅτι εἶχαν κυριευθεῖ ἀπὸ πάρα πολὺ μεγάλο φόβο καὶ ἡ στεναχώρια τους ἦταν μεγάλη, ἐπειδὴ νικήθηκαν πολεμώντας μὲ τὸν Φακεέ, ὅταν, ὅπως εἶπα, καὶ ἔπεσαν ἑκατὸν εἴκοσι χιλιάδες ἄνθρωποι ἀπὸ τό βασίλειο τοῦ Ἰούδα σὲ μιὰ ἡμέρα, τοὺς ἀπαλλάσσει κι ἀπὸ αὐτοὺς τοὺς φόβους καὶ λέγει· «Ὅταν ἡ ὀργή μου ἱκανοποιηθεῖ μὲ τὴν τιμωρία σας, πάλι θὰ θεραπεύσω τὰ τραύματά σας»· δηλαδὴ οὔτε ἐκεῖνοι θὰ ἔπεφταν, ἂν δὲν τοὺς παρέδινε ὁ θυμός μου στὰ χέρια τῶν ἐχθρῶν. Ἀλλά, ἂν πραγματοποιηθοῦν τὰ σχεδιασμένα ἀπὸ τὴν ὀργή μου ἐναντίον κάποιων, ἐγὼ πάλι θὰ θεραπεύσω ἐκείνους ποὺ ἔχουν κακοπαθήσει. Γιατὶ ἐκεῖνος ποὺ τοὺς παρέδωσε στοὺς ἐχθροὺς ἐξαιτίας τῆς ὀργῆς του, θὰ τοὺς σώσει εὔκολα ἐξαιτίας τῆς ἔμφυτης ἀγαθότητας καὶ φιλανθρωπίας του.

Στίχ. 5-7. «Καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ρομελίου, ἐπειδὴ ἔκαναν κακὲς σκέψεις γιὰ σένα, λέγοντας, Θὰ βαδίσομε ἐναντίον τῆς Ἰουδαίας, κι ἀφοῦ μιλήσομε μαζί τους, θὰ τοὺς πάρομε μὲ τὸ μέρος μας καὶ θὰ τοὺς ἐπιβάλομε ὡς βασιλέα τὸν υἱὸ τοῦ Ταβεήλ, αὐτὰ λέγει ὁ Κύριος τῶν δυνάμεων· Δὲν θὰ εὐοδωθεῖ αὐτὴ ἡ ἀπόφαση, δὲν θὰ πραγματοπιηθεῖ».

Οὔτε τὸ μήνυμα τῆς ἐναντίον του σκευωρίας ἐπιτρέπει νὰ μὴ γίνει πιστευτό, οὔτε τοὺς ἀφήνει νὰ συντρίβονται περισσότερο ἀπὸ τὸν φόβο, ἀλλὰ μᾶλλον, ἀφοῦ τὸν ἐπιβεβαίωσε καὶ ἀπέδειξε ὅτι εἶναι ἀληθινὲς οἱ ἐναντίον του συνεννοήσεις, δηλαδὴ συμφωνίες, τῶν δύο βασιλέων, ὑπόσχεται τὴ βοήθειά του, πείθοντάς τον ὅτι πρέπει νὰ στηριχθεῖ σ' αὐτές, καὶ νὰ μὴ μείνει προσκολλημένος στὴ λατρεία τῶν εἰδώλων καὶ στὰ λόγια τῶν ψευδομάντεων, οἱ ὁποῖοι μύρια ὅσα σύμφωνα μὲ τὴ γνώμη τους λένε σὲ ἐκείνους ποὺ τοὺς ὑποβάλλουν τὶς ἐρωτήσεις τους, δὲν λένε ὅμως καμμιὰ ἀλήθεια. Ὅτι λοιπὸν σκέφθηκαν νὰ βαδίσουν ἐναντίον τῆς Ἰουδαίας καὶ νὰ συνομιλήσουν μὲ τοὺς ὑποταγμένους σ' αὐτοὺς καὶ νὰ τοὺς πείσουν νὰ δεχθοῦν τὶς δικές τους γνῶμες, αὐτὸ εἶναι ἀληθὲς καὶ ὁμολογημένο. Γιατὶ θέλουν νὰ βάλουν στὸ θρόνο τὸ

Ἀλλ' οὐκ ἔσται τοῦτο, φησίν. Καὶ τίς ὁ ὑπισχνούμενος; Κύριος Σαβαώθ, τοῦτ' ἔστι, Κύριος τῶν δυνάμεων, ἤτοι ἐκ στρατιῶν, οὗ δὴ συννεύοντος τὸ χρῆναι νικᾷν, οἷς ἂν ἕλοιτο τυχόν, τίς ὁ ἀναστρέψων τὰ ἐψηφισμένα; Καὶ τοῖς θείοις αὐτοῦ κρίμασιν, τίς ὁ ἀντεξάγειν δυνάμενος; Βεβαιοῖ τοιγαροῦν εἰς πίστιν τοὺς ἀπίστους ἔτι. Οὐ γὰρ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες, καθὰ καὶ αὐτὸς εἴρηκεν ὁ Σωτήρ. Ἰστέον δὲ ὅτι υἱὸν μὲν τοῦ Ἀρὰμ τὸν Σύρον ἀποκαλεῖ, τοῦτ' ἔστι τὸν Ῥαασσών, τοῦ γε μὴν Ῥομελίου τὸν Φακεέ, ὃς βεβασίλευκεν ἐπὶ τὸν Ἰσραήλ, τοῦτ' ἔστι τῶν δέκα φυλῶν ἐν τῇ Σαμαρείᾳ.

Στίχ. 8-9. «Ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσών· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν, ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ Ἐφραΐμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων, υἱὸς τοῦ Ῥομελίου. Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε».

Τοῖς διατρανοῦν ἐθέλουσι τἄ ἐν τῇ θεοπνεύστῳ Γραφῇ, χρεία δὴ πάντως καὶ ἀφηγήσεως ἱστοριῶν, ἵνα πανταχόθεν τὸ ἀληθὲς τοῖς θείοις ἕπηται λόγοις. Ἐξηγεῖται τοίνυν ὁ προφήτης τἄ ἐν τοῖς ἱεροῖς Γράμμασι, δι' ὧν ἔστι μάλιστα ταῖς τῶν προκειμένων ἐννοίαις ἄριστα προσβαλεῖν. Οὐκοῦν ἐν καιροῖς βασιλείας τοῦ Ἄχαζ συμπεφωνήκασι μὲν μετὰ τοῦ Ἰούδα καὶ τῶν Ἱεροσολύμων ὅ τε Ῥαασσὼν βασιλεὺς Συρίας καὶ Δαμασκοῦ, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεύων ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ Σαμαρείᾳ. Δεδιὼς τοίνυν τὴν ἔφοδον ὁ Ἄχαζ, πείθει χρήμασι τὸν Θεγλαφαλλασὰρ τῶν Ἀσσυρίων βασιλέα ἐπαμῦναί τε ἑαυτῷ, καὶ τῶν συμπεφωνηκότων ἀνατρέψαι τὴν ἔφοδον. Ὃς καὶ ἐλθὼν ἀνεῖλε μὲν τὴν Δαμασκόν, μητρόπολιν οὖσαν τῶν Σύρων, ἀπέκτεινε δὲ καὶ αὐτὸν τὸν Ῥαασσών. Ἀποθανόντος δὲ καὶ τοῦ Φα-

υἱὸ τοῦ Ταβεήλ. Ἀλλὰ δὲν θὰ γίνει αὐτό, λέγει. Καὶ ποιὸς εἶναι αὐτὸς ποὺ ὑπόσχεται; Ὁ Κύριος Σαβαώθ, δηλαδὴ Κύριος τῶν δυνάμεων, ἤτοι τῶν στρατιῶν, καὶ ἂν αὐτὸς συγκατανεύσει στὸ νὰ νικήσουν αὐτοὶ ποὺ τυχὸν θὰ θελήσει, ποιὸς θὰ ἀλλάξει τὶς ἀποφάσεις του; Καὶ ποιὸς μπορεῖ νὰ ἀντιταχθεῖ στὶς θεϊκὲς ἀποφάσεις του; Στερεώνει λοιπὸν στὴν πίστη ἐκείνους ποὺ ἦταν ἀκόμα ἄπιστοι. Γιατί, ὅπως εἶπε ὁ ἴδιος ὁ Σωτήρας, «Δὲν χρειάζονται γιατρὸ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἄρρωστοι»[4]. Πρέπει ὅμως νὰ γνωρίζομε, ὅτι υἱὸ τοῦ Ἀρὰμ ἀποκαλεῖ τὸν Σύρο, δηλαδὴ τὸν Ραασσών, καὶ υἱὸ τοῦ Ρομελίου τὸν Φακεέ, ὁ ὁποῖος βασίλευσε στὸν Ἰσραήλ, δηλαδὴ στὶς δέκα φυλὲς ποὺ ζοῦσαν στὴ Σαμάρεια.

Στίχ. 8-9. «Ἀλλὰ πρωτεύουσα τοῦ λαοῦ τοῦ Ἀρὰμ θὰ εἶναι ἡ Δαμασκὸς καὶ ἄρχοντας τῆς Δαμασκοῦ ὁ βασιλιὰς Ραασσών. Ὅμως ἑξήντα πέντε χρόνια ἀκόμα καὶ θὰ λήξει ἡ βασιλεία τοῦ Ἐφραΐμ (Ἰσραὴλ) ἀπὸ ἔλειψη λαοῦ. Πρωτεύουσα τοῦ Ἐφραΐμ θὰ εἶναι ἡ Σαμάρεια καὶ ὁ ἐπικεφαλὴς τῆς Σαμάρειας ὁ υἱὸς τοῦ Ρομελίου. Ἂν ὅμως δὲν πιστέψετε σ' αὐτὰ ποὺ λέγει οὔτε καὶ θὰ καταλάβετε».

Ὅσοι θέλουν νὰ διευκρινίσουν τὰ λεγόμενα στὶς θεόπνευστες Γραφὲς χρειάζονται ὁπωσδήποτε καὶ τὴν ἀφήγηση τῶν ἱστοριῶν, γιὰ νὰ ἐπιβεβαιώνεται ἡ ἀλήθεια τῶν θείων λόγων ἀπὸ παντοῦ. Ἐξηγεῖ λοιπὸν ὁ προφήτης τὰ ὅσα γράφει ἡ ἁγία Γραφή, μὲ τὰ ὁποῖα μποροῦμε νὰ κατανοήσομε ἄριστα τὶς ἔννοιες τῶν λόγων ποὺ ἐξετάζομε. Στὰ χρόνια λοιπὸν τῆς βασιλείας τοῦ Ἄχαζ συμφώνησαν μὲ τὸν Ἰούδα καὶ τὰ Ἱεροσόλυμα ὁ βασιλιὰς τῆς Συρίας Ραασσὼν καὶ ὁ υἱὸς τοῦ Ρομελίου Φακεὲ ποὺ βασίλευε στὸ κράτος τοῦ Ἰσραὴλ στὴ Σαμάρεια. Ἐπειδὴ ὅμως φοβόταν τὴν ἐπίθεση ὁ Ἄχαζ, πείθει μὲ χρήματα τὸν Θεγλαφαλλασάρ, τὸν βασιλιὰ τῶν Ἀσσυρίων, νὰ συμμαχήσει μαζί του καὶ νὰ ἀνατρέψει τὴν ἐπίθεση τῶν συμμάχων. Ἐξεστράτευσε τότε αὐτός, κατέλαβε τὴν Δαμασκό, ποὺ ἦταν μητρόπολη τῶν Σύρων, καὶ

4. Ματθ. 9, 12.

κεὲ ἐν τῇ Σαμαρείᾳ, ὃς ἦν τοῦ Ῥομελίου, διαδέχεται τὴν βασιλείαν Ὡσηὲ υἱὸς Ἠλᾶ, πονηρὸς ἀνὴρ καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἐγκείμενος. Οὗ διέποντος τὴν βασιλείαν ἀνέβη Σαλμανασὰρ ὁ Ἀσσύριος κατὰ πάσης τῆς Σαμαρείας, καὶ παραχρῆμα μὲν εἷλεν τὸν Ὡσηέ, καὶ ἐν οἰκέτου τάξει πεποίηται· καταδηώσας δὲ τὴν χώραν ἅπασαν καὶ τῶν υἱῶν Ἰσραὴλ ἀποφήνας ἐρήμην, καθίστησιν ἀντ' αὐτῶν τῶν ἰδίων τινὰς ἐνοίκους, ἤτοι τῶν ὑπὸ χεῖρα, τόν τε Ἐχουθᾶ καὶ τὸν Σαπφαρουΐαν, ἔθνη δὲ οἶμαι ταυτὶ Περσικά. Γέγραπται γὰρ οὕτως ἐν βίβλοις Βασιλειῶν. Ταύτης ἡμῖν ἱστορίας τὴν ἀφήγησιν ὁ προφήτης, λέγων· «Τάδε λέγει Κύριος· Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλ' ἡ κεφαλὴ Ἐφραΐμ Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσίμ· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ ἀπὸ λαοῦ».

Καὶ ἀσαφὴς μὲν ἡ τῶν λέξεων συνθήκη, προσβαλεῖν δὲ χρὴ τοιῶσδε· Ἡ κεφαλή, φησίν, Ἀράμ, τοῦτ' ἔστι τῆς Συρίας, Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσίμ, τοῦτ' ἔστιν ὁ Ῥαασσών· κεφαλὴ γὰρ τῆς τε χώρας καὶ τῆς πόλεως ὁ βασιλεύων αὐτῶν. Καὶ ἡ βασιλεία δὲ Ἐφραΐμ ἐκλείψει ἀπὸ λαοῦ· ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ, τοῦτ' ἔστι τοῦ Ἰσραήλ· ἐκλείψει καὶ ἡ κεφαλὴ Ἀράμ, τοῦτ' ἔστιν ἡ Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ, τοῦτ' ἔστιν ὁ Ῥαασσών. Εἷλε γάρ, ὡς ἔφην, ὁ μὲν Θεγλαφαλλασὰρ τήν τε Δαμασκὸν καὶ τὸν Ῥαασσών, ὁ δὲ Σαλμανασὰρ τὸν Ὡσηὲ βασιλέα Ἐφραΐμ, ἤτοι τοῦ Ἰσραήλ, καὶ τὴν Σομόρων, ἤτοι Σαμάρειαν, ἀπὸ κοινοῦ τρέχοντος τὸ ἐκλείψει· καὶ ἡ κεφαλὴ δὲ Ἐφραΐμ Σομόρων ἐκλείψει πάλιν. Κεφαλὴν δὲ Ἐφραΐμ τὰ Σόμορα καλεῖ, τοῦτ' ἔστι τὴν Σαμάρειαν· μητρόπολις γὰρ Σαμαρείας Σόμορα.

5. Γιὰ ὅλα αὐτὰ διάβασε Δ' Βασ. κεφάλαια 16 καὶ 17.

σκότωσε καὶ τὸν ἴδιο τὸν Ραασσών. Ὅταν ὅμως πέθανε καὶ ὁ Φακεὲ στὴ Σαμάρεια, ὁ ὁποῖος ἦταν υἱὸς τοῦ Ρομελίου, τὸν διαδέχθηκε στὴ βασιλεία ὁ Ὡσηέ, υἱὸς τοῦ Ἠλᾶ, ἄνθρωπος γεμᾶτος κακία καὶ προσκολλημένος στὶς ἀπάτες τῶν δαιμονίων, κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ ὁποίου ἐξεστράτευσε ὁ Σαλμανασὰρ ὁ Ἀσσύριος, ἐναντίον ὅλης τῆς Σαμάρειας κι ἀμέσως συνέλαβε τὸν Ὡσηέ καὶ τὸν κατέβασε στὴν τάξη δούλου. Ἀφοῦ λεηλάτησε ὁλόκληρη τὴ χώρα καὶ τὴν κατέστησε ἔρημη ἀπὸ τοὺς Ἰσραηλῖτες, ἐγκατέστησε στὴ θέση της ὡς κατοίκους της κάποιους ἀπὸ τοὺς δικούς του, δηλαδὴ ἀπὸ τοὺς ὑποχείριούς του, τὸν Ἐκχουθὰ καὶ τὸν Σαπφαρουΐα, τὰ ὁποῖα νομίζω εἶναι ἔθνη Περσικά. Γιατὶ αὐτὰ ἔχουν γραφεῖ στὰ βιβλία τῶν Βασιλειῶν. Κάνοντας ὁ προφήτης τὴν ἀφήγηση αὐτῆς τῆς ἱστορίας λέγει· «Αὐτὰ λέγει ὁ Κύριος· Δὲν θὰ εὐοδωθεῖ αὐτὸ τὸ σχέδιο οὔτε καὶ θὰ πραγματοποιηθεῖ, ἀλλ᾽ ἡ κεφαλὴ (πρωτεύουσα) τοῦ Ἐφραΐμ θὰ εἶναι ἡ Δαμασκὸς καὶ ἡ κεφαλὴ τῆς Δαμασκοῦ ὁ Ραασσών· ἀλλὰ ἀκόμα ἑξήντα πέντε χρόνια καὶ θὰ λῄξει ἡ βασιλεία τοῦ Ἐφραΐμ λόγω ἔλλειψης λαοῦ».

Καὶ βέβαια εἶναι ἀσαφὴς ἡ σύνθεση τῶν λέξεων, καὶ πρέπει νὰ ἐξηγηθεῖ ὡς ἑξῆς· Ἡ κεφαλή, λέγει, τοῦ κράτους τοῦ Ἀράμ, δηλαδὴ τῆς Συρίας, εἶναι ἡ Δαμασκός, καὶ ἡ κεφαλὴ τῆς Δαμασκοῦ εἶναι ὁ Ραασσίμ, δηλαδὴ ὁ Ραασσών. Γιατὶ κεφαλὴ τῆς χώρας καὶ τῆς πόλης εἶναι ὁ βασιλιάς της. Ἐπίσης τὸ βασίλειο Ἐφραΐμ θὰ ἐξαφανισθεῖ ἀπὸ ἔλλειψη λαοῦ. Ἀκόμα ἑξήντα πέντε χρόνια καὶ θὰ ἐξαφανισθεῖ τὸ βασίλειο Ἐφραΐμ, δηλαδὴ τοῦ Ἰσραήλ, θὰ ἐκλείψει ὅμως καὶ ἡ κεφαλὴ τοῦ κράτους τοῦ Ἀράμ, δηλαδὴ ἡ Δαμασκός, καὶ ἡ κεφαλὴ τῆς Δαμασκοῦ, δηλαδὴ ὁ Ραασσών. Γιατί, ὅπως εἶπα, κυρίευσε ὁ Θεγλαφαλλασὰρ τὴ Δαμασκὸ καὶ θανάτωσε τὸν Ραασσών, ἐνῶ ὁ Σαλμανασὰρ αἰχμαλώτισε τὸν Ὡσηέ, βασιλιὰ τοῦ Ἐφραΐμ, δηλαδὴ τοῦ Ἰσραήλ, καὶ κυρίευσε τὴν Σομόρων, δηλαδὴ τὴ Σαμάρεια[5], γιατὶ τό, «θὰ ἐκλείψει», ἀναφέρεται καὶ στὰ δύο, καὶ θὰ ἐκλείψει ἐπίσης ἡ κεφαλὴ τοῦ Ἐφραΐμ ἡ Σαμάρεια. Κεφαλὴ τοῦ Ἐφραΐμ ὀνομάζει τὰ

Ἐφραΐμ δὲ ὅταν λέγει, τὸν Ἰσραὴλ δηλοῖ· καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου, τοῦτ' ἔστιν ὁ Φακεέ· τρέχει δὲ πάλιν τὸ «ἐκλείψει» κατὰ πάντων. Προσεπάγει δὲ τούτοις· «Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε». Ἔχει δὲ καὶ σφόδρα τὸ εἰκὸς ὁ λόγος. Τοῖς γὰρ ταῖς ἀπιστίαις περιυβρίζουσι τὸν τοῦ Θεοῦ λόγον, οὐδ' ἂν ἐγγένοιτο σύνεσις ἡ παρὰ αὐτοῦ. Δεῖ τοιγαροῦν ἀμελλητὶ δέχεσθαι τὰ παρὰ Θεοῦ, καὶ οἷς ἂν ὑπισχνεῖται καὶ λαλεῖ συννεύειν ἑτοίμως. Ἔσται γὰρ ἐν ἡμῖν οὕτως ἡ σύνεσις ἀγαθὴ καὶ περιαστράψει τὸν νοῦν τῆς παρ' αὐτοῦ σοφίας ὁ φωτισμός.

Στίχ. 10-12. «Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον».

Τοὺς τῆς βασιλείας διέποντα θάκους ἐν τοῖς Ἱεροσολύμοις τὸν Ἄχαζ, καὶ πολὺ λίαν ἀπονενευκότα πρὸς τὸ ἐξήνιον καὶ εἰς τὸ προσκεῖσθαι φιλεῖν ταῖς τῶν δαιμονίων ψευδολατρείαις, διά παντὸς πειρᾶται τρόπου μετακομίζειν ἐπὶ τὸ ἄμεινον, καὶ εἴς γε τὸ δεῖν τῶν τῆς ἀληθείας ἐφικέσθαι δογμάτων, καὶ ὀρθὰ φρονεῖν ἑλέσθαι περὶ Θεοῦ. Οὐκοῦν ἐπειδήπερ τοῖς τῶν εἰδώλων θεραπευταῖς περὶ πολλοῦ ἐτέθειτο, καὶ ἦν ἐν σπουδῇ τὸ χρῆναι περιεργάζεσθαι τὰς τῶν πραγμάτων ἐκβάσεις καὶ χρησμοὺς αἰτεῖν ἐξ ἱερῶν καὶ τοῖς τῶν ψευδομάντεων φενακίζεσθαι λόγοις, κινδύνων αὐτοῖς ἐπηρτημένων, προανακόπτει τρόπον τινὰ τοῦτο μέλλοντα ποιεῖν Ἄχαζ, καὶ πρὸς τὸ τεταχέναι τι σημεῖον, οὐκ ἐκ τῶν συνηθῶν αὐτῶν τεμενῶν, οὐδ' ἐκ τῶν ψευδομάντεων ἔτι, μᾶλλον δὲ παρὰ Κυρίου τοῦ Θεοῦ. Καὶ τὸν τῆς αἰτήσεως τρόπον ταῖς αὐτοῦ ψήφοις ἀπονενέμηκεν εἰπών· «Εἰς βάθος ἢ εἰς ὕψος», τοῦτ' ἔστιν ἢ εἰς οὐρανόν, ἢ εἰς γῆν, καὶ τὰ

Σόμορα, δηλαδὴ τὴ Σαμάρεια. Γιατὶ μητρόπολη τῆς Σαμάρειας εἶναι τὰ Σόμορα. Ὅταν πάλι λέγει Ἐφραΐμ, δηλώνει τὸν Ἰσραήλ. Καὶ ἡ κεφαλὴ τῶν Σαμόρων εἶναι ὁ υἱὸς τοῦ Ρομελίου, δηλαδὴ ὁ Φακεέ· τὸ «θὰ ἐκλείψει» ἀναφέρεται σὲ ὅλα. Προσθέτει ὅμως σ᾽ αὐτά· «Ἂν ὅμως δὲν πιστέψετε σ᾽ αὐτά, οὔτε καὶ θὰ καταλάβετε». Ὁ λόγος εἶναι πάρα πολὺ σωστός. Γιατὶ αὐτοὶ ποὺ περιυβρίζουν μὲ τὴν ἀπιστία τους τὸν λόγο τοῦ Θεοῦ δὲν θὰ ἦταν δυνατὸ νὰ λάβουν σύνεση ἀπὸ αὐτόν. Πρέπει λοιπὸν χωρὶς ἀναβολὴ νὰ δεχόμαστε τὰ λεγόμενα τοῦ Θεοῦ καὶ νὰ συμφωνοῦμε μὲ προθυμία σὲ ὅσα ὑπόσχεται καὶ λέγει. Γιατὶ ἔτσι θὰ μᾶς δοθεῖ ἡ ἀγαθὴ φρόνηση καὶ θὰ περιαστράψει τὸν νοῦ μας ὁ φωτισμὸς τῆς σοφίας ποὺ δίνεται ἀπὸ αὐτόν.

Στίχ. 10-12. «Πρόσθεσε ὅμως ὁ Κύριος στὰ ὅσα εἶπε στὸν Ἄχαζ καὶ τοῦ εἶπε· Ζήτησε ἀπὸ τὸν Κύριο τὸν Θεό σου σημεῖο στὴ γῆ χαμηλὰ ἢ ψηλὰ στὸν οὐρανό. Καὶ εἶπε ὁ Ἄχαζ· Δὲν θὰ ζητήσω, οὔτε καὶ θὰ δοκιμάσω τὸν Κύριο».

Τὸν Ἄχαζ, ποὺ κατεῖχε τὸν θρόνο τῆς βασιλείας στὰ Ἱεροσόλυμα καὶ εἶχε πολὺ παρεκκλίνει στὴν ἀνυπακοὴ καὶ εἶχε προσκολληθεῖ στὴν ἀγάπη τῆς ψευδολατρείας τῶν δαιμονίων, ἐπιχειρεῖ μὲ κάθε τρόπο νὰ τὸν μεταφέρει στὸ καλύτερο, καὶ στὴν ἀνάγκη νὰ προσέλθει στὰ δόγματα τῆς ἀλήθειας καὶ νὰ θελήσει νὰ πιστεύει τὰ ὀρθὰ σχετικὰ μὲ τὸν Θεό. Ἐπειδὴ λοιπὸν οἱ λάτρεις τῶν εἰδώλων εἶχαν περὶ πολλοῦ καὶ ἔδειχναν μεγάλη προθυμία καὶ φροντίδα στὴν ἀνάγκη νὰ περιεργάζονται τὶς ἐκβάσεις τῶν πραγμάτων καὶ νὰ ζητοῦν χρησμοὺς ἀπὸ τὰ ἱερὰ τῶν εἰδώλων καὶ νὰ ἐξαπατῶνται ἀπὸ τὰ λόγια τῶν ψευδομάντεων, ἀπὸ τὰ ὁποῖα ἐπικρέμονταν κίνδυνοι, ἐμποδίζει ἀπὸ τὴν ἀρχὴ κατὰ κάποιο τρόπο τὸν Ἄχαζ ποὺ ἐπρόκειτο νὰ κάνει αὐτὸ τὸ πράγμα, μὲ τὸ νὰ τὸν προστάξει νὰ ζητήσει κάποιο σημεῖο ὄχι ἀπὸ τὰ συνηθισμένα σ᾽ αὐτοὺς τεμένη, οὔτε ἀπὸ τοὺς ψευδομάντεις πιά, ἀλλὰ μᾶλλον ἀπὸ τὸν Κύριο καὶ Θεό. Καὶ τὸν τρόπο τῆς αἴτησης τὸν ἀνέθεσε στὴ δική του ἀπόφαση λέγοντας· «Στὸ βάθος ἢ στὸ ὕψος», δηλαδὴ ἢ

ἔτι κατωτέρω. Καὶ πεπληροφόρηκεν διὰ τούτου, καὶ δίδωσι νοεῖν, ὅτι Θεὸς ὑπάρχων τῶν ὅλων καὶ Κύριος, ἐπ' ἐξουσίας ἐργάζεται τὸ δοκοῦν, κἂν εἴτε τι τῶν ἐν οὐρανῷ βλέπειν βούλοιτο, κἂν εἴτε τι τῶν ἐπὶ τῆς γῆς. Παραιτεῖταί γε μὴν ὁ Ἄχαζ, οὐχ ὡς Θεὸν αἰδούμενος. περιυβρίζων δὲ μᾶλλον ὁ δείλαιος, κἂν εἰ τοῖς ἐξ εὐλαβείας ἐπισεμνύνοιτο λόγοις. «Οὐ γὰρ μὴ αἰτήσω», φησίν, «οὐδ' οὐ μὴ πειράσω τὸν Κύριον». Ἐπειδὴ γὰρ Θεοῦ προστάττοντος αἰτεῖν, τὸ μὴ αἰτεῖσθαι θέλειν ἐναργὲς ἔχει τὸ δυσσεβές, ὑποπλάττεται τὸ μὴ πειρᾶσθαι θέλειν αὐτόν, καὶ νομικὸν ὥσπερ προΐσχεται λόγον· «Οὐ γὰρ ἐκπειράσεις Κύριον τὸν Θεόν σου». Καίτοι πῶς οὐχ ἁπαστισοῦν τῆς τοῦ Ἄχαζ σκαιότητος καταβοήσει λόγος; Αὐτοῦ γὰρ ἐφιέντος αἰτεῖν τοῦ Θεοῦ, πῶς οὐκ ἄμεινον τὸ ἑλέσθαι μᾶλλον ἐκεῖνο δρᾶν, ὃ προστέταχεν, ἢ δυστρόπως εὑρεσιλογεῖν καὶ πρόφασιν εὐπειθείας ποιεῖσθαι σαθρὰν τό, «Οὐ μὴ πειράσω Κύριον»; Ἀλλ' ἦν ὁ σκοπὸς αὐτῷ τοὺς μὲν ἄνωθεν καὶ παρὰ Θεοῦ μὴ προσίεσθαι λόγους, ψήφῳ δὲ μᾶλλον τῇ κρείττονι στεφανοῦντας τὸν χρησμολόγον, ψευδοεπείας καὶ ταῖς οἰωνῶν τάχα που περιεργάζεσθαι πτήσεσι, καὶ τὰς ἐκ τῶν δαιμονίων ἐπικουρίας αἰτεῖν.

Στίχ. 13-14. «Καὶ εἶπεν· Ἀκούσατε δή, οἶκος Δαβίδ, μὴ μικρόν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον».

Ἀπειρηκότος τοῦ Ἄχαζ τοῦ σημείου τὴν αἴτησιν, οὐκ ἀνεχομένου τε τιμᾷν ἢ εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεόν καὶ τῶν ὅλων Κύριον, ὅτι μὴ εἰς ἅπαν ἀγνοηθήσεται παρὰ τοῦ Ἰσραήλ, μήτε μὴν τὸν ἴδιον ἀπολέσει κλῆ-

6. Δευτ. 6, 16.

στὸν οὐρανὸ ἢ στὴ γῆ καὶ τὰ πιὸ κάτω ἀκόμα. Τὸν διαβεβαίωσε βέβαια μ' αὐτὸ καὶ τοῦ ἔδωσε νὰ σκεφθεῖ, ὅτι, ἐπειδὴ εἶναι Θεὸς τῶν ὅλων καὶ Κύριος, κάνει αὐτὸ ποὺ θέλει μὲ ἐξουσία, εἴτε ἤθελε κάτι ἀπὸ ὅσα βλέπει στὸν οὐρανό, εἴτε κάτι ἀπὸ αὐτὰ ποὺ βλέπει στὴ γῆ. Ἀρνεῖται ὅμως ὁ Ἄχαζ νὰ τὸ κάνει, ὄχι γιατὶ τὸν σέβεται ὡς Θεό, ἀλλὰ μᾶλλον περιυβρίζοντάς τον ὁ ἄθλιος, ἔστω κι ἂν τὸν τιμοῦσε τάχα μὲ τοὺς λόγους εὐλάβειας. Γιατὶ λέγει, «Οὔτε θὰ ζητήσω, οὔτε θὰ βάλω σὲ δοκιμασία τὸν Κύριο». Ἐπειδὴ δηλαδὴ ὅταν ὁ Θεὸς προστάζει νὰ ζητήσει κανεὶς κάτι, τὸ νὰ μὴ θέλει νὰ ζητήσει εἶναι φανερὴ δυσσέβεια, ὁ Ἄχαζ ὑποκρίνεται ὅτι δὲν θέλει νὰ τὸν ὑποβάλει σὲ δοκιμασία καὶ προβάλλει κατὰ κάποιο τρόπο λόγο προσχηματικὸ προερχόμενο ἀπὸ τὸ νόμο· «Δὲν θὰ βάλεις σὲ δοκιμασία τὸν Κύριο τὸν Θεό σου»[6]. Καὶ πῶς βέβαια ὁποιοσδήποτε λόγος δὲν θὰ γίνει κατήγορος τῆς κακοήθειας τοῦ Ἄχαζ; Γιατί, ὅταν ὁ ἴδιος ὁ Θεὸς τὸν προστάζει νὰ ζητήσει, πῶς δὲν ἦταν τὸ καλύτερο νὰ θελήσει νὰ κάνει αὐτὸ μᾶλλον ποὺ εἶχε προστάξει, ἀπὸ τὸ νὰ δυστροπεῖ καὶ νὰ ἐπινοεῖ δικαιολογίες καὶ νὰ χρησιμοποιεῖ σαθρὸ πρόσχημα εὐπείθειας τὴ νομικὴ ἐντολή, «Δὲν θὰ ὑποβάλω σὲ δοκιμασία τὸν Κύριο»; Ἀλλὰ ὁ σκοπός του ἦταν νὰ μὴ δεχθεῖ τοὺς οὐράνιους καὶ ἀπὸ τὸν Θεὸ προερχόμενους λόγους, ἀλλὰ νὰ στεφανώνει μᾶλλον μὲ τὴν ἀνώτερη ψῆφο του τὸν χρησμολόγο, ποὺ χρησιμοποιεῖ ψευδολογίες, ποὺ περιεργάζεται τὰ πετάγματα τῶν πουλιῶν καὶ ζητεῖ τὴ βοήθεια τῶν δαιμονίων.

> Στίχ. 13-14. «Καὶ εἶπε· Ἀκοῦστε λοιπόν, ἐσεῖς οἱ ἀπόγονοι τοῦ Δαβίδ, μήπως εἶναι μικρὸ πρᾶγμα τὰ ὅσα προξενεῖτε στοὺς ἀνθρώπους; Καὶ πῶς προξενεῖτε στενοχώρια στὸν Θεό; Γι' αὐτὸ ὁ Κύριος ὁ ἴδιος θὰ δώσει σημεῖο σ' ἐσᾶς».

Ἐπειδὴ ὁ Ἄχαζ ἀπέρριψε τὴν αἴτηση τοῦ σημείου καὶ δὲν ἤθελε νὰ τιμᾶ ἢ ν' ἀναγνωρίζει τὸν ἀπὸ τὴ φύση του κι ἀληθινὰ ὄντα Θεὸ καὶ Κύριο τῶν ὅλων, προσπαθεῖ νὰ τὸν διδάξει, ὅτι δὲν θὰ ἀγνοηθεῖ γιὰ πάντα ἀπὸ τὸν Ἰσραήλ, οὔτε θὰ χάσει τὸν κλῆρο

ρον, ἀλλ' ἐπιγνώσονται κατὰ καιρούς, αὐτὸν πειρᾶται διδάσκειν. Πλὴν οὐκέτι λόγου μὲν ἀξιοῖ τὸν Ἄχαζ, ὑβριστὴν ὄντα καὶ θεομισῆ, προσπεφώνηκε δὲ μᾶλλον τῷ οἴκῳ Δαβίδ, τοῦτ' ἔστι τοῖς ἐκ φυλῆς Ἰούδα, ἐξ ἧς καὶ αὐτὸς γέγονε τὸ κατὰ σάρκα Χριστός· Ἀνεξικάκως δὲ λίαν ὡς Θεὸς ποιεῖται τὴν προαγόρευσιν. Προαιτιασάμενος γὰρ ὅτι πεποίηται παρ' οὐδὲν τὸ καὶ αὐτῷ προσκρούσαι τῷ πάντα ἰσχύοντι Θεῷ, καὶ οἷον ἀγῶνας αὐτῷ καὶ καμάτους, τόγε ἦκον εἰς αὐτούς, σαλεύειν ἐπιχειρεῖν διά γε τοῦ μὴ θέλειν ὀρθοποδεῖν· τότε δή, τότε τῆς καθόλου τε καὶ γενικωτάτης ἐπικουρίας ποιεῖται τὴν προανάρρησιν. Ὦ, τοίνυν, φησίν, οἶκος Δαβίδ, εἰ τὸ ἀνθρώποις προσκρούειν οὐκ ἀξήμιον, τί τῷ Κυρίῳ παρέχετε ἀγῶνα, τῷ κολάζειν μὲν οὐκ ἐθέλοντι, ἰσχύοντι δὲ τοῦτο δρᾶν καὶ λίαν εὐκόλως; Ἐπειδὴ δὲ παραιτεῖσθε τοῦ σημείου τὴν αἴτησιν, αὐτόμολός εἰμι πρὸς τοῦτο, φησίν· κἂν εἰ βούλοισθε νοσεῖν, ἐπάγω τὴν θεραπείαν, ἐπείπερ εἰμὶ χρηστὸς καὶ φιλάνθρωπος Αὐτὸς ὑμῖν Κύριος δώσει σημεῖον, πληροφορῶν ὅτι καὶ σωθήσεται κατὰ καιροὺς ὁ πεπλανημένος Ἰσραήλ, καὶ οὐκ ἀγνοήσει τὸν Δεσπότην, ἀλλ' ἔσται προσκυνητὴς τοῦ σεσωκότος Θεοῦ. Κατώρθωται δὲ τοῦτο διὰ Χριστοῦ κεκληκότος εἰς ἐπίγνωσιν τὸν Ἰσραήλ, καὶ ἅπάσης αὐτὸν ἀπαλλάξαντος ἁμαρτίας, καὶ τοῦ προσκυνεῖν ἐθέλειν ξύλοις καὶ λίθοις.

Στίχ. 14-16. «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξασθαι τὸ ἀγαθόν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν καὶ κακόν, ἀπειθεῖ πονηρίᾳ, ἐκλέξασθαι τὸ ἀγαθόν. Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἔρημος ἀπὸ προσώπου τῶν δύο βασιλέων».

ποὺ τοῦ ἀνήκει, ἀλλὰ θὰ τὸν γνωρίσουν κατὰ καιρούς. Πλὴν ὅμως δὲν θεωρεῖ τὸν Ἄχαζ ἄξιο νὰ τοῦ ἀπευθύνει τὸν λόγο, ἐπειδὴ ἦταν ὑβριστὴς καὶ μισοῦσε τὸν Θεό, ἀλλ᾽ ἀπευθύνει τὸν λόγο στὸν οἶκο τοῦ Δαβίδ, δηλαδὴ στὴ φυλὴ τοῦ Ἰούδα, ἀπὸ τὴν ὁποία γεννήθηκε σὰν ἄνθρωπος ὁ Χριστός, καὶ σὰν Θεὸς κάνει τὴν προαγγελία του μὲ μεγάλη ἀνεξικακία. Γιατί, ἀφοῦ τὸν κατηγόρησε ἐκ τῶν προτέρων ὅτι θεωρεῖ ἀσήμαντο τὸ νὰ προσκρούσει ἀκόμα καὶ στὸν ἴδιο τὸν Θεὸ ποὺ μπορεῖ νὰ κάνει τὰ πάντα, καὶ τὸ νὰ ἐπιχειρεῖ νὰ τοῦ προξενεῖ κατὰ κάποιο τρόπο στενοχώριες καὶ κόπους, ὅσο ἐξαρτᾶται ἀπὸ αὐτούς, μὲ τὸ νὰ μὴ θέλουν νὰ βαδίσουν ὀρθά, τότε πιά, τότε κάνει τὴν προαγγελία τῆς καθολικῆς καὶ γενικότατης βοήθειας. Λέγει λοιπόν· Ὦ ἐσεῖς, ὁ οἶκος τοῦ Δαβίδ, ἂν τὸ νὰ προσκρούσει κανεὶς στοὺς ἀνθρώπους δὲν εἶναι χωρὶς βλάβη, γιατί προκαλεῖτε στενοχώρια στὸν Κύριο, ποὺ δὲν θέλει βέβαια νὰ τιμωρεῖ, μπορεῖ ὅμως νὰ τὸ κάνει αὐτό, καὶ μάλιστα πολὺ εὔκολα; Ἐπειδὴ ὅμως ἐσεῖς ἀπορρίπτετε τὴν αἴτηση τοῦ σημείου, ἔρχομαι, λέγει, ἀπὸ μόνος στὴ φανέρωσή του, κι ἂν θέλετε νὰ νοσεῖτε, παρέχω τὴ θεραπεία, γιατὶ εἶμαι καλὸς καὶ φιλάνθρωπος. Ὁ ἴδιος ὁ Κύριος θὰ σᾶς δώσει σημεῖο, βεβαιώνοντάς σας, ὅτι καὶ θὰ σωθεῖ τὸ χρόνο ποὺ πρέπει ὁ πλανημένος Ἰσραήλ, καὶ δὲν θὰ ἀγνοήσει τὸν Δεσπότη, ἀλλὰ θὰ προσκυνήσει τὸν Θεὸ ποὺ τὸν ἔσωσε. Αὐτὸ βέβαια κατορθώθηκε ἀπὸ τὸν Χριστὸ ποὺ κάλεσε τὸν Ἰσραὴλ σὲ ἐπίγνωση αὐτοῦ, καὶ τὸν ἀπάλλαξε ἀπὸ κάθε ἁμαρτία καὶ ἀπὸ τὸ νὰ θέλει νὰ προσκυνᾶ ξύλα καὶ πέτρες.

Στίχ. 14-16. «Νά, ἡ παρθένος θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ δώσεις σ᾽ αὐτὸν τὸ ὄνομα Ἐμμανουήλ. Θὰ φάει βούτυρο καὶ μέλι, καὶ προτοῦ γνωρίσει ἢ προτιμήσει τὰ κακά, θὰ ἐκλέξει τὸ καλό. Γιατὶ προτοῦ γνωρίσει τὸ παιδὶ τὸ καλὸ ἢ τὸ κακό, θὰ ἀπορρίψει τὴν κακία καὶ θὰ ἐκλέξει τὸ ἀγαθό. Καὶ ἡ γῆ, γιὰ τὴν ὁποία σὺ φοβᾶσαι, θὰ ἐγκαταλειφθεῖ ἀπὸ τοὺς δύο βασιλεῖς, ποὺ θὰ φύγουν ἀπὸ αὐτὴν ἀφήνοντάς την ἀνέπαφη».

Ἐκδεδώκασι μέν τινες τῶν τὰς θείας ἑρμηνευσάντων Γραφάς, τό, "Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει". Δοκεῖ γε μὴν Ἰουδαίοις τῷ τῆς νεάνιδος ὀνόματι κατασημαίνεσθαι δεῖν τὴν τοῦ Κυρίου Μητέρα, καὶ οὐχὶ δὴ μᾶλλον καλεῖσθαι παρθένον. Οἴονται γὰρ ὅτι τὴν τοῦ μυστηρίου δύναμιν ἀπρακτῆσαι θέμις, εἰ νεᾶνις λέγοιτο, καὶ οὐχὶ δὴ μᾶλλον παρθένος. Ἀμαθαίνοντας δὲ κατὰ πολλοὺς τρόπους κατίδοι τις ἂν αὐτούς. Πρῶτον μέν γάρ, κἂν εἰ λέγοιτο νεᾶνις ἡ παρθένος, οὐκ ἔξω κείσεται τοῦ εἶναι παρθένος Εἶτά φασι περὶ τῆς τοῦ Ἄχαζ γυναικὸς τὸν προφήτην εἰπεῖν τό, «Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν», ἵνα νοῶμεν τὸν Ἐζεχίαν, τὸν ἐξ αὐτοῦ γεγονότα. Ἀλλὰ τοὺς τῆς προφητείας οὐ βασανίζοντες λόγους, τὸ ἀπερισκέπτως δοκοῦν ἁρπάζουσιν, εἶτα τὸν ἑαυτῶν οἴονται σκοπὸν ἐμπεδοῦν διὰ τούτου καὶ μόνου. Ἀλλ', ὦ βέλτιστοι, φαίη τις ἂν πρὸς αὐτούς, τίς τὸν Ἐζεχίαν ἐκάλεσεν Ἐμμανουήλ; Ἢ πόθεν ἂν ἐπιδείξειαν ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν ἠπείθησε πονηρία τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν;

Οὐκοῦν ἐρῶσθαι φράσαντες ταῖς ἐκείνων τερθρείαις, τὸ ὀρθῶς τε καὶ ἀληθῶς ἔχον παραδεξόμεθα, τὴν ἁγίαν Παρθένον διὰ τῆς προκειμένης ἡμῖν προφητείας κατασημαίνεσθαι παρὰ Θεοῦ πιστεύοντες. Οὕτω γὰρ ἔσται παράδοξον ἀληθῶς καὶ ὑπερμέγεθες τὸ σημεῖον, εἰς βάθος τε ὁμοῦ καὶ ὕψος κατά γε τὴν θείαν ὑπόσχεσιν γεγονός. Ὁ γὰρ ἄνωθεν καὶ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν γεγενημένος Υἱὸς μονογενής, κεκένωκεν ἑαυτόν, καὶ λαγόνων ἐξεδόθη τῶν παρθενικῶν τὸ κατὰ σάρκα, οὐκ ἐξ ἀνθρωπίνης καταβολῆς λαβούσης τὴν γένεσιν, ἀλλ' ἐκ δυνάμεώς τε καὶ ἐνεργείας τοῦ ἁγίου Πνεύματος. Οὕτω γὰρ εἴρηται πρὸς τὴν ἁγίαν Παρθένον διὰ φωνῆς τοῦ μακαρίου Γαβριήλ· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σε». Τέξεται τοίνυν, φησίν, υἱόν. Καὶ σύ, ὦ οἶκος Δαβίδ, ὁ νῦν, φησί, παραιτούμενος τὸ ἐπὶ Θεῷ πεποιθέναι καὶ

Κάποιοι ἀπὸ ἐκείνους ποὺ ἑρμήνευσαν τὴ θεία Γραφὴ κατέγραψαν, «Νά, ἡ νεαρὴ θὰ συλλάβει στὴν κοιλιά της». Οἱ Ἰουδαῖοι βέβαια νομίζουν ὅτι ἡ Μητέρα τοῦ Κυρίου πρέπει νὰ δηλώνεται μᾶλλον μὲ τὸ ὄνομα «νεάνις», καὶ ὄχι νὰ καλεῖται παρθένος. Γιατὶ νομίζουν ὅτι τὸ νόημα τοῦ μυστηρίου θὰ ἀδρανήσει δίκαια ἂν λεγόταν νεαρὴ μᾶλλον, καὶ ὄχι παρθένος. Μὲ πολλοὺς τρόπους μπορεῖ νὰ διαπιστώσει κανεὶς τὴν ἀμάθειά τους. Πρῶτον βέβαια, κι ἂν ἀκόμα λεγόταν ἡ παρθένος νεαρή, δὲν θὰ παύσει νὰ εἶναι παρθένος. Ἔπειτα ἰσχυρίζονται ὅτι ὁ προφήτης εἶπε γιὰ τὴ γυναίκα τοῦ Ἄχαζ τό, «Νά, ἡ νεαρὴ θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱό», γιὰ νὰ νοοῦμε τὸν Ἐζεκία ποὺ γεννήθηκε ἀπὸ τὸν Ἄχαζ. Ἀλλὰ αὐτοὶ ποὺ δὲν βασανίζουν τὰ λεγόμενα τῆς προφητείας, ἁρπάζουν ἀπερίσκεπτα αὐτὸ ποὺ νομίζουν, κι ἔπειτα πιστεύουν ὅτι μὲ αὐτὸ καὶ μόνο ἐμπεδώνουν τὸ σκοπό τους. Ἀλλά, ὦ ἄριστοι, θὰ μποροῦσε νὰ πεῖ κανεὶς πρὸς αὐτούς, ποιὸς κάλεσε τὸν Ἐζεκία Ἐμμανουήλ; Ἢ ἀπὸ ποῦ θὰ μποροῦσε ν' ἀποδείξει, ὅτι προτοῦ γνωρίσει τὸ ἀγαθὸ ἢ τὸ κακό, ἀπέρριψε τὴν κακία γιὰ νὰ ἐκλέξει τὸ ἀγαθό;

Ἀποχαιρετώντας λοιπὸν τὰ σοφιολογήματα ἐκείνων, θὰ παραδεχθοῦμε τὸ ὀρθὸ καὶ ἀληθινό, πιστεύοντας ὅτι μὲ τὴν προφητεία αὐτὴ καταδηλώνεται ἐκ μέρους τοῦ Θεοῦ ἡ ἁγία Παρθένος. Γιατὶ ἔτσι θὰ εἶναι ἀληθινὰ παράδοξο καὶ ὑπερβολικὰ μεγάλο τὸ σημεῖο ποὺ ἔχει γίνει «καὶ στὴ γῆ καὶ στὸν οὐρανό» σύμφωνα μὲ τὴ θεία ὑπόσχεση. Γιατὶ ὁ μονογενὴς Υἱὸς ποὺ γεννήθηκε στὸν οὐρανὸ καὶ ἀπὸ τὸν Θεὸ Πατέρα κατὰ φύση, ταπείνωσε τὸν ἑαυτό του καὶ γεννήθηκε ἀπὸ τὶς παρθενικὲς λαγόνες κατὰ σάρκα, ποὺ δὲν ἔλαβε ὅμως τὴ γέννησή του ἀπὸ σπέρμα ἀνθρώπου, ἀλλὰ ἀπὸ τὴ δύναμη καὶ τὴν ἐνέργεια τοῦ ἁγίου Πνεύματος. Γιατὶ ἔτσι εἰπώθηκε πρὸς τὴν ἁγία Παρθένο μὲ τοὺς λόγους τοῦ μακάριου Γαβριήλ· «Πνεῦμα ἅγιο θὰ ἔρθει σ' ἐσένα καὶ δύναμη Ὑψίστου θὰ σὲ ἐπισκιάσει»[7]. Θὰ γεννήσει λοιπόν, λέγει, υἱό. Καὶ ἐσύ, ὁ λαὸς τοῦ Δαβίδ, ὁ τωρινός, λέγει, ἀπορρίπτοντας τὴν πίστη

7. Λουκᾶ 1,35.

παρ' αὐτοῦ σημεῖον αἰτεῖν, εἰς βεβαίωσιν ὧν ἐπήγγελται, διὰ τὸ προσκεῖσθαι μᾶλλον εἰδώλοις, καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, τοῦτ' ἔστιν ὁμολογήσεις τὸν Θεὸν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα. Ὅτε γὰρ πέφηνε καθ' ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τότε καὶ γέγονε καὶ μεθ' ἡμῶν. Ὁ γὰρ ὑπὲρ πᾶσαν τὴν κτίσιν, γέγονε καθ' ἡμᾶς.

Ἄθρει δὲ ὅπως, ἵνα δείξῃ τὸν αὐτὸν ἀληθῶς Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, τίθησιν ἐπ' αὐτοῦ τὰ θεῖά τε καὶ ἀνθρώπινα. Ὅτι μὲν γὰρ ἐν σαρκὶ γέγονε κατ' ἀλήθειαν, πειρᾶται πληροφορεῖν, τροφὴν αὐτῷ γεγενῆσθαι λέγων τὴν νηπίοις πρέπουσαν, βούτυρόν τε καὶ μέλι. Ὅτι δέ, καίτοι σὰρξ γεγονώς, οὐδὲν ἧττον ἔσται κρείττων ἁμαρτίας ὡς Θεός, διδάσκει πάλιν ἐπιφέρων εὐθύς· «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν». Ἄνθρωποι μὲν γὰρ οὔπω πρὸς ἥβην ἐλάσαντες, οὔτε μὴν εἰς μέτρον ἡλικίας ἀφιγμένοι, τῆς ὡς ἀπό τε χρόνου φρονήσει τετιμημένης, οὐδ' ἂν εἶεν ὅλως ἐπιτήδειοι διακρίνειν δύνασθαι, τί μὲν ἂν εἴη τὸ φαῦλον, τί δὲ τὸ ἀγαθόν, καλοῦντος δὲ ἤδη πρὸς τοῦτο καιροῦ, τότε τῶν πρακτέων ἐλευθέραν ποιοῦνται τὴν αἵρεσιν. Ἡ δέ γε θεία καὶ ἀνωτάτω φύσις, οὐκ ἔν γε τοῖς καθ' ἡμᾶς, ἀλλ' ἐν ἰδίοις καὶ τοῖς αὐτῇ πρέπουσιν ὑψώμασιν, ἄβατος ἀεὶ πονηρίας ἐστίν· καὶ τοὺς τῆς φαυλότητος ἀποσείεται τρόπους, οὐ πειραζομένη ποθέν, οὐκ ὄχλησιν ὑπομένουσα, φυσικῶς δὲ μᾶλλον καὶ οὐσιωδῶς ἀπειθοῦσα τῇ πονηρίᾳ. Καὶ οὐ καθ' ἕτερον, οἶμαι, τρόπον, ἢ ὥσπερ ἄν εἴ τις λέγοι περὶ τοῦ φωτός, ὅτι ἀπειθεῖ που εἶναι σκότος. Οὐ γὰρ ἀνέχεται παθεῖν τὸ μὴ εἶναι φῶς. Φύσεως οὖν ἄρα τῆς θείας τὸ ἀεὶ πεπηγὸς εἰς τὸ ἀγαθὸν κατασημαίνει λέγων, ὅτι «Ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν».

Ἀληθὲς δὲ τοῦτο καὶ ἐπ' αὐτοῦ. τοῦ Χριστοῦ. Εἰ γὰρ

στὸν Θεὸ καὶ τὸ νὰ ζητήσεις ἀπὸ αὐτὸν σημεῖο πρὸς ἐπιβεβαίωση ὅσων ἔχει ὑποσχεθεῖ, ἐξαιτίας τῆς προσκόλλησής σου μᾶλλον στὰ εἴδωλα, θὰ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, δηλαδὴ θὰ ὁμολογήσεις τὸν Θεὸ ποὺ φανερώθηκε μὲ ἀνθρώπινη μορφή. Ὅταν δηλαδὴ παρουσιάσθηκε ὅμοιος μ᾽ ἐμᾶς ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ, τότε καὶ ἔζησε μαζί μας. Ἐκεῖνος δηλαδὴ ποὺ βρίσκεται πάνω ἀπὸ ὅλη τὴν κτίση, ἔγινε ὅμοιος μ᾽ ἐμᾶς.

Πρόσεχε ὅμως πῶς, γιὰ νὰ δείξει ἀληθινὰ τὸν ἴδιο Θεὸ καὶ ἄνθρωπο μαζί, θέτει σ᾽ αὐτὸν τὰ θεῖα καὶ ἀνθρώπινα στοιχεῖα. Ὅτι δηλαδὴ ἔγινε ἀληθινὰ ἄνθρωπος ἐπιχειρεῖ νὰ μᾶς πληροφορήσει, λέγοντας ὅτι τροφή του ἔγινε ἡ κατάλληλη γιὰ νήπια, βούτυρο καὶ μέλι. Ὅτι ὅμως, μολονότι ἔγινε ἄνθρωπος ἀληθινά, δὲν ἦταν καθόλου λιγότερο ἀνώτερος ἀπὸ τὴν ἁμαρτία ὡς Θεός, τὸ διδάσκει πάλι προσθέτοντας ἀμέσως· «Γιατὶ πρωτοῦ γνωρίσει τὸ παιδὶ τὸ καλὸ ἢ τὸ κακό, θὰ ἀπορρίψει τὴν κακία, καὶ θὰ προτιμήσει τὸ καλό». Οἱ ἄνθρωποι δηλαδὴ ποὺ δὲν προχώρησαν ἀκόμα στὴν ἐνηλικίωση, οὔτε ἔχουν φτάσει στὸ μέτρο τῆς ἡλικίας τῆς τιμημένης μὲ τὴ φρόνηση ποὺ δίνει ὁ χρόνος, δὲν εἶναι καθόλου ἱκανοὶ νὰ διακρίνουν τί εἶναι τὸ φαῦλο καὶ τί τὸ ἀγαθό, ὅταν ὅμως τὸ καλέσει πιὰ ὁ χρόνος, τότε κάνουν ἐλεύθερη τὴν ἐκλογὴ αὐτῶν ποὺ πρέπει νὰ πράττουν. Ἡ θεία ὅμως καὶ ἀνώτατη φύση, ζώντας ὄχι στὰ μέρη ποὺ ταιριάζουν σὲ μᾶς, ἀλλὰ στὰ ὕψη τὰ δικά της ποὺ πρέπουν σ᾽ αὐτήν, εἶναι πάντοτε ἀδιάβατη ἀπὸ τὴν πονηρία, ἀπορρίπτει τοὺς τρόπους τῆς φαυλότητας, δὲν δέχεται κανένα πειρασμό, δὲν ὑπομένει ἐνόχληση, καὶ ἀπὸ τὴ φύση της μᾶλλον καὶ τὴν οὐσία της ἀπορρίπτει τὴν κακία. Καὶ τὸ κάνει αὐτό, νομίζω, ὄχι μὲ ἄλλο τρόπο, παρὰ ἔτσι ὅπως θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ τὸ φῶς, ὅτι ἀρνεῖται κατὰ κάποιο τρόπο νὰ εἶναι σκότος. Γιατὶ δὲν δέχεται νὰ πάθει τὸ νὰ μὴν εἶναι φῶς. Ἄρα λοιπὸν καταδηλώνει τὴν διαρκῆ παγίωση τῆς θείας φύσεως στὸ ἀγαθὸ λέγοντας· «Ἀπορρίπτει τὴν κακία, προκειμένου νὰ ἐκλέξει τὸ ἀγαθό».

Αὐτὸ βέβαια ἀληθεύει καὶ στὸν ἴδιο τὸν Χριστό. Γιατί, ἂν καὶ

καὶ γεγένηται κατὰ σάρκα διὰ τῆς ἁγίας Παρθένου, Θεὸς ὢν φύσει καὶ ἐκ Θεοῦ πεφηνὼς ὁ Λόγος, ἀλλ' ἦν ἐκ μήτρας καὶ πρὸ αὐτῆς, μᾶλλον δὲ καὶ πρὸ παντὸς αἰῶνος ἅγιος ὡς Θεός, τῶν ἰδίων πλεονεκτημάτων οὐκ ἀπολισθήσας διὰ τὸ ἀνθρώπινον· ἀλλ' οὐδὲ τῶν ἀνθρωπίνων ἀμελήσας διὰ τὴν οἰκονομίαν, ἵνα πιστεύσηται κατ' ἀλήθειαν γεγονὼς καθ' ἡμᾶς, καὶ αὐτὴν ἡμῶν ἁγιάσῃ τὴν γένεσιν. Καταλειφθῆναι δέ φησι τὴν γῆν, περὶ ἧς ὑφορᾶται καὶ ἐδεδίει ἐκ προσώπου τῶν δύο βασιλέων. Ὅμοιον δὲ ὥσει καὶ λέγοι σαφῶς· Ὅταν ἡ Παρθένος ἐν γαστρὶ λαβοῦσα τέκοι, σύ, ὦ οἶκος Δαβίδ, καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, τότε πάντες οἱ παρενοχλοῦντες τῇ ἁγίᾳ γῇ καταλείψουσιν αὐτήν. Ἔσται γὰρ οὐκέτι βατὴ τοῖς ἐθέλουσι καταδῃοῦν. Πνευματικὸς δὲ ὁ λόγος. Γεννηθέντος γὰρ τοῦ Ἐμμανουήλ, ἡ ἀληθῶς ἁγία γῆ καὶ πόλις, τοῦτ' ἔστιν ἡ Ἐκκλησία, γέγονεν ἐν καλῷ τῆς ἐλπίδος, καὶ πάντα πεπάτηκεν ἐχθρόν, οἳ καὶ ἄμαχον εἰδότες αὐτὴν ἀνακεχωρήκασι, καταλελοιπότες ὡς παρὰ Θεοῦ σωζομένην. Ἐγὼ γὰρ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Στίχ. 17. «Ἀλλ' ἐπάξει Κύριος ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὐδέπω ἦκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων».

Τεθορυβημένῳ λίαν τῷ Ἄχαζ ἐπὶ τῇ συμφωνίᾳ τῶν δύο βασιλέων, τοῦ τε Ῥαασσὼν καὶ τοῦ Φακεέ, κατεπηγγέλλε-

8. Ζαχ. 2, 9.

γεννήθηκε δηλαδὴ κατὰ σάρκα ἀπὸ τὴν ἁγία Παρθένο, ἐπειδὴ ἦταν ὁ Λόγος ἀπὸ τὴ φύση του Θεὸς καὶ εἶχε γεννηθεῖ ἀπὸ τὸν Θεό, ἦταν ὡστόσο ἀπὸ τὴ γέννησή του καὶ πρὶν ἀπὸ αὐτήν, ἢ καλύτερα καὶ πρὶν ἀπὸ ὅλη τὴν αἰωνιότητα ἅγιος ὡς Θεός, χωρὶς νὰ ἀπομακρυνθεῖ ἀπὸ τὰ πλεονεκτήματά του ἐπειδὴ ἔγινε ἄνθρωπος, ἀλλ' οὔτε τὰ ἀνθρώπινα παραμέλησε γιὰ χάρη τῆς οἰκονομίας, γιὰ νὰ πιστευθεῖ ὅτι ἀληθινὰ ἔγινε σὰν ἐμᾶς καὶ νὰ ἁγιάσει καὶ τὴν ἴδια τὴ δική μας ὕπαρξη. Ἐπίσης λέγει ὅτι θὰ ἐγκαταλειφθεῖ ἡ γῆ, γιὰ τὴν ὁποία εἶχε ὑποψία καὶ φοβόταν ἀπὸ τὴν παρουσία τῶν δύο βασιλέων. Εἶναι ὁλοφάνερα ὅμοιο σὰ νὰ λέγει· Ὅταν ἡ Παρθένος ποὺ συνέλαβε γεννήσει, καὶ σύ, ὁ λαὸς τοῦ Δαβίδ, θὰ καλέσεις τὸ ὄνομά του Ἐμμανουήλ, τότε ὅλοι ὅσοι παρενοχλοῦν τὴν ἁγία γῆ θὰ τὴν ἐγκαταλείψουν. Γιατὶ δὲν θὰ εἶναι πιὰ βατὴ σὲ ἐκείνους ποὺ θέλουν νὰ τὴ λεηλατοῦν. Ὁ λόγος ἔχει πνευματικὸ νόημα. Ὅταν δηλαδὴ γεννήθηκε ὁ Ἐμμανουήλ, ἡ ἀληθινὰ ἁγία γῆ καὶ πόλη, δηλαδὴ ἡ Ἐκκλησία, ἀπέκτησε τὴν ἀγαθὴ ἐλπίδα καὶ κατανίκησε ὅλους τοὺς ἐχθρούς, οἱ ὁποῖοι, καθὼς τὴν εἶδαν ἀκαταμάχητη, ἀπομακρύνθηκαν καὶ τὴν ἐγκατέλειψαν, ἀφοῦ τὴν εἶχε σώσει ὁ Θεός. Γιατὶ λέγει· «Ἐγὼ θὰ γίνω γι' αὐτήν, λέγει ὁ Κύριος, τεῖχος ἀπὸ φωτιὰ ὁλόγυρά της, καὶ θὰ εἶμαι ἀνάμεσά της ἡ δόξα της»[8].

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

Στίχ. 17. «Καὶ θὰ στείλει ὁ Κύριος ἐναντίον σου καὶ ἐναντίον τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατέρα σου ἡμέρες μὲ τέτοιες συμφορές, ποὺ δὲν ἦρθαν ποτὲ ὡς τώρα ἀπὸ τὴν ἡμέρα ποὺ χωρίσθηκε τὸ βασίλειο τοῦ Ἐφραΐμ (Ἰσραὴλ) ἀπ' τὸ βασίλειο τοῦ Ἰούδα, προερχόμενες ἀπὸ τὸν βασιλιὰ τῶν Ἀσσυρίων».

Καθὼς ἦταν πολὺ θορυβημένος ὁ Ἄχαζ ἀπὸ τὴ συμφωνία τῶν δύο βασιλιάδων, τοῦ Ραασσὼν καὶ τοῦ Φακεέ, ὑποσχόταν

το μὲν τὴν ἐπικουρίαν ὁ τῶν ὅλων Θεός· ἐπειδὴ δὲ προσεμπεδοῦν ἤθελεν εἰς πίστιν αὐτόν, αἰτεῖν ἐκέλευσε σημεῖον, «εἰς βάθος ἢ εἰς ὕψος». Παραιτουμένου δὲ τοῦ Ἄχαζ καὶ δυστροπώτατα λέγοντος, «Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον» (ἐξήτει γὰρ μᾶλλον τοὺς ἐκ τῶν ψευδομάντεων φενακισμούς), ηὐτομόλησε τρόπον τινὰ Θεός, καὶ τῷ οἴκῳ Δαβὶδ ἐδίδου σημεῖον αὐτός. Ἔφασκε γάρ· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Ἐπειδὴ δὲ ὁ περὶ τούτων εὖ μάλα διεπεραίνετο λόγος, μεθίστησι πάλιν τῶν ἐσομένων τὴν προαγόρευσιν ἐπ' αὐτὸ τοῦ Ἄχαζ τὸ πρόσωπον (Ἔδει γάρ, ἔδει σωτηρίας μὲν τῆς διὰ Χριστοῦ γενέσθαι τὴν προανάρρησιν πρὸς τοὺς ἐκ τοῦ οἴκου Δαβίδ, τοῦτ' ἔστι τοὺς ἐκ τῆς Ἰούδα φυλῆς, ἐξ ἧς καὶ αὐτὸς ἀνατέταλκε τὸ κατὰ σάρκα Χριστός), τῶν γε μὴν συμβησομένων κατὰ καιροὺς δεινῶν τε καὶ ἀπευκτῶν τοῖς ἀπειθεῖν ᾑρημένοις ποιεῖται τὴν προανάρρησιν, ἵν' εἰδεῖεν ὅτι πικρὸν ἀληθῶς, καὶ οὐκ ἀζήμιον τοῖς τὴν θείαν ἀτιμάζουσι δόξαν τὸ παρέχειν ἀγῶνα Κυρίῳ, καὶ προσκυνεῖν ἑλέσθαι παρ' αὐτὸν ἑτέροις τοῖς οὐκ οὖσι θεοῖς.

Ὅτι τοίνυν ἔμελλον κατὰ καιροὺς, αὐτά τε τὰ Ἱεροσόλυμα καὶ ἅπασα δὲ τῶν Ἰουδαίων ἡ χώρα, ταῖς ἐσχάταις περιπεσεῖσθαι ταλαιπωρίαις καὶ ὑπὸ χεῖρα γενέσθαι τῶν ἐχθρῶν, προκαταμηνύει λεπτῶς. Ἀσαφεστέραν δὲ οὖσαν τὴν τῶν λέξεων συνθήκην, ὡς ἂν οἷός τε, καὶ πρό γε τῶν ἄλλων διατρανοῦν πειράσομαι. «Ἐπάξει», φησίν, «ὁ Θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἦκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραΐμ ἀπὸ Ἰούδα». Ἔστι δὲ τῶν στίχων τοιοῦτος ὁ νοῦς· Ἐν καιροῖς τῆς βασιλείας Ῥοβοὰμ υἱοῦ Σολομῶνος ἀφεῖλε, τοῦτ' ἔστιν ἀπέσπασεν ἑαυτὸν ὁ Ἐφραΐμ, τοῦτ' ἔστι πάλιν

τὴ βοήθειά του ὁ Θεὸς τῶν ὅλων, ἐπειδὴ ὅμως ἤθελε νὰ ἐμπεδώσει περισσότερο σ᾽ αὐτὸν τὴν πίστη, τὸν πρόσταξε νὰ ζητήσει σημεῖο «κάτω στὴ γῆ ἢ πάνω στὸν οὐρανό». Ἐπειδὴ ὅμως ὁ Ἄχαζ ἀρνιόταν καὶ πολὺ δύστροπα τοῦ ἔλεγε, «Δὲν θὰ ζητήσω οὔτε θὰ βάλω σὲ πειρασμὸ τὸν Κύριο» (ζητοῦσε μᾶλλον τὶς ἀπάτες τῶν ψευδομάντεων), αὐτομόλησε κατὰ κάποιο τροπο ὁ Θεός, καὶ ἔδωσε ὁ ἴδιος σημεῖο στὸν οἶκο τοῦ Δαβίδ. Γιατὶ εἶπε· «Νά, ἡ παρθένος θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱό, καὶ θὰ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Ἐπειδὴ ὅμως ὁ λόγος γι᾽ αὐτὰ ἔλαβε πολὺ καλὸ τέλος, μεταφέρει πάλι τὴν προαναγγελία τῶν μελλοντικῶν στὸ ἴδιο τὸ πρόσωπο τοῦ Ἄχαζ (γιατὶ ἔπερεπε, ἔπρεπε νὰ γίνει ἡ πρόρρηση γιὰ τὴ σωτηρία μέσω τοῦ Χριστοῦ πρὸς τοὺς ἀπογόνους τοῦ οἴκου τοῦ Δαβίδ, δηλαδὴ τοὺς καταγόμενους ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, ἀπὸ τὴν ὁποία ἀνέτειλε ὡς πρὸς τὴ σάρκα καὶ ὁ ἴδιος ὁ Χριστός), στὸν ὁποῖο κάνει τὴν προανακοίνωση τῶν δεινῶν καὶ ἀπευκταίων ποὺ θὰ συμβοῦν κατὰ καιροὺς σὲ ἐκείνους ποὺ προτιμοῦν τὴν ἀνυπακοή, γιὰ νὰ μάθουν ὅτι εἶναι ἀληθινὰ πικρὸ καὶ ὄχι χωρὶς βλάβη γιὰ ὅσους περιφρονοῦν τὴ θεία δοξα τὸ νὰ προκαλοῦν στὸν Κύριο στενοχώρια καὶ νὰ θέλουν νὰ προσκυνοῦν ἄλλους, ἐκτὸς ἀπὸ αὐτόν, ποὺ δὲν εἶναι θεοί.

Ὅτι λοιπὸν ἐπρόκειτο κατὰ καιροὺς τὰ ἴδια τὰ Ἱεροσόλυμα καὶ ὅλη ἡ χώρα τῶν Ἰουδαίων νὰ περιπέσει στὶς ἔσχατες ταλαιπωρίες καὶ νὰ γίνουν αἰχμάλωτοι τῶν ἐχθρῶν, τὸ προαναγγέλλει μὲ λεπτομέρεια. Ἐπειδὴ ὅμως ἡ σύνθεση τῶν λέξεων εἶναι πολὺ ἀσαφής, θὰ προσπαθήσω, ὅσο βέβαια μπορῶ, πρὶν ἀπὸ τὰ ἄλλα νὰ τὴ διευκρινίσω. «Θὰ στείλει», λέγει, «ὁ Θεὸς ἐναντίον σου καὶ ἐναντίον τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατέρα σου, ἡμέρες μὲ τέτοιες συμφορές, ποὺ δὲν ἦρθαν ποτὲ ὡς τώρα ἀπὸ τὴν ἡμέρα ποὺ χωρίσθηκε τὸ βασίλειο τοῦ Ἐφραΐμ (Ἰσραὴλ) ἀπὸ τὸ βασίλειο τοῦ Ἰούδα». Τὸ νόημα τοῦ στίχου αὐτοῦ εἶναι τὸ ἑξῆς· Στὰ χρόνια τῆς βασιλείας τοῦ Ροβοάμ, υἱοῦ τοῦ Σολομώντα, ἀφαίρεσε, δηλαδὴ ἀπέσπασε τὸν ἑαυτό του ὁ Ἐφραΐμ, δηλαδὴ πάλι οἱ

αἱ δέκα φυλαί, ἀπὸ τῆς Ἰούδα φυλῆς. Ἐχωρίσθησαν γάρ, καὶ αἱ μὲν δέκα φυλαὶ ἀπὸ τῆς Ἰούδα φυλῆς κατῳκήκασι τὴν Σαμάρειαν, ἡ δέ γε φυλὴ Ἰούδα καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ μεμενήκασιν ἐν τοῖς Ἱεροσολύμοις. Ἀλλὰ προϊόντος τοῦ καιροῦ πολλὰ συμβέβηκε τῶν ἀπευκτῶν αὐτοῖς. Πεπόρθηται γὰρ ἡ Σαμάρεια, κατέδραμον δὲ καὶ τὴν Ἰουδαίαν τὰ περίοικα τῶν ἐθνῶν, Ἰδουμαῖοι, Μωαβῖται, καὶ οἱ ἐκ τῆς Φιλιστιείμ. Πεπόνθασι τοίνυν πολλὰ δεινά, καὶ ἡμερῶν πεπείρανται σκληρῶν, οὗτοί τε κἀκεῖνοι. Ἡμέρας τοίνυν, φησίν, ἐπάξει Θεός, ὧν ἴσαι οὔπω γεγόνασιν, ἤτοι ἀφίκοντο καθ' ὑμῶν ἐξ ἐκείνου τοῦ καιροῦ, ἀφ' οὗ ἀφεῖλεν, ἤτοι ἀπέσπασεν ἑαυτὸν ὁ Ἐφραΐμ ἀπὸ τοῦ Ἰούδα. Ποῖος δὲ ἡμῖν οὗτος ὁ καιρός, ἢ τίνες αἱ ἡμέραι; Ὁ βασιλεύς, φησίν, Ἀσσυρίων, τοῦτ' ἔστιν, ὁ Ναβουχοδονόσορ, ὃς πεπόρθηκε τὰ Ἱεροσόλυμα καὶ κατὰ κράτος εἶλε πᾶσαν τὴν Ἰουδαίαν, ἐνέπρησε δὲ καὶ τὸν θεῖον ναόν, καὶ οὐδὲν τὸ παράπαν τῶν εἰς ὠμότητα θηριοπρεπῆ παραλέλοιπεν, ὃ μὴ κατὰ παντὸς δεδρακὼς εὑρίσκηται τοῦ ἔθνους.

Στίχ. 18-19. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ Κύριος μυίαις, ὃ κυριεύει μέρους ποταμοῦ Αἰγύπτου καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ τῶν Ἀσσυρίων, καὶ ἐλεύσονται πάντες καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν τρώγλαις τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ εἰς πᾶσαν ῥαγάδα καὶ ἐν παντὶ ξύλῳ».

Κατευρύνει τὸ διήγημα, καὶ δίεισι λεπτῶς τοῦ πολέμου τὴν ἔφοδον, καὶ ὅτι πᾶσαν αὐτῶν κατανεμηθήσονται γῆν, κώμας τε καὶ πόλεις, οἱ κατ' αὐτῶν ἥξοντες κατὰ καιρούς. Χρῆναι δέ, οἶμαι, τὰ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν γεγραμμένα πάλιν εἰπεῖν πρὸς τὴν τῶν ἐσομένων ἀκριβῆ διασάφησιν. Γέγονε τοίνυν υἱὸς μὲν τοῦ Ἄχαζ, πρὸς ὃν νῦν ὁ λόγος, Ἐζεχίας, Ἐζεχίου δὲ Μανασσῆς, Μανασσῆ δὲ Ἀμώς.

δέκα φυλές, ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα. Χωρίσθηκαν δηλαδή, καὶ οἱ δέκα φυλὲς ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα κατοίκησαν στὴ Σαμάρεια, ἐνῶ ἡ φυλὴ τοῦ Ἰούδα καὶ τὸ μισὸ τῆς φυλῆς τοῦ Μανασσῆ ἔμειναν στὰ Ἱεροσόλυμα. Ὅμως μὲ τὸ πέρασμα τῶν χρόνων συνέβησαν σ' αὐτοὺς πολλὰ δυσάρεστα. Γιατὶ κυριεύθηκε ἡ Σαμάρεια, καὶ ἐπέδραμαν καὶ στὴν Ἰουδαία τὰ γύρω ἔθνη, Ἰδουμαῖοι, Μωαβῖτες καὶ οἱ Φυλισταῖοι. Ἔπαθαν λοιπὸν πολλὰ δεινὰ καὶ δοκιμάσθηκαν μὲ σκληρὲς ἡμέρες καὶ αὐτοὶ καὶ ἐκεῖνοι. Θὰ στείλει λοιπόν, λέγει, ὁ Θεὸς ἡμέρες, ποὺ ὅμοιές τους δὲν ἔχουν ἔρθει ἀκόμα, ἤτοι δὲν ἦρθαν ἐναντίον σας ἀπὸ τὸν καιρὸ ἐκεῖνο, ἀφότου δηλαδὴ ἀφαίρεσε, ἤτοι ἀπέσπασε ὁ Ἐφραὶμ τὸν ἑαυτό του ἀπὸ τὸν Ἰούδα. Ποιὸς εἶναι ὅμως αὐτὸς ὁ καιρὸς γιὰ μᾶς ἢ ποιὲς οἱ ἡμέρες; Ὁ βασιλιὰς λέγει τῶν Ἀσσυρίων, δηλαδὴ ὁ Ναβουχοδονόσορ, ὁ ὁποῖος εἶχε πολιορκήσει καὶ καταστρέψει τὰ Ἱεροσόλυμα καὶ κυρίευσε κατὰ κράτος ὅλη τὴν Ἰουδαία, ἀλλὰ καὶ πυρπόλησε καὶ τὸν θεῖο ναὸ καὶ δὲν παρέλειψε ἀπολύτως κανένα ἀπὸ ἐκεῖνα ποὺ ταιριάζουν στὴν ὠμότητας τῶν θηρίων, ποὺ νὰ βρίσκεται νὰ μὴ τὸ ἔπραξε ἐναντίον ὅλου τοῦ ἔθνους.

> Στίχ. 18-19. «Καὶ θὰ συμβεῖ τὴν ἡμέρα ἐκείνη θὰ σφυρίξει ὁ Κύριος στοὺς ἄπειρους, σὰν μυῖγες, Αἰγύπτιους ποὺ κατοικοῦν στὸν ἄνω Νεῖλο, καὶ στὰ σὰν σμήνη μελισσῶν στρατεύματα τῶν Ἀσσυρίων, ποὺ θὰ ρθοῦν ὅλοι καὶ θὰ ἀναπαυθοῦν στὰ φαράγγια τῆς χώρας καὶ στὶς τρύπες τῶν βράχων καὶ στὰ σπήλαια καὶ σὲ κάθε σχισμὴ τῆς γῆς καὶ κάθε κούφιο δέντρο».

Διευρύνει τὴ διήγηση καὶ ἐκθέτει μὲ λεπτομέρεια τὴν ἐξέλιξη τοῦ πολέμου καὶ ὅτι θὰ καταλεηλατήσουν ὅλη τὴ γῆ τους, τὰ χωριὰ καὶ τὶς πόλεις, ἐκεῖνοι ποὺ θὰ ἔρχονταν κατὰ καιροὺς ἐναντίον τους. Πρέπει ὅμως, νομίζω, νὰ πῶ πάλι αὐτὰ ποὺ εἶναι γραμμένα στὴν τετάρτη τῶν Βασιλειῶν, πρὸς ἀκριβῆ διασάφηση αὐτῶν ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον. Υἱὸς λοιπὸν τοῦ Ἄχαζ, γιὰ τὸν ὁποῖο τώρα μιλᾶμε, ὑπῆρξε ὁ Ἐζεκίας, τοῦ Ἐζεκία ὁ Μανασσῆς,

Τούτου δὲ παῖς Ἰωσίας, ἀνὴρ εὐσεβής, πλὴν ἀπεβίω τοιῷδέ τινι τρόπῳ. Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου τὴν ἐνεγκοῦσαν ἀφείς, ἐξέθει πανστρατιᾷ καὶ κατὰ τῆς Ἀσσυρίων ἠπείγετο γῆς Δεδιώς τε τοίνυν ὁ Ἰωσίας, μὴ ἄρα πως, καὶ κατὰ τῆς Ἰουδαίας ἐλθών, ὑπό χεῖρά τε τὴν ἑαυτοῦ λάβοι καὶ κατάρξειεν αὐτῆς, ἀντεξάγειν ἤθελε, καίτοι τοῦ Φαραὼ τὴν πρὸς αὐτὸν παραιτουμένου μάχην· ἐνιστάμενος δὲ τετελεύτηκεν ἐν τῷ πολέμῳ καὶ κατεκράτησε τῆς Ἰουδαίων γῆς ὁ Αἰγύπτιος, εἰς τοῦτο δὲ διήλασεν ἰσχύος, ὥστε καὶ βασιλεύσαντα τὸν Ἰωαχὰς τὸν Ἰωσίου παῖδα μεταστῆσαι τῆς βασιλείας καὶ δεδεμένον εἰσενεγκεῖν εἰς τὴν ἑαυτοῦ χώραν καὶ χειροτονῆσαι βασιλέα τὸν Ἐλιακείμ, καὶ δασμοὺς ἐπιθεῖναι τῷ ἔθνει καὶ χρημάτων ἄθροισιν αἰτῆσαι πολλήν Εἶτα βασιλεύσαντος τῆς Ἰουδαίας Ἐλιακείμ ἐπ' ἔτεσιν ὅλοις ἕνδεκα τὸν ἀριθμόν, διαδέχεται τοὺς θάκους Ἰεχονίας υἱὸς αὐτοῦ, εἶτα μετὰ τοῦτον Σεδεκίας, οὗ τὴν βασιλείαν διέποντος, κατεστράτευσε τῆς Ἰουδαίας ὁ Ναβουχοδονόσορ, ὃς καὶ πάσας κατεμπρήσας, καὶ προσθεὶς ταῖς ἄλλαις πόλεσιν καὶ αὐτὴν τὴν Ἱερουσαλήμ, εἷλεν αἰχμάλωτον τὸν Ἰσραήλ, ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς, κἀκεῖνα πέπραχεν, ὅσα καὶ ἐν τοῖς ἱεροῖς κεῖται Γράμμασι.

Τούτων ἡμῖν τῶν ἱστοριῶν ποιεῖται τὴν ἀφήγησιν τῶν προκειμένων ἡ δύναμις. «Ἔσται τοίνυν», φησίν, «ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (τοῦτ' ἔστι κατ' ἐκεῖνο τοῦ καιροῦ), συριεῖ Κύριος μυίαις, ὃ κυριεύει μέρους ποταμῶν Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ τῶν Ἀσσυρίων». Πεποίηται τοίνυν ὁ λόγος ὡς ἐκ μεταφορᾶς τῆς τῶν μελισσοκόμων ἐμπειρίας, οἳ συρίσμασι τὰς μυίας ἀποφέρουσί τε τῶν σίμβλων εἰς ἀγροὺς καὶ πάλιν ἀνακομίζουσι, καθάπερ τισὶ σηκοῖς ἐγκαθειργνύντες θρέμματα. Μυίαις δὲ παρεικάζει τοὺς Αἰγυπτίους, καθάπερ ἐγῷμαι, διά τοι τὸ πλῆθος καὶ τὸ μὴ λίαν εὔηχες τῆς φωνῆς, μελίσσῃ δὲ τὸ τῶν Ἀσσυρίων ἔθνος· ποικίλη γάρ, εὔχρως τε καὶ κατεστιγμένη πολυτρό-

καὶ τοῦ Μανασσῆ ὁ Ἀμώς. Υἱὸς τοῦ Ἀμὼς ἦταν ὁ Ἰωσίας, ἄνθρωπος εὐσεβής, ἀλλὰ πέθανε μὲ ἕναν τέτοιο τρόπο. Ὁ Φαραὼ Νεχαώ, βασιλιὰς τῆς Αἰγύπτου, ἀφήνοντας τὴν πατρίδα του, ξεχύθηκε μὲ ὅλο τὸ στράτευμά του καὶ βάδιζε ἐναντίον τῆς χώρας τῶν Ἀσσυρίων. Φοβούμενος ὁ Ἰωσὶας μὴ τυχὸν βαδίσει καὶ ἐναντίον τῆς Ἰουδαίας καὶ κάνει τὴ χώρα του ὑποχείριά του καὶ γίνει κυρίαρχός της, ἤθελε νὰ τὸν πολεμήσει, μολονότι ὁ Φαραὼ ἀπέφευγε τὴ μάχη ἐναντίον του. Ἀφοῦ ἐξεγέρθηκε λοιπὸν ἐναντίον του σκοτώθηκε στὸν πόλεμο καὶ κυρίευσε τὴ χώρα τῶν Ἰουδαίων ὁ Αἰγύπτιος, ὁ ὁποῖος ἀπέκτησε τόση δύναμη, ὥστε κι ὅταν ἔγινε βασιλιὰς ὁ Ἰωαχὰς, ὁ υἱὸς τοῦ Ἰωσία, τὸν ἐξεθρόνισε καὶ δεμένο τὸν μετέφερε στὴ χώρα του, ἐνῶ βασιλιὰ χειροτόνησε τὸν Ἐλιακείμ, ἐπέβαλε φόρους στὸ ἔθνος, καὶ ζήτησε μεγάλο ποσὸ χρημάτων. Ἔπειτα, ἀφοῦ βασίλευσε στὴν Ἰουδαία ὁ Ἐλιακεὶμ γιὰ ἕνδεκα συνολικὰ χρόνια, τὸν διαδέχθηκε στὸ θρόνο ὁ υἱός του Ἰεχονίας, καὶ ἔπειτα ἀπὸ αὐτὸν ὁ Σεδεκίας, κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ ὁποίου ἐξεστράτευσε ἐναντίον τῆς Ἰουδαίας ὁ Ναβουχοδονόσορ, ὁ ὁποῖος, ἀφοῦ πυρπόλησε καὶ ὅλες τὶς πόλεις προσθέτοντας σ' αὐτὲς καὶ τὴν ἴδια τὴν Ἱερουσαλήμ, πῆρε αἰχμαλώτους τοὺς Ἰσραηλῖτες, μαζὶ μὲ τὰ ἱερὰ σκεύη τους, καὶ ἔκανε ὅλα ἐκεῖνα, ὅσα εἶναι γραμμένα στὰ ἱερὰ Γράμματα.

Αὐτὲς τὶς ἱστορίες μᾶς διηγοῦνται αὐτὰ ποὺ ἐξετάζομε στοὺς στίχους αὐτούς. Γιατὶ λέγει· «Θὰ συμβεῖ λοιπὸν ἐκείνη τὴν ἡμέρα (δηλαδὴ ἐκεῖνον τὸν καιρό), θὰ σφυρίξει ὁ Κύριος στοὺς σὰν τὶς μυῖγες ποὺ κατέχουν μέρος τῶν ποταμῶν τῆς Αἰγύπτου, καὶ στοὺς σὰν τὶς μέλισσες, ποὺ εἶναι τὰ στρατεύματα τῶν Ἀσσυρίων». Ὁ λόγος χρησιμοποιεῖ μεταφορικὰ τὴν ἐμπειρία τῶν μελισσοκόμων, ποὺ μὲ σφυρίγματα μεταφέρουν τὶς μέλισσες στοὺς ἀγροὺς ἀπὸ τὶς κυψέλες, καὶ πάλι τὶς ἐπεναφέρουν πίσω, ὅπως κλείνουν τὰ ζωντανὰ σὲ κάποιες μάντρες. Παρομοιάζει τοὺς Αἰγυπτίους μὲ μυῖγες, ὅπως ἐγὼ νομίζω, ἐξαιτίας τοῦ πλήθους αὐτῶν καὶ τῆς κακόηχης φωνῆς τους, ἐνῶ μὲ τὴ μέλισσα τὸ ἔθνος τῶν Ἀσσυρίων, γιατὶ ἡ μέλισσα εἶναι πολύχρωμη, μὲ ὡραῖα χρώ-

πως ἡ μέλιττα. Τοιοῦτοι δέ πως, ὅσον ἦκεν εἰς ἄμφιά τε καὶ στολήν, Ἀσσύριοί τε καὶ Πέρσαι· φιλόκοσμοι γάρ, καὶ τὸ ποικίλως ἐστάλθαι τιμῶντες ἀεί, καὶ πρός γε τοῦτο κεκεντρωμένοι. Οὗτοι, φησίν, «ἥξουσι πάντες καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ ἐπὶ πᾶσαν ῥαγάδα καὶ ἐν παντὶ ξύλῳ». Ἐπειδὴ γὰρ ὡς περὶ μυιῶν πεποίηται τοὺς λόγους, ἐπιμένει τῇ τροπῇ. Δηλοῖ γε μὴν ὅτι πᾶσαν αὐτῶν ἐρευνήσουσι τὴν χώραν, ὡς μηδένα δύνασθαι τῶν κεκρυμμένων λαθεῖν· κἂν εἴτε τυχὸν ἐν πέτραις, ἤτουν ἐν φάραγξι, ἢ καὶ ἐν δρυμοῖς καὶ νάπαις ἑαυτοὺς κατακρύψειαν. Καὶ καθ' ἕτερον δὲ τρόπον ἐν τοῖς παροτρύνουσι τὸν τῶν ὅλων Θεὸν καὶ προσκρούειν αὐτῷ μὴ παραιτουμένοις, σφηκῶν δίκην ἐναυλίζονται, καὶ καταλύουσιν αἱ πονηραί τε καὶ ἀντικείμεναι δυνάμεις, καὶ τὰ ἔκτοπα τῶν ἐν ἡμῖν παθῶν ἀποσοβοῦντος οὐδενός, ἤγουν ἐπαμύνοντος καὶ σώζειν ἰσχύοντος. Θεοῦ γὰρ κακοῦν ἐθέλοντος, τίς ἡμᾶς ὁ ὠφελῆσαι δυνάμενος;

Στίχ. 20. «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει Κύριος τῷ ξυρῷ τῷ μεγάλῳ καὶ μεμεθυσμένῳ, ὅ ἐστι πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ».

Συνθεῖναι πρῶτον τὴν λέξιν καὶ ἐν τούτοις ἡμᾶς ἀναγκαῖον, εἶθ' οὕτω λοιπὸν τὸ ἐκ τῶν ἐννοιῶν ὑποδηλούμενον εἰπεῖν. Οὐκοῦν «ἐν τῇ ἡμέρᾳ ἐκείνῃ», φησί, τοῦτ' ἔστι κατ' ἐκεῖνο τοῦ καιροῦ, τῷ μεγάλῳ ξυρῷ καὶ μεμεθυσμένῳ, ὅ ἐστι τοῦ βασιλέως Ἀσσυρίων, τοῦ ὄντος πέραν τοῦ ποταμοῦ, δῆλον δὲ ὅτι τοῦ Εὐφράτου, «ξυρήσει Κύριος τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ». Ξυρὸν δὲ μέγα καὶ μεμεθυσμένον τοῦ βασιλέως Ἀσσυρίων, τοῦ ὄντος πέραν τοῦ ποταμοῦ, καλεῖ τὴν μάχαιραν αὐτοῦ, τὴν οἷον ἀφειδῶς ἀποκείρουσαν, καὶ χαίρουσαν τῷ μεθύ-

ματα καὶ μὲ πολλὰ στίγματα, καὶ τέτοιοι κατὰ κάποιο τρόπο ἦταν, ὅσον ἀφορᾶ τὰ φορέματα καὶ τὴ στολή, οἱ Ἀσσύριοι καὶ οἱ Πέρσες· γιατὶ ἀγαποῦσαν τὰ στολίδια καὶ ἤθελαν ἡ ἐνδυμασία τους νὰ εἶναι πάντοτε ποικιλόχρωμη, κι ἐκτὸς ἀπὸ αὐτὸ νὰ εἶναι ὁπλισμένοι. Αὐτοὶ ὅλοι, λέγει, «θὰ ρθοῦν καὶ θὰ ἀναπαυθοῦν στὰ φαράγγια τῆς χώρας καὶ στὶς τρύπες τῶν βράχων καὶ στὰ σπήλαια, καὶ σὲ κάθε σχισμὴ τῆς γῆς καὶ σὲ κάθε δένδρο». Ἐπειδὴ δηλαδὴ διατυπώνει τοὺς λόγους του σὰ νὰ εἶναι αὐτοὶ μυῖγες, ἐπιμένει στὴ μεταφορά. Δηλώνει δηλαδὴ ὅτι θὰ ἐρευνήσουν ὅλη τὴ χώρα, ὥστε νὰ μὴν μπορεῖ νὰ διαφύγει κανένας ἀπὸ ἐκείνους ποὺ ἔχουν κρυφθεῖ, κι ἂν τυχὸν ἔχει κρυφθεῖ σὲ πέτρες ἢ σὲ φαράγγια ἢ καὶ στὰ δάση καὶ τὶς κοιλάδες. Καὶ μὲ ἄλλο τρόπο σ' αὐτοὺς ποὺ ἐξοργίζουν τὸν Θεὸ τῶν ὅλων καὶ δὲν παύουν νὰ τὸν ἀντιμάχονται, ἐγκαθίστανται μέσα τους σὰν σφῆκες καὶ τοὺς κάνουν τόπους διαμονῆς οἱ κακὲς καὶ ἀντίθετες δυνάμεις, χωρὶς νὰ μπορεῖ κανένας νὰ ἀπομακρύνει τὰ παράδοξα τῶν παθῶν ποὺ ὑπάρχουν μέσα μας, ἢ νὰ τοὺς ὑπερασπισθεῖ καὶ νὰ τοὺς σώσει. Γιατί, ὅταν θέλει ὁ Θεὸς νὰ μᾶς προξενήσει κακό, ποιὸς εἶναι ἐκεῖνος ποὺ μπορεῖ νὰ μᾶς ὠφελήσει;

Στίχ. 20. «Τὴν ἡμέρα ἐκείνη ὁ Κύριος μὲ τὸ ξυράφι τὸ μεγάλο καὶ μεθυσμένο, ποὺ βρίσκεται πέρα ἀπὸ τὸν ποταμό, θὰ ξυρίσει τὸ κεφάλι καὶ τὶς τρίχες τῶν ποδιῶν σας καὶ θ' ἀφαιρέσει καὶ τὴ γενειάδα σας».

Πρέπει καὶ στὰ λεγόμενα αὐτὰ νὰ συντάξομε πρῶτα τὶς λέξεις, κι ἔτσι νὰ ποῦμε στὴ συνέχεια αὐτὸ ποὺ ὑποδηλώνεται ἀπὸ τὶς λέξεις. Λοιπόν, τὴν ἡμέρα ἐκείνη, λέγει, δηλαδὴ ἐκεῖνο τὸν καιρό, μὲ τὸ μεγάλο καὶ μεθυσμένο ξυράφι, ποὺ εἶναι τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων καὶ βρίσκεται πέρα ἀπὸ τὸν ποταμό, δηλαδὴ τὸν Εὐφράτη, θὰ ξυρίσει ὁ Κύριος τὸ κεφάλι καὶ τὶς τρίχες τῶν ποδιῶν καὶ θ' ἀφαιρέσει τὴ γενειάδα. Ξυράφι μεγάλο καὶ μεθυσμένο τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων, ποὺ βρίσκεται πέρα ἀπὸ τὸν ποταμό, καλεῖ τὸ ξίφος αὐτοῦ ποὺ κουρεύει κατὰ κάποιο τρόπο χωρὶς

εἰν τῷ τῶν πιπτόντων αἵματι. Καὶ ὁ μὲν νοῦς τῶν λέξεων οὗτος. Φαμὲν δὲ ὅτι ἀτιμίας ἦν ἐσχάτης τρόπος, τὸ καθ' ἕνα καιρὸν ὁρᾶσθαί τινας κεφαλήν τε καὶ πώγωνα κατεξυρημένους. Καὶ γοῦν ὁ τῶν ὅλων Θεὸς ἐπηπείλησέ που ταῖς θυγατράσι Σιών, ὑψουμέναις τε καὶ πορευομέναις ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, τῆς εὐημερίας τὴν ἀφαίρεσιν. Ἔφη γάρ, ὅτι «Καὶ ἔσται, καὶ ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσοῦ, φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου». Ἑδρων δὲ τοῦτό τινες, καὶ ἐπὶ νεκροῖς ἑαυτοὺς ἀτιμάζοντες, ὅθεν καὶ ὁ νόμος ὁ διὰ Μωσέως τοῖς τὴν θείαν λαχοῦσιν ἱερουργίαν παρεγγυᾷ, τὸ μὴ ἐν ἴσῳ τοῖς ἄλλοις ἐπὶ νεκρῷ κατεξυρῆσθαι, μήτε μὴν καταφθείρειν τὴν ὄψιν τοῦ πώγωνος.

Γέγραπται γὰρ ὧδί· Πεπορθημένων δὲ τῶν Ἱεροσολύμων ἐπὶ τοῦ Ναβουχοδονόσορ, ἀνέβησαν ἄνδρες ἀπὸ Συχὲμ καὶ ἀπὸ Σαλὴμ καὶ Σαμαρείας, καθά φησιν Ἱερεμίας· Ὀγδοήκοντα ἄνδρες ἐξυρημένοι πώγωνας καὶ διερρωγότες τὰ ἱμάτια καὶ κοπτόμενοι καὶ μάννα καὶ λίβανον ἐν ταῖς χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς τὸν οἶκον Κυρίου. Οὐκοῦν πένθους τε ἅμα, καὶ ἀτιμίας ἦν τρόπος τὸ ἀποκείρειν ξυρῷ κεφαλήν τε καὶ πώγωνα. Τοῦτο πείσεσθαι κατὰ καιροὺς τὴν τῶν Ἰουδαίων χώραν ὁ προφητικὸς ἔφη λόγος. Ἀπομενεῖ γάρ, φησίν, ἀπολωλότων αὐτῆς τῶν τέκνων, πενθοῦσά τε καὶ ἀτιμωτάτη. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τοῖς θεωρήμασι προσβαλεῖν, ἐννοήσει τι τοιοῦτον. Τρίχας μὲν γὰρ κεφαλῆς τάχα πού φησιν τοὺς ἐντιμωτάτους πλούτῳ τε καὶ ὑπεροχαῖς τῶν ἄλλων ὑπερανεστηκότας (ἀνωτέρω γὰρ κεφαλῆς οὐδέν), πώγωνα δὲ τοὺς ἐν συνέσει καὶ φρεσίν· οὕτω γὰρ πώγων ἀεὶ λαμβάνεται παρὰ τῇ θεοπνεύστῳ Γραφῇ. Ὅταν δὲ καὶ ποδῶν ὀνομάζει τρίχας,

9. Ἡσ. 3,24. 10. Λευϊτ. 21,5. 11. Ἱερ. 48 (Μασ. 41),5.

λύπηση, καὶ χαίρεται νὰ μεθᾶ ἀπὸ τὸ αἷμα τῶν σκοτωμένων. Καὶ τὸ νόημα βέβαια τῶν λέξεων εἶναι αὐτό. Λέμε ὅμως ὅτι ἦταν δεῖγμα ἔσχατης ἀτιμίας τὸ νὰ βλέπουν κάποιους γιὰ κάποιο καιρὸ μὲ ξυρισμένο τὸ κεφάλι καὶ τὰ γένεια. Καὶ πράγματι ὁ Θεὸς τῶν ὅλων ἀπείλησε κάπου τὶς κοπέλλες τῆς Σιὼν ποὺ ὑπερηφανεύονταν καὶ βάδιζαν μὲ τὸ κεφάλι ψηλὰ καὶ μὲ κοιτάγματα ὑπεροπτικὰ μὲ ἀφαίρεση τῆς εὐημερίας τους. Γιατὶ εἶπε· «Καὶ θὰ συμβεῖ ἀντὶ γιὰ γλυκειὰ εὐωδία, κονιορτός, κι ἀντὶ γιὰ ζώνη θὰ ζωσθεῖς ἁπλὸ σχοινί, καὶ ἀντὶ γιὰ χρυσὰ στολίδια τῆς κεφαλῆς, θὰ ἀποκτήσεις φαλάκρα ἐξαιτίας τῶν ἔργων σου»[9]. Αὐτὸ τὸ ἔπραξαν κάποιοι καὶ σὲ περιπτώσεις νεκρῶν ἀτιμάζοντας τὸν ἑαυτό τους. Γι' αὐτὸ καὶ ὁ Μωσαϊκὸς νόμος παραγγέλλει σ' αὐτοὺς ποὺ τοὺς ἔλαχε ἡ τιμὴ τῆς θείας ἱερουργίας, νὰ μὴ ξυρίζονται σὲ περίπτωση νεκροῦ ὅμοια μὲ τοὺς ἄλλους, οὔτε νὰ καταστρέφουν τὴ μορφὴ τῆς γενειάδας τους[10].

Πράγματι γράφει τὰ ἑξῆς· Ὅταν κυριεύθηκαν τὰ Ἱεροσόλυμα ἀπὸ τὸν Ναβουχοδονόσορ «ἀνέβηκαν ἄνδρες ἀπὸ τὴ Συχὲμ καὶ τὴ Σαλὴμ καὶ τὴ Σαμάρεια», ὅπως λέγει ὁ Ἱερεμίας, «ὀγδόντα ἄνδρες μὲ ξυρισμένα γένεια καὶ ξεσχισμένα φορέματα καὶ χτυπώντας τὸ στῆθος μὲ θρήνους, καὶ κρατώντας στὰ χέρια τους μάννα καὶ λιβάνι γιὰ νὰ τὰ προσφέρουν στὸ ναὸ τοῦ Κυρίου»[11]. Ἦταν λοιπὸν ἔνδειξη πένθους καὶ ἀτιμίας νὰ ξυρίζει κανεὶς μὲ ξυράφι τὸ κεφάλι καὶ τὰ γένεια. Αὐτὸ θὰ πάθει, εἶπε ὁ προφητικὸς λόγος, κατὰ καιροὺς ἡ χώρα τῶν Ἰουδαίων. Γιατὶ λέγει, θὰ βρεθεῖ, μετὰ τὴν ἀπώλεια τῶν παιδιῶν της, σὲ πένθος καὶ ἀτίμωση. Ἂν ὅμως θέλει κάποιος καὶ μὲ ἄλλο τρόπο νὰ ἐξηγήσει τὰ λεγόμενα, μπορεῖ νὰ ἐννοήσει κάτι τέτοιο. Τρίχες τῆς κεφαλῆς ἴσως λέγει ἐκείνους ποὺ στέκονται πάνω ἀπὸ ὅλους ἐξαιτίας τοῦ πλούτου καὶ τῶν ὑπεροχῶν τους (γιατὶ πιὸ πάνω ἀπὸ τὸ κεφάλι δὲν ὑπάρχει τίποτε), γενειάδα ὀνομάζει τοὺς συνετοὺς καὶ φρόνιμους· γιατὶ μ' αὐτὸ τὸ νόημα λαμβάνεται πάντοτε ἡ γενειάδα στὴ θεόπνευστη Γραφή. Ὅταν πάλι ὁμιλεῖ γιὰ τρίχες τῶν ποδιῶν, ὑποδηλώνει, ὅπως

σημαίνει που, κατὰ τὸ εἰκός, τοὺς ἐν τάξει κειμένους τῇ ἐσχάτῃ καὶ κατωτάτω. Ἐφείσατο δὲ τὸ παράπαν οὐδενὸς τὸ ξυρὸν μεμεθυσμένον, ἀλλ' ὁμοῦ τοῖς ὑπερκειμένοις, μέσους τε καὶ τελευταίους, καὶ συνετοὺς τῆς Ἰουδαίων ἀπέκειρε χώρας, ὡς ἀφεῖναι γυμνὴν καὶ ἐψιλωμένην. Μετεκόμισε γὰρ ὁ Ναβουχοδονόσορ εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων σχεδὸν ἅπαντα τὸν Ἰσραήλ.

Στίχ 21-22. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἔσται ἀπὸ τοῦ πλείστου ποιεῖν γάλα βούτυρον καὶ μέλι φάγεται, πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς».

Τοῦ ξυροῦ καὶ μεμεθυσμένου καὶ μεγάλου, τοῦτ' ἔστι τῆς Βαβυλωνίων μαχαίρας, ἐμφανῆ καταστῆσαι τὴν ἐνέργειαν ὁ σκοπὸς αὐτῷ. Καταψιλωθήσεσθαι γάρ φησιν ἅπασαν τῶν Ἰουδαίων τὴν χώραν, πτωχείας τε ὁμοῦ καὶ ὀλιγανδρίας εἰς τοῦτο ἐλθεῖν, ὡς τὸν περιλειφθέντα καὶ ἀνασεσωσμένον ἐκ τῆς τῶν πολεμίων χειρός, ἐναπομείναντά τε τῇ γῇ, δεσπότην ἔσεσθαι δαμάλεώς τε μιᾶς καὶ προβάτων δύο καίτοι πάλαι πλείστας τε ὅσας οἰῶν ἀγέλας, καὶ μὴν καὶ βοῶν κεκτῆσθαί τε καὶ νέμειν εἰωθότων τῶν ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν. Οὐκοῦν πτωχείας μὲν τῆς εἰς ἄκρον ἀπόδειξις ἥδε σαφής. Ὅτι δὲ καὶ κομιδῇ βραχεῖς ἐν ἀριθμῷ κατὰ τόπους ἔσονται προσαποδείκνυσι λέγων· «Καὶ ἔσται ἀπὸ τοῦ πλείστου ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. Ἐκ δύο προβάτων καὶ δαμάλεως μιᾶς τοσοῦτον γάλα ἔσεσθαί φησιν, ὥστε πᾶσιν ἀρκέσαι τοῖς καταλειφθεῖσιν εἰς κόρον, εἰ δὴ βούλοιντο τὰς διὰ γάλακτος ποιεῖσθαι τροφάς. Ἆρ' οὖν οὐκ ἐναργές, ὡς εὐαρίθμητοι παντελῶς οἱ διαφυγόντες τὸ ξυρὸν καὶ ἐν ἑκάστῳ τόπῳ τῆς Ἰουδαίας μεμενηκότων; Πόσοι γὰρ ἂν εἶεν, οἷς ἀρκέσει πρὸς τροφὴν καὶ κόρον [γάλα] δύο προβάτων καὶ δαμάλεως μιᾶς;

εἶναι εὔλογο, αὐτοὺς ποὺ ἀνήκουν στὴν ἔσχατη καὶ κατώτατη τάξη. Μεθυσμένο τὸ ξυράφι δὲν λυπήθηκε κανένα ἀπολύτως, ἀλλὰ μαζὶ μὲ τοὺς ἀνώτατους, ξύρισε καὶ τοὺς μεσαίους καὶ τοὺς τελευταίους καὶ τοὺς συνετοὺς τῆς χώρας, ὥστε νὰ τὴν ἀφήσει γυμνὴ καὶ ἀποψιλωμένη. Γιατὶ ὁ Ναβουχοδονόσορ μετέφερε στὰ ὄρη τῶν Περσῶν καὶ τῶν Μήδων ὅλους σχεδὸν τοὺς Ἰσραηλῖτες[12].

Στίχ. 21-22. «Τὴ μέρα ἐκείνη θὰ συμβεῖ ἄνθρωπος οἰκογενειάρχης νὰ θρέψει μιὰ δαμάλα καὶ δύο πρόβατα, καὶ ἐπειδὴ θὰ παράγουν αὐτὰ τὰ ζῶα πολὺ γάλα, θὰ φάει βούτυρο καὶ μέλι ὅποιος ἀπομείνει ἐπάνω στὴ γῆ».

Ὁ σκοπὸς τοῦ προφήτη εἶναι νὰ κάνει φανερὴ τὴν ἐνέργεια τοῦ μεθυσμένου καὶ μεγάλου ξυραφιοῦ, δηλαδὴ τῆς μάχαιρας τῶν Βαβυλωνίων. Γιατὶ λέγει, θὰ ἀπογυμνωθεὶ ὅλη ἡ Ἰουδαϊκὴ χώρα, θὰ περιέλθει σὲ τέτοια κατάσταση φτώχειας καὶ μαζὶ καὶ ὀλιγανθρωπίας, ὥστε αὐτὸς ποὺ θὰ ἀπομείνει καὶ θὰ σωθεῖ ἀπὸ τὸ χέρι τῶν ἐχθρῶν καὶ θὰ παραμείνει στὴ γῆ, θὰ γίνει ἰδιοκτήτης μιᾶς δαμάλας καὶ δυὸ προβάτων, μολονότι παλαιὰ πλεῖστα ὅσα κοπάδια προβάτων καὶ ἀγέλες βοδιῶν εἶχαν καὶ ἔβοσκαν σὲ ὅλη τὴν Ἰουδαία. Αὐτὸ λοιπὸν εἶναι σαφὴς ἀπόδειξη τῆς ἄκρας φτώχειας τους. Ὅτι ὅμως θὰ εἶναι κατὰ τόπους καὶ πάρα πολὺ ὀλιγάριθμοι τὸ ἀποδεικνύει λέγοντας· «Καὶ θὰ συμβεῖ ἀπὸ τὴν πολλὴ παραγωγὴ γάλακτος νὰ φάει βούτυρο καὶ μέλι ὅποιος ἀπομείνει στὴ γῆ». Ἀπὸ δύο πρόβατα καὶ μιὰ δαμάλα θὰ ὑπάρξει, λέγει, τόσο γάλα, ὥστε θὰ ἐπαρκέσει γιὰ ὅλους ἐκείνους ποὺ θὰ ἀπομείνουν νὰ φᾶνε καὶ νὰ χορτάσουν, ἂν βέβαια ἤθελαν νὰ τραφοῦν μὲ προϊόντα παρασκευασμένα ἀπὸ γάλα. Ἄρα λοιπὸν δὲν εἶναι φανερὸ ὅτι εἶναι τελείως ὀλιγάριθμοι ἐκεῖνοι ποὺ διέφυγαν τὸ ξυράφι καὶ παρέμειναν σὲ κάθε περιοχὴ τῆς Ἰουδαίας; Πόσοι δηλαδὴ θὰ μποροῦσαν νὰ εἶναι αὐτοὶ ποὺ θὰ τοὺς εἶναι ἀρκετὸ νὰ φᾶνε καὶ νὰ χορτάσουν ἀπὸ τὸ γάλα δυὸ προβάτων καὶ μιᾶς δαμάλας;

12. Διάβασε Δ' Βασ. κεφ. 24 καὶ 25.

Τί οὖν ἆρα τὸ ἐντεῦθεν εἰς ὄνησιν ἡμῖν τοῖς πνευματικοῖς ἐκβήσεται, ἔξεστιν ἰδεῖν διὰ πραγμάτων αὐτῶν. Ὅσοι μὲν μελετῶντες τὸ δυσήκοον καὶ γαῦρον ἐξανιστάντες τῷ Θεῷ τὸν αὐχένα καὶ τῇ τῶν πνευματικῶν ἀγαθῶν ἐνδείᾳ κατατακήσονται καὶ ὀλιγοστοὶ παντελῶς γενηθήσονται, καὶ παντὸς ἐνδεεῖς εὑρεθήσονται τοῦ τρέφειν εἰδότος εἰς εὐεξίαν τὴν νοητήν, καὶ ἀνακομίζειν οἷόν τε, καὶ μάλα γοργῶς, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ἀκούσονται δὲ οἱ τοιοίδε Θεοῦ λέγοντος διὰ φωνῆς ἁγίου· «Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε». Ἀμφιλαφεστάτη γὰρ λίαν ἡ παντὸς ἀγαθοῦ μέθεξις παρὰ Θεοῦ τοῖς τὰ αὐτοῦ φρονεῖν ἐγνωκόσιν, οἷς καὶ αὐτὸς προσπεφώνηκε λέγων· «Φάγετε καὶ πίετε καὶ μεθύσκητε οἱ πλησίον μου».

Στίχ. 23-24. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πᾶς τόπος, οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν, μετὰ βέλους καὶ τοξεύματος ἐλεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ».

Ἔργον ἂν εἴη τοῦτο τοῦ ξυροῦ τοῦ μεγάλου καὶ μεμεθυσμένου καὶ ἀπόδειξις ἐναργὴς τῆς τοῦ ἔθνους ὀλιγανδρίας. Δεδαπάνηκε γὰρ οὕτως ὁ πόλεμος τοὺς κατοικοῦντας τὴν Ἰουδαίαν, ὡς περιλειφθῆναι μόλις ἀριθμῷ βραχεῖς τοὺς ἐν αὐτῇ. Ταύτῃτοι καὶ ἀμεληθήσεσθαί φησι, καὶ εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκανθαν τὰ κάλλιστα παρ' αὐτοῖς καὶ ἐξαίρετα τῶν κτημάτων, οὐκ ὄντων δηλονότι τῶν γηπονεῖν εἰδότων. Εἰ γὰρ εἶεν, φησίν, ἐν ἑνὶ τόπῳ χίλιαι ἄμπελοι χιλίων σίκλων, ὡς ἀξίαν ἄμπελον ἑκάστην σίκλου ἑνὸς (τιμήματος δὲ τοῦτο μέτρον), εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκανθαν, ὥστε, κἂν εἴ τις βούλοιτο τῷ χωρίῳ προσβαλεῖν,

13. Ἡσ. 65, 13.

Ποιὰ θὰ εἶναι λοιπὸν ἡ ὠφέλεια ποὺ θὰ προκύψει γιὰ μᾶς τοὺς πνευματικοὺς ἀπὸ αὐτό τὸ γεγονός, μποροῦμε νὰ τὸ δοῦμε ἀπὸ τὰ ἴδια τὰ πράγματα. Ὅσοι θέλουν νὰ εἶναι ἀνυπάκουοι καὶ σηκώνουν μὲ ἔπαρση τὸ κεφάλι ἐναντίον τοῦ Θεοῦ καὶ ἐξαιτίας τῆς ἔλλειψης πνευματικῶν ἀγαθῶν, θὰ λειώσουν καὶ θὰ καταντήσουν τελείως λιγοστοί, καὶ θὰ βρεθοῦν φτωχοὶ ἀπὸ κάθε τι ποὺ γνωρίζει νὰ τρέφει πρὸς νοητὴ εὐεξία καὶ μπορεῖ νὰ ὁδηγεῖ, καὶ πολὺ γρήγορα μάλιστα, σὲ ἄνδρα τέλειο, στὸ μέτρο ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Αὐτοὶ θὰ ἀκούσουν τὸν Θεὸ νὰ τοὺς λέγει μέσω ἑνὸς ἁγίου· «Νά, αὐτοὶ ποὺ μὲ ὑπηρετοῦν θὰ φᾶνε, ἐσεῖς ὅμως θὰ πεινάσετε. Νά, αὐτοὶ ποὺ μὲ ὑπηρετοῦν θὰ πιοῦν, ἐνῶν σεῖς θὰ διψάσετε»[13]. Γιατὶ εἶναι πλουσιότατη ἡ μέθεξη κάθε ἀγαθοῦ δοσμένου ἀπὸ τὸν Θεὸ σὲ ὅποιους ἀποφάσισαν νὰ φρονοῦν ὅσα λέγει ὁ Θεός, στοὺς ὁποίους ἀπευθυνόμενος καὶ αὐτὸς λέγει· «Φᾶτε καὶ πιεῖτε καὶ μεθύστε, ὅσοι εἴσαστε κοντά μου»[14].

Στίχ. 25. «Καὶ θὰ συμβεῖ τὴν ἡμέρα ἐκείνη κάθε μέρος στὸ ὁποῖο τυχὸν ὑπάρχουν χίλια ἀμπέλια τῶν χίλιων σίκλων θὰ μείνουν χέρσα καὶ γεμᾶτα ἀγκάθια, καὶ θὰ πηγαίνουν ἐκεῖ μὲ βέλη καὶ τόξα, γιατὶ θὰ εἶναι χέρσα καὶ γεμάτη ἀγκάθια ὅλη ἡ χώρα».

Αὐτὸ θὰ εἶναι ἔργο τοῦ ξυραφιοῦ τοῦ μεγάλου καὶ μεθυσμένου καὶ ζωντανὴ ἀπόδειξη τῆς ὀλιγανθρωπίας τοῦ ἔθνους. Γιατὶ κατέφαγε ἔτσι ὁ πόλεμος τοὺς κατοίκους τῆς Ἰουδαίας, ὥστε νὰ ἀπομείνουν ὀλιγάριθμοι σ' αὐτήν. Γι' αὐτὸ λέγει καὶ ὅτι θὰ μείνουν ἀμελημένοι καὶ θὰ μετατραποῦν σὲ χέρσο καὶ ἀγκαθότοπο τὰ ὡραιότερα καὶ ἐξαιρετικὰ κτήματα, ἀπὸ ἔλλειψη δηλαδὴ ἐκείνων ποὺ γνωρίζουν ἀπὸ γεωργία. Γιατὶ λέγει· Ἂν ὑπάρχουν σ' ἕνα μέρος χίλια ἀμπέλια ποὺ παράγουν χίλια σίκλα σοδειὰ καὶ κάθε ἀμπέλι ἔχει ἀξία ἑνὸς σίκλου (αὐτὸ εἶναι μέτρο τῆς τιμῆς του) θὰ γίνει χέρσο καὶ θὰ γεμίσει ἀγκάθια. Ὥστε, κι ἂν ἀκόμα

14. Ἆσμα Ἀσμ. 5, 1.

καὶ εἰσελάσαι μόνον, μὴ ἂν ἰσχύσαι τοῦτο δρᾶν δίχα βέλους καὶ τοξεύματος. Ἀποδέουσαι γὰρ οὐδὲν αἱ ἄκανθαι τοξευμάτων καὶ βελῶν, κατατρώσειαν ἂν εὐθὺς τοῦ περιπατεῖν ἐθέλοντος τοὺς πόδας. Πρόξενον οὖν ἄρα παντὸς ἡμῖν ἔσται κακοῦ τὸ βούλεσθαι δρᾶν ἃ μὴ θέμις. Καταχερσούμεθα γὰρ τρόπον τινά, Θεῷ προσκρούειν οὐ παραιτούμενοι. Δρῶντες μέν γάρ, καὶ μὴν καὶ φρονεῖν ἐθέλοντες ἃ αὐτῷ θυμήρη καὶ φίλα, καρποφορήσομεν τὴν ἀρετήν, τῆς παρ' αὐτοῦ φροντίδος ἀξιούμενοι. Ἀκουσόμεθα γὰρ λέγοντος τοῦ Χριστοῦ· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ πᾶν κλῆμα τὸ καρπὸν φέρον καθαίρει αὐτό, ἵνα καρπὸν πλείονα φέρῃ». Ἀπονενευκότες δὲ ἀχαλίνως εἰς ἀνοσιότητα τρόπων, ἀκάνθης τῆς νοητῆς πληρούμεθα, παντὸς εἴδους φαυλότητος ἀνίσχοντος ἐν ἡμῖν. Τέλος δὲ ἀκάνθης τὸ πῦρ, καὶ τροφὴ πυρὸς ἡ ἄχρηστος ὕλη. Καὶ τοῦτο ἡμῖν ὁ μακάριος Παῦλος ἐναργὲς καταστήσει λέγων· «Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ, ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν».

Στίχ. 25. «Καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριαθήσεται, καὶ οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος Ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτων καὶ εἰς καταπάτημα βοός».

Ὀλίγους μὲν ἔσεσθαι τοὺς περιλειφθέντας ἐν τῇ Ἰουδαίᾳ φησίν, ἥξειν τε εἰς τοῦτο δειλίας αὐτούς, καὶ μέντοι καὶ κακανδρείας, ὡς ὑπό γε δεινοῦ τε καὶ ἀφορήτου δείματος τὰς ἐν ὄρει ποιεῖσθαι διατριβάς, καὶ πόλεων μὲν ἀπο-

15. Ἰω. 15, 1-2.

θέλει κανένας νὰ μπεῖ στὴν περιοχὴ καὶ νὰ εἰσέλθει μόνο, νὰ μὴν μπορέσει νὰ τὸ ἐπιτύχει χωρὶς βέλος καὶ τόξο. Γιατὶ δὲν ἔχουν καθόλου ἀνάγκη τὰ ἀγκάθια ἀπὸ τόξα καὶ βέλη, ἀλλὰ κατατρυποῦν ἀμέσως τὰ πόδια αὐτοῦ ποὺ θέλει νὰ περπατήσει ἐκεῖ. Μᾶς προξενεῖ λοιπὸν κάθε κακὸ τὸ νὰ θέλομε νὰ κάνομε αὐτὸ ποὺ δὲν πρέπει. Γιατὶ γινόμαστε κατὰ κάποιο τρόπο χέρσοι ἂν δὲν σταματήσομε νὰ ἐρχόμαστε σὲ σύγκρουση μὲ τὸν Θεό. Ἂν δηλαδὴ πράττομε καὶ βέβαια θέλομε καὶ νὰ φρονοῦμε αὐτὰ ποὺ τὸν εὐφραίνουν καὶ τὸν εὐχαριστοῦν, θὰ καρποφορήσομε τὴν ἀρετή, καθιστάμενοι ἄξιοι τῆς φροντίδας του. Γιατὶ θ' ἀκούσομε τὸν Χριστὸ νὰ λέγει· «Ἐγὼ εἶμαι ἡ ἀληθινὴ ἄμπελος, καὶ ὁ Πατέρας μου εἶναι ὁ γεωργός. Κάθε κλῆμα ποὺ ὑπάρχει σ' ἐμένα, ἂν δὲν δίνει καρπὸ τὸ κόβει, καὶ κάθε κλῆμα ποὺ καρποφορεῖ, τὸ κλαδεύει γιὰ νὰ δώσει περισσότερο καρπό»[15] Ὅταν ὅμως ἀχαλίνωτοι ἀποκλίνομε στὴν ἀνοσιότητα, γεμίζομε ἀπὸ τὰ νοητὰ ἀγκάθια καὶ φυτρώνει μέσα μας κάθε εἶδος φαυλότητας. Τέλος ὅμως τῶν ἀγκαθιῶν εἶναι ἡ φωτιά, καὶ τροφὴ τῆς φωτιᾶς εἶναι ἡ ἄχρηστη ὕλη. Καὶ αὐτὸ θὰ μᾶς τὸ κάνει φανερὸ ὁ μακάριος Παῦλος λέγοντας· «Γιατὶ ἡ γῆ ποὺ ἤπιε τὴ βροχὴ ποὺ πέφτει σ' αὐτὴν πολλὲς φορὲς καὶ βγάζει γεννήματα κατάλληλα γιὰ ἐκείνους ποὺ τὴν καλλιεργοῦν δέχεται τὴν εὐλογία τοῦ Θεοῦ, ὅταν ὅμως βγάζει ἀγκάθια καὶ τριβόλια εἶναι ἄχρηστη καὶ βρίσκεται κοντὰ στὸ νὰ δεχθεῖ κατάρα, τῆς ὁποίας τὸ τέλος εἶναι νὰ καεῖ»[16].

Στίχ. 25. «Καὶ κάθε βουνὸ κατάλληλο γιὰ ὄργωμα θὰ ὀργωθεῖ καὶ δὲν θὰ ὑπάρξει ἐκεῖ φόβος ἀπὸ ἐχθρό. Γιατὶ ἀπὸ χέρσα ποὺ εἶναι καὶ ἀγκαθότοπος θὰ γίνει βοσκὴ γιὰ πρόβατα καὶ θὰ καταπατεῖται ἀπὸ τὰ πόδια τῶν βοδιῶν».

Θὰ εἶναι βέβαια λίγοι ἐκεῖνοι ποὺ θὰ ἀπομείνουν στὴν Ἰουδαία καὶ αὐτοὶ θὰ φτάσουν σὲ τέτοιο βαθμὸ δειλίας ἀλλὰ καὶ ἀνανδρίας, ὥστε ἀπὸ τὸν φοβερὸ καὶ ἀφόρητο φόβο νὰ παραμένουν στὰ βουνὰ καὶ νὰ φύγουν ἀπὸ τὶς πόλεις καὶ ἀπὸ τὶς πολυ-

16. Ἑβρ. 6, 7.

φοιτᾶν καὶ τῶν πάλαι τριποθήτων αὐτοῖς ἐνδιαιτημάτων, ἐπείγεσθαι δὲ λανθάνειν ἐν ὕλαις τε καὶ λόχμαις. Ἔθος γὰρ τοῦτο δρᾶν τοῖς ἀνὰ πᾶσαν τὴν χώραν τε καὶ πόλιν, εἰ δή τις γένοιτο πολεμίων ἐκβολή. Ἀναθέοντες γὰρ εἰς ὑψηλὰ καὶ δύσβατα τῶν ὀρῶν, ὅπλον ποιοῦνται τὴν δυσχωρίαν καὶ δειλίας φάρμακον τὸ ἐν σχισμαῖς εἶναι πετρῶν. Τοῦτό τοι καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς Ἰουδαίων ἔφασκε δήμοις· «Τότε» γάρ, φησίν, «οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη». Οὐκοῦν τὰ μὲν κάλλιστα τῶν χωρίων εἰς χέρσον ἔσονται, φησί, καὶ εἰς ἄκανθαν, δεδιότων τῶν περιλειφθέντων κἂν γοῦν ἐν αὐτοῖς εἰσελάσαι μόνον, ἢ καὶ ὑπὸ τῆς ἀκάνθης οὐ συγχωρουμένων, ἀναφυγόντες δὲ μᾶλλον ἐν τοῖς ὄρεσιν, ἐκεῖ στένοντες τῶν εἰς γεωργίαν ἄψονται πόνων. Ἀροτριαθήσεται γὰρ πᾶν ὄρος καὶ πᾶς βουνὸς τῶν ἐν αὐτοῖς ἀναφυγόντων, συλλέγειν ἐπιθυμούντων οὐ τὰ εἰς πλοῦτον καὶ τρυφάς, ἀλλ' ὅσα τὴν ἀναγκαίαν τοῦ σώματος θεραπεύει χρείαν καὶ στενὴν καὶ δυσπόρευτον παρατίθησι τροφήν.

Ποία τις οὖν πρόφασις τοῦ καὶ ἐν ὄρεσιν οἰκεῖν, καὶ αὐτὰ γεωργεῖν ἐθέλειν, καίτοι τῶν ἐξαιρέτων ὑπερεωραμένων χωρίων; «Οὐ μὴ ἐπέλθῃ», φησίν, «ἐκεῖ φόβος». Ταῦτα λογιοῦνται καθ' ἑαυτούς, ὡς οὐκ ἂν αὐτοῖς ἐκεῖ κατοικεῖν ἐθέλουσιν ἐπέλθῃ φόβος. Εἶτα τῆς εἰς ἄκρον ἐρημίας καταδεικνύει τὸ μέγεθος. Ἔσεσθαι γάρ, φησίν, ἅπασαν τὴν χώραν ἀπὸ τῆς χερσείας καὶ τῆς ἀκάνθης εἰς βόσκημα προβάτων, καὶ εἰς καταπάτημα βοός, τοῦτ' ἔστιν, εἰς κατανομὰς θρεμμάτων, τὴν πίονα, τὴν εὐάμπελον, τὴν ἐλαιοφόρον, τὴν εὐδενδροτάτην, τὴν ἀεὶ κομῶσαν καρποῖς, τὴν ῥέουσαν γάλα καὶ μέλι, κατὰ τὸ γεγραμμένον. Οὐκοῦν Θεὸν εὐφραίνοντες ταῖς εἰς πᾶν ὁτιοῦν εὐπειθείαις, ἀσφαλῶς οἰκήσομεν, καθάπερ τινὰ χώραν ἢ πόλιν, τὴν ἀρετήν, καὶ κατευμεγεθήσομεν τῶν ἐχθρῶν. Καταπτοήσει δὲ τὸ σύμπαν ἡμᾶς οὐδέν,

17. Ματθ. 24, 16. 18. Ἐξ. 33, 3. Ἀριθμ. 16, 13, 14 καὶ πολλὰ ἄλλα.

πόθητες κατοικίες τους καὶ νὰ διάζονται νὰ κρυφτοῦν σὲ δάση καὶ λόχμες. Γιατὶ εἶναι συνήθεια νὰ γίνεται αὐτὸ σὲ ὅλη τὴ χώρα καὶ τὴν πόλη ἂν ὑπάρξει κάποια εἰσβολὴ ἐχθρῶν. Ἀνεβαίνοντας δηλαδὴ βιαστικὰ σὲ ψηλὰ καὶ δύσβατα ὄρη, χρησιμοποιοῦν ὡς ὅπλο τὸ δύσβατο τοῦ χώρου καὶ ὡς φάρμακο τῆς δειλίας τὸ νὰ ζοῦν σὲ σχισμὲς βράχων. Αὐτὸ βέβαια ἔλεγε καὶ ὁ ἴδιος ὁ Σωτήρας στὰ πλήθη τῶν Ἰουδαίων· γιατὶ λέγει· «Τότε ὅσοι θὰ ζοῦν στὴν Ἰουδαία, ἂς φύγουν στὰ βουνά»[17]. Ἄρα λοιπὸν τὰ καλύτερα χωράφια, λέγει, θὰ γίνου χέρσα καὶ τόπος ἀγκαθιῶν, ἐξαιτίας τοῦ φόβου ἐκείνων ποὺ ἀπόμειναν καὶ μόνο νὰ μποῦν σ᾽ αὐτὰ ἢ καὶ ἐπειδὴ δὲν τοὺς τὸ ἐπιτρέπουν τὰ ἀγκάθια, ἐνῶ διαφεύγοντας στὰ βουνά, ἐκεῖ στενάζοντας θὰ καταπιαστοῦν μὲ τοὺς κόπους τῆς γεωργίας. Γιατὶ θὰ καλλιεργηθεῖ κάθε βουνὸ ψηλὸ ἢ χαμηλότερο στὰ ὁποῖα αὐτοὶ θὰ καταφύγουν, ἐπιθυμώντας νὰ συλλέξουν, ὄχι ὅσα συντελοῦν στὸν πλοῦτο καὶ τὶς τρυφές, ἀλλὰ ὅσα ἱκανοποιοῦν τὶς ἀπαραίτητες ἀνάγκες τοῦ σώματος καὶ προσφέρων περιορισμένη καὶ δυσκολα ἀποκτώμενη τροφή.

Ποιὰ λοιπὸν εἶναι ἡ αἰτία νὰ κατοικοῦν στὰ ὄρη καὶ νὰ θέλουν νὰ καλλιεργοῦν αὐτά, μολονότι βέβαια παραβλέπονται τὰ πλέον γόνιμα μέρη; Γιατὶ «Δὲν θὰ ὑπάρξει ἐκεῖ», λέγει, «φόβος». Θὰ σκεφθοῦν, ὅτι δὲν ἔχουν νὰ φοβηθοῦν ἂν θελήσουν νὰ κατοικοῦν ἐκεῖ. Ἔπειτα δείχνει τὸ μέγεθος τῆς ἀπόλυτης ἐρήμωσης. Γιατὶ λέγει, θὰ εἶναι ὅλη ἡ χώρα, λόγω τοῦ ὅτι θὰ εἶναι χέρσα καὶ γεμάτη ἀγκάθια, βοσκότοπος προβάτων καὶ μέρος καταπατούμενο ἀπὸ τὰ βόδια, δηλαδὴ τόπος βοσκῆς τῶν ζωντανῶν, ἡ ἄλλοτε γόνιμη, ἡ κατάλληλη γιὰ ἀμπέλια, ἡ ἐλαιόφυτη, ἡ γεμάτη ἀπὸ πολλὰ ὡραῖα δένδρα, ἡ γεμάτη πάντοτε ἀπὸ καρπούς, ἡ γῆ πού, σύμφωνα μὲ τὴ Γραφή, ρέει μέλι καὶ γάλα[18]. Ὅταν λοιπὸν εὐφραίνομε τὸν Θεὸ μὲ τὴ συνεχῆ σὲ ὁτιδήποτε ὑπακοή μας, θὰ κατοικήσομε μὲ ἀσφάλεια, σὰν κάποια χώρα ἢ πόλη, τὴν ἀρετή καὶ θὰ κατανικήσομε τοὺς ἐχθρούς μας, καὶ τίποτε ἀπολύτως δὲν θὰ μᾶς φοβίσει, ἀλλὰ θὰ εἴμαστε ἐπιμελητὲς κάθε ἀρετῆς καὶ καλῶν

ἐσόμεθα δὲ μᾶλλον ἁπάσης ἐπιεικείας καὶ καλῶν ἔργων ἐπιμεληταί, καὶ εὐκαρπίας ἀνάμεστοι τῆς ἀρεσκούσης Θεῷ, καὶ νοητῆς ἀκάνθης ἀπηλλαγμένοι, καὶ γῇ θελητῇ, κατὰ τὴν τοῦ προφήτου φωνήν, καὶ Θεοῦ γεώργιον ἀληθῶς.

Κεφ. 8. στίχ 1-2. «Καὶ εἶπε Κύριος πρός με· Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ, καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν, υἱὸν Βαραχίου».

Ἀποχρῶσαν εὖ μάλα ποιησάμενος τὴν προαγόρευσιν τῶν μελλόντων συμβήσεσθαι κατὰ καιροὺς τῇ τῶν Ἰουδαίων χώρᾳ καὶ τὸ τῆς συμφορᾶς καταδείξας μέγεθος, προσεπάγει χρησίμως τὰ περί γε τοῦ Ἐμμανουήλ, καὶ τὸ ἐπ' αὐτῷ γε παραδείξας μυστήριον, ἐναργέστερον ἀποφαίνει τῷ προφήτῃ Θεός. Ἔφη μὲν γάρ· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Ὅτι μὲν γὰρ καινῆς διαθήκης ἔσται μεσίτης, καταργουμένης δηλονότι τῆς πρώτης, ὡς πολὺ τὸ ἀδρανὲς ἐχούσης, πεπαλαιωμένης δὲ καὶ τελειούσης οὐδένα κατὰ συνείδησιν, ὑποφαίνει λέγων· «Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου». Καὶ τί τό, «σεαυτῷ», κατασημαίνειεν ἄν, ἢ ἐκεῖνό που πάντως; Οὐ γάρ τοι, φησίν, τοῖς ἀπειθεῖν ᾑρημένοις, ἀλλὰ τοῖς ἐν πίστει τετιμηκόσι τὸν ἐπ' αὐτῷ λόγον τὰ ἐν τῷ καινῷ δοθήσεται τόμῳ. Τοῦτ' ἔστιν ἀποκαλυφθήσεται τὸ Χριστοῦ μυστήριον. Καινὸς οὖν ὁ τόμος καὶ μέγας. Οὐ γάρ τοι κατὰ τὴν πρώτην συντέτακται διαθήκην ἡ καινή τε καὶ νέα τὸ τοῦ Χριστοῦ λαλοῦσα μυστήριον, οὔτε μὴν ὀφθήσεται τὸ τῆς νομικῆς ἱστορίας ἔχουσα ταπεινόν, ἀλλ' ὡς ἐν ὑπεροχῇ καὶ ὕψει γνώσεως καὶ δογμάτων. Ὅθεν καὶ ὁ θεσπέσιος Παῦλος ἤδιστά φησιν, ἐξημιῶσθαι πάντα τὰ ἐν νόμῳ διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ. Πρόδηλον

ἔργων, γεμᾶτοι ἀπὸ τὴν καλὴ καρποφορία ποὺ εἶναι ἀρεστὴ στὸν Θεὸ καὶ ἀπαλλαγμένοι ἀπὸ τὰ νοητὰ ἀγκάθια, καὶ γῆ θελητή, σύμφωνα μὲ τὸν λόγο τοῦ προφήτη, καὶ τοῦ Θεοῦ πραγματικὸ γόνιμο χωράφι.

ΚΕΦ. 8, στίχ. 1-2. «Καὶ ὁ Κύριος μοῦ εἶπε· Πάρε μιὰ καινούργια μεγάλη πινακίδα καὶ γράψε σ' αὐτὴν μὲ γραφίδα ἀνθρώπου γιὰ ἐκεῖνον ποὺ θἄ κάνει σύντομα διανομὴ λαφύρων. Γιατὶ βρίσκεται κοντά. Ὡς μάρτυρες φέρε μου ἀξιόπιστους ἀνθρώπους, τὸν Οὐρία καὶ τὸν Ζαχαρία, τὸ υἱὸ τοῦ Βαραχία».

Ἀφοῦ ἔκανε μὲ ἄριστο καὶ ἐπαρκῆ τρόπο τὴν προαναγγελία αὐτῶν ποὺ πρόκειται νἀ συμβοῦν κατὰ καιροὺς στὴ χώρα τῶν Ἰουδαίων κι ἀφοῦ κατέδειξε τὸ μέγεθος τῆς συμφορᾶς, προσθέτει ὠφέλιμα τὰ σχετικὰ μὲ τὸν Ἐμμανουήλ, κι ἀφοῦ ἔδειξε τὸ μυστήριο τὸ σχετικὸ μ' αὐτόν, ὁ Θεὸς μιλᾶ πιὸ καθαρὰ στὸν προφήτη· γιατὶ τοῦ εἶπε· «Νά, ἡ παρθένος θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ καλέσουν τὸ ὄνομά του Ἐμμανουήλ». Ὅτι βέβαια θὰ εἶναι μεσίτης τῆς καινῆς Διαθήκης ἀφοῦ ἀσφαλῶς καταργηθεῖ ἡ πρώτη, ἐπειδὴ ἔχει πιὰ ἀδρανήσει καὶ παλιώσει καὶ δὲν πρόσφερε σἐ κανένα τὴν τελείωση τῆς συνείδησης, τὸ ὑποδηλώνει λέγοντας· «Πάρε μιὰ καινούργια μεγάλη πινακίδα γιὰ σένα». Καὶ τί σημαίνει τὸ «γιὰ σένα», παρὰ ἐκεῖνο ὁπωσδήποτε; Τὰ γραμμένα, λέγει, στὴν καινούργια πινακίδα θὰ δοθοῦν ὄχι σ' αὐτοὺς ποὺ δὲν θέλουν νὰ πιστέψουν, ἀλλὰ σὲ ἐκείνους ποὺ τίμησαν μὲ τὴν πίστη τους τὸ λόγο γι' αὐτόν. Δηλαδὴ θ' ἀποκαλυφθεῖ τὸ μυστήριο τοῦ Χριστοῦ. Καινούργια λοιπὸν θὰ εἶναι ἡ πινακίδα καὶ μεγάλη. Γιατὶ δὲν ἔχει συνταχθεῖ σύμφωνα μὲ τὴν πρώτη διαθήκη ἡ καινούργια καὶ νέα ποὺ ἀναγγέλλει τὸ μυστήριο τοῦ Χριστοῦ, οὔτε θὰ φανεῖ νὰ ἔχει αὐτὸ τὸ ταπεινὸ τῆς νομικῆς ἱστορίας, ἀλλὰ θὰ τὴ διακρίνει ἡ ὑπεροχὴ καὶ τὸ ὕψος τῆς γνώσεως. Γι' αὐτὸ καὶ ὁ θεσπέσιος Παῦλος μὲ πολλὴ εὐχαρίστηση, λέγει, θὰ ζημιωθεῖ ὅλα ὅσα περιέχει ὁ νόμος γιὰ χάρη τῆς ὑπεροχῆς τῆς

οὖν ὅτι πεπαλαιωμένης τῆς πρώτης, ὡς ἔφην, καινὸς ὁ τόμος καὶ μέγας λαμβάνεται τῆς δευτέρας διαθήκης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις παραλαμβάνεται, καθά φησιν ὁ ἱερώτατος Παῦλος.

Γράφεται δὲ ὁ τόμος γραφίδι ἀνθρώπου. Διὰ ποίαν αἰτίαν; Ὅτε μὲν τοῖς τῆς διανοίας ὄμμασι τὸ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος πολυπραγμονῶμεν μυστήριον, εἶτα λέγειν ἑτέροις ἐπιχειρῶμεν ἔσθ' ὅτε τὴν ἀπόρρητον γέννησιν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· τότε δή, τότε χρεία γραφίδος ἡμῖν οὐκ ἀνθρωπίνης καὶ καθ' ἡμᾶς. Ποῖος γὰρ ἂν ἀρκέσει[ε] λόγος εἴς γε τὸ δύνασθαι διατρανοῦν τὸ ὑπὲρ νοῦν καὶ λόγον; Ἀπόχρη δὲ μόνος τοῖς οὕτως ἰσχυροῖς καὶ ὑπὲρ πάντα νοῦν διηγήμασιν ἐκεῖνος ὁ κάλαμος, περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατὴρ διὰ φωνῆς τοῦ Δαβίδ· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου». Οἶδεν γὰρ οὐδεὶς τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, ἀλλ' οὐδὲ τὸν Πατέρα οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Ὅταν δὲ τοὺς περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ ποιούμεθα λόγους, τότε δή, τότε χρεία γραφίδος ἀνθρωπίνη, ὃ δὴ καὶ πέπραχεν ὁ σοφὸς Ἰωάννης λέγων· «Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν». Χαλεπὸν δὲ ὅλως οὐδὲν καὶ τὸν κατὰ σάρκα θάνατον αὐτοῦ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν ταῖς καθ' ἡμᾶς ἀναγγέλλειν φωναῖς, καὶ ὅτι πρωτόλειον ὥσπερ τι καὶ ἀπαρχὴ τῆς ἀνθρώπου φύσεως ἀνανεουμένης εἰς ἀφθαρσίαν, ἀνέβη πρὸς τὸν Πατέρα καὶ κεκάθικεν ἐν τοῖς οὐρανοῖς, ἥξει τε κατὰ καιροὺς καὶ καθιεῖται κριτής. Οὐκοῦν ἀνθρώπου γραφίδι τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς γράφουσιν οἱ πνευματογράφοι.

Προσεπιτάττει δὲ λέγων· «Μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν, υἱὸν Βαραχίου». Ἰστέον δὲ ὅτι κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ὁ πε-

19. Φιλ. 3, 8. 20. Ἑβρ. 9, 11-23.

γνώσεως τοῦ Χριστοῦ[19]. Εἶναι λοιπὸν ὁλοφάνερο ὅτι, ἐπειδή, ὅπως εἶπα, ἔχει παλιώσει ἡ πρώτη, λαμβάνεται ἡ πινακίδα τῆς δεύτερης διαθήκης καινούργια καὶ μεγάλη, ἡ ὁποία λαμβάνεται γιὰ ἀνώτερες ὑποσχέσεις, ὅπως λέγει ὁ ἱερώτατος Παῦλος[20].

Ἡ πινακίδα βέβαια γράφεται μὲ γραφίδα ἀνθρώπου. Γιὰ ποιὰ αἰτία; Ὅταν μὲ τὰ μάτια τῆς διάνοιας ἀναλύομε τὸ μυστήριο τῆς ἁγίας καὶ ὁμοούσιας Τριάδος κι ἔπειτα ἐπιχειροῦμε πολλὲς φορὲς νὰ ἐξηγήσομε σὲ ἄλλους τὴν ἀπόρρητη γέννηση τοῦ μονογενοῦς Υἱοῦ Θεοῦ, τότε λοιπόν, τότε χρειαζόμαστε γραφίδα ὄχι ἀνθρώπινη καὶ ἀνάλογη μ᾽ ἐμᾶς. Γιατὶ ποιὸς λόγος θὰ ἐπαρκέσει στὸ νὰ μπορέσει νὰ διασαφηνίσει αὐτὸ ποὺ εἶναι πάνω ἀπὸ τὸ νοῦ καὶ τὸ λόγο; Ἡ μόνη ποὺ εἶναι ἀρκετὴ γιὰ τὰ τόσο δυνατὰ καὶ πάνω ἀπὸ κάθε νοῦ διηγήματα εἶναι ἐκείνη ἡ γραφίδα, γιὰ τὴν ὁποία λέγει ὁ Θεὸς καὶ Πατέρας μὲ τὰ λόγια τοῦ Δαβίδ· «Ἡ γλώσσα μου εἶναι γραφίδα γραφέα ταχυγράφου»[21]. Γιατὶ κανένας δὲν γνωρίζει τὸν Υἱό, παρὰ ὁ Πατέρας, ἀλλ᾽ οὔτε τὸν Πατέρα γνωρίζει κανένας τί εἶναι, παρὰ ὁ Υἱὸς καὶ ἐκεῖνος στὸν ὁποῖο αὐτὸς θέλει νὰ τὸν ἀποκαλύψει. Ὅταν ὅμως μιλοῦμε γιὰ τὴν ἐνανθρώπησή του, τότε λοιπόν, τότε χρειάζεται γραφίδα ἀνθρώπινη, πρᾶγμα βέβαια ποὺ ἔκανε ὁ σοφὸς Ἰωάννης λέγοντας· «Ὁ Λόγος ἔγινε ἄν-θρωπος καὶ κατοίκησε μέσα μας»[22]. Καὶ δὲν εἶναι καθόλου δύσκολο καὶ τὸν κατὰ σάρκα θάνατό του καὶ τὴν ἀνάστασή του ἀπὸ τοὺς νεκροὺς νὰ τὰ κηρύττομε μὲ τὰ δικά μας ἀνθρώπινα λόγια, καὶ ὅτι σὰν κάποια πρωταρχικὴ καὶ ἀπαρχὴ τῆς ἀνθρώπινης φύσης ποὺ ἀνανεώνεται γιὰ νὰ γίνει ἄφθαρτη, ἀνέβηκε στὸν Πατέρα καὶ κάθισε στοὺς οὐρανούς, καὶ θὰ ἔρθει στὸν καιρὸ ποὺ πρέπει καὶ θὰ καθίσει στὸν θρόνο κριτής. Μὲ ἀνθρώπινη λοιπὸν γραφίδα γράφουν οἱ ἐμπνευσμένοι ἀπὸ τὸ Πνεῦμα γιὰ τὴν ἐνανθρώπηση τοῦ Μονογενοῦς.

Δίνει ὅμως καὶ πρόσθετη διαταγή· «Φέρε μου μάρτυρες ἀξιόπιστους ἀνθρώπους, τὸν Οὐρία καὶ τὸ Ζαχαρία, τὸν υἱὸ τοῦ Βαραχία». Πρέπει νὰ γνωρίζομε ὅτι ἐκείνη τὴν ἐποχή, ποὺ ἔγινε ὁ

21. Ψαλμ. 44, 2.

22. Ἰω. 1, 1.

ρὶ τούτων λόγος παρὰ Θεοῦ γέγονε πρὸς τὸν μακάριον Ἡσαΐαν, Οὐρίας μὲν ἦν τις προφήτης, Ζαχαρίας γε μὴν ἱερεὺς καὶ νομοδιδάσκαλος Παραλαμβάνονται τοίνυν εἰς μαρτυρίαν τὴν ἐπὶ Χριστῷ, ἥ τε διὰ νόμου καὶ προφητῶν ἁγίων μυσταγωγία καὶ σύνεσις, ἦγουν προαγόρευσις. Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. Τοιοῦτόν τι δεδεῖχθαί φαμεν τοῖς ἁγίοις ἀποστόλοις ἐν καιρῷ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως τοῦ Χριστοῦ Γέγραπται γάρ, ὅτι «Μεθ' ἡμέρας ἓξ παρέλαβεν ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας συλλαλοῦντες μετ' αὐτοῦ». Ἄθρει δὴ οὖν ὅπως Μωσῆς καὶ Ἠλίας, τοῦτ' ἔστιν ἱερωσύνη καὶ νόμος (ἀμφότερα γὰρ ὁ Μωσῆς), καὶ μὴν καὶ Ἠλίας εἰς πρόσωπον τῶν ἁγίων προφητῶν παραληφθείς, προσελάλουν ἀλλήλοις, περὶ τῆς ἐξόδου, φησίν, ἧς ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ποία δὲ ἔξοδος; Τῆς οἰκονομίας δηλονότι τὸ πέρας, ὁ σταυρός, ὁ θάνατος, καὶ ἐκ νεκρῶν ἀναβίωσις, ἡ εἰς οὐρανοὺς ἀνάληψις Ταῦτα γὰρ πάντα προανετύπου μὲν διὰ σκιᾶς ὁ νόμος, προηγόρευσε δὲ καὶ ὁ λαμπρὸς καὶ μέγας τῶν ἁγίων προφητῶν ὁ χορός.

Στίχ. 3. «Καὶ προσῆλθε πρὸς τὴν προφῆτιν,
καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν ἄρσεν».

Ὅτι μὴ ἐξ αἵματος καὶ σαρκός, μήτε μὴν ἐκ θελήματος ἀνδρός, ἡ κατὰ σάρκα Χριστοῦ πέπρακται γέννησις, καινοπρεπὴς δέ τις ἦν καὶ ἀήθης καὶ τῶν τῆς ἀνθρωπίνης φύσεως ἐπέκεινα νόμων, ἀπεκάλυψε τῷ προφήτῃ Θεός. Αὐτὸς γάρ, φησίν, ὁ λέγων· «Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου», προσῆλθε πρὸς τὴν προφῆτιν. Ἄθρει δὴ οὖν ὅπως

λόγος γι' αὐτὰ ἀπὸ τὸν Θεὸ πρὸς τὸ μακάριο Ἡσαΐα, ὁ Οὐρίας ἦταν καποιος προφήτης καὶ ὁ Ζαχαρίας ἱερέας καὶ νομοδιδάσκαλος. Παραλαμβάνονται λοιπὸν γιὰ νὰ γίνουν μάρτυρες περὶ Χριστοῦ καὶ ἡ νομικὴ καὶ ἡ προφητικὴ μυσταγωγία καὶ σοφία, δηλαδὴ ἡ προαναγγελία. Γιατὶ τέλος τοῦ νόμου καὶ τῶν προφητῶν εἶναι ὁ Χριστός. Κάτι παρόμοιο λέμε ὅτι δείχθηκε στοὺς ἁγίους ἀποστόλους τὸν καιρὸ τῆς μεταμόρφωσης τοῦ Χριστοῦ στὸ ὄρος. Γιατὶ ἔχει γραφεῖ· «Ἔπειτα ἀπὸ ἕξι ἡμέρες πῆρε μαζί του ὁ Χριστὸς τὸν Πέτρο, τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη, τὸν ἀδελφό του, καὶ τοὺς ἀνέβασε σὲ ὄρος ὑψηλὸ χωρὶς νὰ εἶναι ἄλλοι παρόντες καὶ μεταμορφώθηκε μπροστὰ τους. Καὶ ἔλαμψε τὸ πρόσωπό του ὅπως ὁ ἥλιος, καὶ τὰ ἐνδύματά του ἔγιναν λευκὰ σὰν τὸ φῶς. Καὶ νά, παρουσιάσθηκαν μπροστά τους ὁ Μωυσῆς καὶ ὁ Ἠλίας καὶ συνομιλοῦσαν μαζί του»[23]. Πρόσεχε λοιπὸν πῶς ὁ Μωυσῆς καὶ ὁ Ἠλίας, δηλαδὴ ἡ ἱερωσύνη καὶ ὁ νόμος (γιατὶ ὁ Μωυσῆς ἦταν καὶ τὰ δύο), καὶ βέβαια ὁ Ἠλίας ποὺ παραλήφθηκε ὡς ἐκπρόσωπος τῶν ἁγίων προφητῶν, συνομιλοῦσαν μεταξύ τους γιὰ τὴν ἔξοδο, λέγει, ποὺ ἐπρόκειτο νὰ πραγματοποιήσει στὴν Ἱερουσαλήμ. Καὶ ποιὰ ἦταν ἡ ἔξοδος; Τὸ τέλος βέβαια τῆς οἰκονομίας, ὁ σταυρός, ὁ θάνατος, ἡ ἀναβίωση ἀπὸ τοὺς νεκρούς, καὶ ἡ ἀνάληψή του στοὺς οὐρανούς. Γιατὶ ὅλα αὐτὰ τὰ προτύπωνε ὁ νόμος μὲ τὴ μορφὴ σκιᾶς, καὶ τὰ προεῖπε καὶ ὁ λαμπρὸς καὶ μέγας χορὸς τῶν ἁγίων προφητῶν.

Στίχ. 3. «Καὶ ἦλθε σὲ συνάφεια μὲ τὴν προφήτισσα,
ποὺ συνέλαβε καὶ γέννησε υἱό».

Ὅτι ἡ κατὰ σάρκα γέννηση τοῦ Χριστοῦ δὲν ἔγινε μὲ αἷμα καὶ σάρκα, οὔτε ἀπὸ συνεύρεση μὲ ἄνδρα, ἀλλ' ἦταν γέννηση πρωτοφανὴς καὶ ἀσυνήθιστη καὶ πάνω ἀπὸ τοὺς νόμους τῆς ἀνθρώπινης φύσης, τὸ ἀποκάλυψε στὸν προφήτη ὁ Θεός. Γιατὶ αὐτὸς ὁ ἴδιος, λέγει, ποὺ λέγει, «Πάρε γιὰ τὸν ἑαυτό σου πινακίδα καινούργια καὶ μεγάλη», «ἦλθε σὲ συνάφεια μὲ τὴν προφήτισσα».

23. Ματθ. 17, 1-3.

ἀνθρώπου γραφίδι τὸ Χριστοῦ μυστήριον καὶ λόγοις γράφεται τοῖς καθ' ἡμᾶς. Τὸ γάρ τοι, «προσῆλθεν», ἔθος τῇ θείᾳ λέγειν Γραφῇ, ἀντὶ τοῦ, συνῆλθεν, ἤγουν, κεκοινώνηκε γαμικῶς. Ὁρᾷ τοιγαροῦν ὁ προφήτης καὶ συνόδου σχῆμα γεγονὸς πρὸς τὴν ἁγίαν Παρθένον, ἣν εἶναί φησι καὶ προφῆτιν, πρᾶγμα διδάσκων ἀληθές· εἶτα καὶ σύλληψιν γεγενῆσθαί φησιν, τεχθῆναι δὲ καὶ υἱόν. Ὀξεῖα δὲ σφόδρα τῆς ὁράσεως ἡ ἀπόδοσις, πάντα τῷ προφήτῃ παρατιθεῖσα πρὸς γνῶσιν. Ὅτι γὰρ ἐξ ἁγίου Πνεύματος τὸ πανάγιον ἐκεῖνο διεπήγνυτο σῶμα τὸ ἑνωθὲν τῷ Λόγῳ, πῶς ἂν ἐνδοιάσειέ τις;

Οὐκοῦν ἡ τοῦ Πνεύματος ἐνέργεια, δι' ἧς τὸ ἐν τῇ ἁγίᾳ Παρθένῳ διεπλάττετο σῶμα, τῷ τῆς συνόδου σχήματι πλαγίως κατεσημαίνετο. Ἀπαρχὴ γάρ γέγονε καὶ κατὰ τοῦτο Χριστὸς τῶν ἡγιασμένων ἐν πνεύματι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Γεννητὸς οὖν Πνεύματος κατά γε τὴν σάρκα καὶ πρὸ τῶν ἄλλων αὐτός, ἵνα καὶ ἡμεῖς δι' αὐτὸν ἐν τούτοις. Ἐπισημήνασθαι δὲ ἀναγκαῖον, ὅτι τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν μάρτυρας αὐτῷ γενέσθαι προστέταχεν, «τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων». Προσετίθει δέ, ὅτι «Πάρεστι γάρ». Μεμαρτύρηκε γὰρ ὁ νόμος, καὶ μὴν ἡ τῶν ἁγίων προφητῶν προανάρρησις, ὅτι γεννηθεὶς ὁ Χριστὸς σκυλεύσει τὸν Σατανᾶν καὶ διαρπάσει τὰ σκεύη αὐτοῦ, καθά φησιν αὐτός, τοῦτ' ἔστιν ἰδίους ποιήσεται τοὺς ἐκείνου προσκυνητάς ποτε. Τοῦτο γὰρ καὶ αὐτὸς ἔφασκεν ὁ Χριστός, ὡς ἐν τρόπῳ παραδείγματος λέγων· «Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε διαρπάσει τὰ σκεύη αὐτοῦ;». Λέγων δέ, ὅτι «Πάρεστι γάρ», οὐκ εἰς μακρὰν ἔσεσθαι τὴν ἀνάδειξιν τοῦ Ἐμμανου-

24. Ματθ. 12, 29.

Πρόσεχε λοιπὸν πῶς τὸ μυστήριο τοῦ Χριστοῦ γράφεται μὲ ἀνθρώπινη γραφίδα καὶ λόγους δικούς μας. Γιατὶ τό, «προσῆλθε» συνηθίζει ἡ θεία Γραφὴ νὰ τὸ λέγει στὴ θέση τοῦ "συνῆλθε", δηλαδὴ ἦλθε σὲ γαμικὴ κοινωνία. Βλέπει λοιπὸν ὁ προφήτης καὶ τὸ εἶδος τῆς συνεύρεσης μὲ τὴν ἁγία Παρθένο, ἡ ὁποία λέγει ὅτι εἶναι καὶ προφήτισσα, διδάσκοντας γεγονὸς ἀληθινό. Ἔπειτα λέγει ὅτι ἔγινε καὶ σύλληψη καὶ ὅτι γεννήθηκε καὶ υἱός. Ἡ περιγραφὴ τοῦ ὁράματος εἶναι πολὺ ἀκριβής, ἐκθέτοντας τὰ πάντα στὸν προφήτη πρὸς γνώση. Ὅτι βέβαια μὲ ἐνέργεια τοῦ ἁγίου Πνεύματος συγκροτήθηκε τὸ πανάγιο ἐκεῖνο σῶμα τὸ ἑνωμένο μὲ τὸν Λόγο, πῶς μπορεῖ ν' ἀμφιβάλει κανείς;

Ἡ ἐνέργεια λοιπὸν τοῦ ἁγίου Πνεύματος, μὲ τὴν ὁποία γινόταν ἡ διάπλαση τοῦ σώματος μέσα στὴν ἁγία Παρθένο, ὑποδηλωνόταν μὲ πλάγιο τρόπο μὲ τὴν εἰκόνα τῆς συνεύρεσης. Γιατὶ καὶ ὡς πρὸς αὐτὸ ὁ Χριστὸς ἔγινε ἀπαρχὴ ἐκείνων ποὺ ἁγιάσθηκαν μὲ τὴ χάρη τοῦ Πνεύματος, οἱ ὁποῖοι δὲν γεννήθηκαν ἀπὸ αἵματα, οὔτε ἀπὸ θέληση σάρκας, οὔτε ἀπὸ ἐπιθυμία ἄνδρα, ἀλλὰ μὲ τὴ χάρη τοῦ Θεοῦ. Εἶναι λοιπὸν γέννημα τοῦ ἁγίου Πνεύματος ὡς πρὸς τὴ σάρκα καὶ πρὶν ἀπὸ τοὺς ἄλλους αὐτός, γιὰ νὰ γεννηθοῦμε κι ἐμεῖς τὸ ἴδιο χάρη σ' αὐτόν. Εἶναι ἀνάγκη ὅμως νὰ ἐπισημάνομε ὅτι πρόσταξε νὰ γίνουν μάρτυρες ὁ Οὐρίας καὶ ὁ Ζαχαρίας, «γιὰ ἐκεῖνον ποὺ θὰ κάνει σύντομα τὴ διανομὴ τῶν λαφύρων». Πρόσθετε ἐπίσης· «Γιατὶ βρίσκεται κοντά». Γιατὶ ὁ νόμος ἔδινε τὴ μαρτυρία, καὶ βέβαια καὶ ἡ προαναγγελία τῶν ἁγίων προφητῶν, ὅτι ὁ Χριστός, ἀφοῦ γεννηθεῖ, θὰ λαφυραγωγήσει τὸν Σατανᾶ καὶ θὰ προβεῖ σὲ διαρπαγὴ τῶν σκευῶν του, ὅπως λέγει αὐτός, δηλαδὴ θὰ κάνει δικούς του ἐκείνους ποὺ κάποτε ἦταν προσκυνητές του. Αὐτὸ βέβαια τὸ ἔλεγε καὶ ὁ ἴδιος ὁ Χριστὸς ὑπὸ μορφὴ παραδείγματος, λέγοντας· «Ἢ πῶς μπορεῖ κάποιος νὰ μπεῖ στὸ σπίτι τοῦ ἰσχυροῦ καὶ νὰ ἁρπάξει τὰ σκεύη του, ἂν πρῶτα δὲν δέσει τὸν ἰσχυρὸ καὶ ἔπειτα νὰ πάρει νὰ σκεύη του;»[24]. Λέγοντας βέβαια, «Βρίσκεται κοντά», διαβεβαίωνε ὅτι δὲν βρι-

ἠλ κατεπηγγέλλετο. Τοῦτό τοι καὶ πρὸς τὸν μακάριον Ἀμβακοὺμ εὑρίσκεται λέγων· «Ἔτι μικρόν, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ».

Στίχ. 3-4. «Καὶ εἶπε Κύριός μοι· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκύλα Σαμαρείας, κατέναντι βασιλέως Ἀσσυρίων».

Εἰπὼν ἀνωτέρω τό, «Ἰδοὺ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ», προστέταχε νῦν καλεῖσθαι τὸ ὄνομα αὐτοῦ, «Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον». Ἆρ' οὖν εἰκαῖον ὄνομα αὐτῷ τὸ πρῶτον, τοῦτ' ἔστιν Ἐμμανουήλ; Πρέποι δ' ἂν ὅτι μάλιστά γε τό, «Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον»; Οὐ τοῦτό φαμεν, ἐκεῖνο δὲ μᾶλλον. Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ διαφόροις ὀνόμασι τὸν τῶν ὅντων Θεὸν ἀποκαλεῖν, καὶ ὡς ἀπό γε τῶν κατὰ καιροὺς δρωμένων ἔσθ' ὅτε προσεπινοεῖν τὰς κλήσεις Τοῦτο τετήρηται καὶ ἐπ' αὐτοῦ τοῦ Χριστοῦ. Θεὸς γάρ ἐστιν ἀληθινός, καὶ ὅτι μὲν Θεὸς ὢν φύσει, γέγονε μεθ' ἡμῶν ὁ Λόγος ὅτ' ἐπέφηνε καθ' ἡμᾶς, κατασημαίνει μὲν ἂν καὶ μάλα σαφῶς τό, Ἐμμανουήλ. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, ἐσκύλευσε τὸν Σατανᾶν, καὶ μὴν καὶ ἐξείλετο τῆς ἐκείνου σκαιότητος τοὺς πάλαι διηρπασμένους καὶ δουλεύοντας αὐτῷ διὰ τῆς ἁμαρτίας, ἐκδείξειεν ἂν τό, «Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον». Ὅτι δὲ ὡς Θεὸς ἀφράστῳ δυνάμει κατορθοῦν ἔμελλε τῶν ἐπὶ γῆς τὴν λύτρωσιν προαναφαίνει λέγων· «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ σκύλα Σαμαρείας κατέναντι βασιλέως Ἀσσυρίων».

Βαθὺς δὲ σφόδρα τῶν προκειμένων ὁ νοῦς καὶ πνευμα-

25. Ἀββακ. 2, 3.

σκόταν μακριὰ ἡ παρουσία τοῦ Ἐμμανουήλ. Αὐτὸ βρίσκεται νὰ λέγει καὶ στὸν μακάριο Ἀββακούμ· «Λίγο ἀκόμα, αὐτὸς ποὺ πρόκειται νὰ ρθεῖ, θὰ ρθεῖ καὶ δὲν θὰ ἀργήσει»[25].

Στίχ. 3-4. «Καὶ μοῦ εἶπε ὁ Κύριος· Κάλεσε τὸ ὄνομά του, Λαφυραγωγήσε γρήγορα, λεηλάτησε ἀμέσως. Γιατὶ προτοῦ μάθει τὸ παιδὶ νὰ φωνάζει πατέρα ἢ μητέρα, θὰ κατακυριεύσει τὸν στρατὸ τῆς Δαμασκοῦ καὶ παρουσία τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων θὰ λάβει τὰ λάφυρα τῆς Σαμάρειας».

Ἐνῶ εἶπε παραπάνω τό, «Νά, ἡ Παρθένος θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ καλέσουν τὸ ὄνομά του Ἐμμανουήλ», τώρα πρόσταξε νὰ καλεῖται τὸ ὄνομά του «Λαφυραγώγησε γρήγορα, λεηλάτησε ἀμέσως». Ἄρα λοιπὸν εἶναι τυχαῖο τὸ ὄνομα τὸ πρῶτο, δηλαδὴ τὸ Ἐμμανουήλ; Αὐτὸ ποὺ τοῦ ταιριάζει περισσότερο εἶναι τό, «Λαφυραγώγησε γρήγορα, λεηλάτησε ἀμέσως»; Δὲν λέμε αὐτό, ἀλλὰ ἐκεῖνο μᾶλλον. Ὑπάρχει συνήθεια τῆς ἁγίας Γραφῆς νὰ ἀποκαλεῖ τὸν Θεὸ τῶν ὅλων μὲ διάφορα ὀνόματα καὶ πολλὲς φορὲς ἀπὸ τὶς κατὰ καιροὺς ἐνέργειές του νὰ ἐπιννοεῖ τὶς ὀνομασίες του. Αὐτὸ ἴσχυσε καὶ στὸν ἴδιο τὸν Χριστό. Γιατὶ εἶναι Θεὸς ἀληθινός, καὶ ὅτι βέβαια, ἐνῶ εἶναι Θεὸς ἀπὸ τὴ φύση του, βρέθηκε μαζί μας ὁ Λόγος ὅταν φανερώθηκε σὰν ἄνθρωπος, τὸ ὑποδηλώνει, καὶ μὲ πολλὴ σαφήνεια μάλιστα, τὸ «Ἐμμανουήλ», ὅτι ὅμως, ὅταν ἔγινε ἄνθρωπος, λαφυραγώγησε τὸν Σατανᾶ, ἀλλὰ καὶ λύτρωσε ἀπὸ τὴ βαναυσότητα ἐκείνου ἐκείνους ποὺ εἶχε ἁρπάξει παλαιὰ καὶ ἦταν δοῦλοι του ἐξαιτίας τῶν ἁμαρτιῶν τους, μπορεῖ νὰ τὸ δείξει τό, «Λαφυραγώγησε γρήγορα, λεηλάτησε ἀμέσως». Ὅτι ὅμως ὡς Θεὸς ἐπρόκειτο μὲ ἀπερίγραπτη δύναμη νὰ κατορθώσει τὴ λύτρωση τῶν ἀνθρώπων, τὸ προδηλώνει λέγοντας· «Γιατὶ προτοῦ μάθει τὸ παιδὶ νὰ φωνάζει πατέρα ἢ μητέρα, θὰ κατακυριεύσει τὸν στρατὸ τῆς Δαμασκοῦ καὶ παρουσία τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων θὰ λάβει τὰ λάφυρα τῆς Σαμάρειας».

Εἶναι πολὺ βαθὺ τὸ νόημα τῶν ἐξεταζόμενων λόγων καὶ ἡ

τικὸν τὸ διήγημα. Κέκρυπται γὰρ ἀσαφείαις ἀεί πως ὁ θεῖος λόγος· οὐχ εὑρήσομεν γὰρ ὡς ἐν ἱστορίᾳ τε καὶ ἐν αἰσθητοῖς πράγμασιν, ὅτι γεννηθεὶς εὐθὺς ὁ Χριστός, ἢ τὴν Δαμασκὸν ἐσκύλευσεν, ἢ τὴν χώραν τοῦ βασιλέως τῶν Ἀσσυρίων, λυτρούμενος τοὺς ἐκ τῆς Σαμαρείας εἰς τὴν ἐκείνου χώραν ἀπενηνεγμένους. Ὅταν δὲ νοητῶς ἐκλάβωμεν, τότε δὴ πάντως τὸ ἀληθὲς ὀψόμεθα. Οὐκοῦν ἥ τε Δαμασκός, ἤγουν Συρία πᾶσα, καὶ μὴν ἡ τῶν Ἀσσυρίων χώρα, τοῦτ' ἔστιν ἡ Περσῶν τε καὶ Μήδων μεμέστωτο μὲν εἰδώλων, καὶ διὰ τοῦτο κέκληται γῆ τῶν γλυπτῶν· ἦσαν γὰρ βωμοὶ καὶ τεμένη πανταχοῦ, καὶ οἱ τοῖς τεμένεσιν ἐμφιλοχωρεῖν εἰωθότες, φημὶ δὴ τὰ τῶν ψευδομάντεων γένη, καὶ οἷς ἡ τέχνη πρὸς γοητείαν. Πᾶσα δὲ τούτων ἡ δύναμις ἦν τὰ παρ' ἑκάστοις θρησκευόμενα δαιμόνια καὶ ὁ τούτων ἡγούμενος Σατανᾶς. Ὅτι τοίνυν ἔμελλε τήν τε Δαμασκοῦ δύναμιν, καὶ μὴν καὶ τὴν τοῦ βασιλέως τῶν Ἀσσυρίων, τοῦτ' ἔστι τὸν Σατανᾶν καὶ τὰ πονηρὰ καὶ βέβηλα τῶν δαιμονίων στίφη, μονονουχὶ καταληΐσασθαι Χριστός, ἀπαλλάξαι τε τῆς ὑπ' αὐτῷ δουλείας τοὺς ἠπατημένους, καὶ πρὶν ἡλικίας σωματικῆς εἰς τοῦτο ἐλθεῖν, ἥπερ ἂν πρέποι τὸ εἰδέναι δύνασθαι καλεῖν πατέρα ἢ μητέρα, διεσάφησεν εἰπών· «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται τὴν δύναμιν Δαμασκοῦ». Τὸ δέ, «Λήψεται», ἀντὶ τοῦ, "Χειρώσεται". Λήψεται δὲ ὁμοίως καὶ τὰ σκύλα Σαμαρείας. Τοῦτ' ἔστιν ἀπαλλάξει τοὺς αἰχμαλώτους πολεμήσας ὑπὲρ αὐτῶν. Ἀπέναντι τοῦ βασιλέως Ἀσσυρίων. Τοῦ νοητοῦ δηλονότι, φημὶ δὴ τοῦ Σατανᾶ. Αὐτὸς γὰρ ἦν καὶ ἡ Δαμασκὸς καὶ ἡ Συρίας δύναμις.

Ὅτι καὶ οἱ τῶν εἰδώλων προσκυνηταὶ πᾶσαν ἔχουσιν ἐπ' αὐτοῖς τὴν τῆς σωτηρίας ἐλπίδα, ὅτι δὲ ἐσκύλευσεν ὁ Χριστὸς τὸν Σατανᾶν, γεγεννημένος εὐθύς, ἀταλαίπωρον

ἀφήγηση πολὺ πνευματική. Πάντοτε βέβαια ὁ θεῖος λόγος καλύπτεται κατὰ κάποιο τρόπο μὲ ἀσάφειες· γιατὶ δὲν θὰ βροῦμε σὰν ἱστορία καὶ αἰσθητὰ γεγονότα, ὅτι μόλις γεννήθηκε ὁ Χριστὸς ἦλαφυραγώγησε τὴ Δαμασκό, ἢ τὴ χώρα τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων, προσφέροντας τὴ λύτρωση σὲ ἐκείνους ποὺ ἀπὸ τὴ Σαμάρεια εἶχαν μεταφερθεῖ στὴ χώρα ἐκείνου. Ὅταν ὅμως τὸ ἐκλάβομε ὡς πνευματικὸ γεγονός, τότε ὁπωσδήποτε θὰ δοῦμε τὴν ἀλήθεια. Λοιπόν, καὶ ἡ Δαμασκός, δηλαδὴ ὅλη ἡ Συρία, καὶ ἡ χώρα τῶν Ἀσσυρίων, δηλαδὴ ἡ χώρα τῶν Περσῶν καὶ τῶν Μήδων, ἦταν γεμάτη ἀπὸ εἴδωλα, καὶ γι᾽ αὐτὸ εἶχε ὀνομασθεῖ γῆ τὸν γλυπτῶν. Γιατὶ ὑπῆρχαν παντοῦ βωμοὶ καὶ τεμένη, καὶ ἐκεῖνοι ποὺ συνήθιζαν νὰ εἰσέρχονται στά τεμένη, ἐννοῶ οἱ ὀρδὲς τῶν ψευδομάντεων, καὶ ἐκεῖνοι ποὺ ἀσκοῦσαν τὴν τέχνη τοῦ γητευτῆ. Ὅλη ἡ δύναμη αὐτῶν ἦταν τὰ δαιμόνια ποὺ λάτρευαν καθένας τους καὶ ὁ ἀρχηγός τους ὁ Σατανάς. Ὅτι λοιπὸν ἐπρόκειτο καὶ τὴ δύναμη τῆς Δαμασκοῦ, ἀλλὰ καὶ τὴ δύναμη τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων, δηλαδὴ τὸν Σατανᾶ καὶ τὰ πονηρὰ καὶ βέβηλα στίφη τῶν δαιμονίων, ὄχι μόνο νὰ τὰ καταλεηλατήσει ὁ Χριστὸς καὶ ν᾽ ἀπαλλάξει ἀπὸ τὴ δουλεία τους σ᾽ αὐτὸν ἐκείνους ποὺ εἶχαν ἀπατηθεῖ, καὶ πρωτοῦ ἔρθουν ἀκόμα στὴ σωματικὴ ἡλικία στὴν ὁποία ταιριάζει νὰ μποροῦν νὰ μάθουν νὰ λένε πατέρα καὶ μητέρα, τὸ διασαφήνισε λέγοντας· «Γιατί, πρωτοῦ μάθει τὸ παιδὶ νὰ λέγει πατέρα ἢ μητέρα, θὰ κυριεύσει τὸν στρατὸ τῆς Δαμασκοῦ». Τὸ «θὰ λάβει» λέγεται ἀντὶ τοῦ "θὰ ὑποτάξει". Θὰ λάβει ὅμοια καὶ τὰ λάφυρα τῆς Σαμάρειας, δηλαδὴ θὰ ἐλευθερώσει τοὺς αἰχμαλώτους πολεμώντας ὑπὲρ αὐτῶν. Μπροστὰ στὰ μάτια τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων, τοῦ νοητοῦ δηλαδή, ἐννοῶ τοῦ Σατανᾶ. Γιατὶ αὐτὸς ἦταν ἡ Δαμασκὸς καὶ ἡ δύναμης τῆς Συρίας.

Ὅτι καὶ οἱ προσκυνητὲς τῶν εἰδώλων στηρίζουν ὅλη τὴν ἐλπίδα τῆς σωτηρίας τους σ᾽ αὐτά, καὶ ὅτι ὁ Χριστὸς λαφυραγώγησε τὸν Σατανᾶ, εὐθὺς μόλις γεννήθηκε, εἶναι εὔκολο νὰ τὸ

ἰδεῖν. Γράφει γὰρ ὁ Ματθαῖος· «Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντό τε εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Ἴδομεν γὰρ τὸν ἀστέρα αὐτοῦ ἐν τῇ Ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ». Προσκεκυνήκασι γοῦν καὶ προσήγαγον χρυσίον καὶ λίβανον καὶ σμύρναν. Ὁρᾷς ὅπως ἐσκύλευσε τὸν Σατανᾶν καὶ προενόμευσεν ὀξέως; Ὅτι δὲ καὶ ὁ τῆς ἐπιδημίας σκοπὸς εἰς λύτρωσιν βλέπει τῶν ἐν αἰχμαλωσίᾳ τῇ νοητῇ γεγονότων, κατασημα[ί]νειεν ἂν καὶ αὐτὸς ὁ Χριστὸς διὰ φωνῆς Ἡσαΐου λέγων· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν». Ψάλλει δέ που καὶ ὁ μακάριος Δαβὶδ περὶ αὐτοῦ· «Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν». Καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπών· «Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν».

Στίχ 5-8. «Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι· Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν Ῥαασσὼν καὶ τὸν υἱὸν τοῦ Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ. Καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὰ πλάτη τῆς χώρας σου».

Ὅτι παρά γε τὸ εἰωθὸς ἀνθρώποις, ξένη τε καὶ ἀξιάγαστος ἔσται τοῦ Ἐμμανουὴλ ἡ γέννησις, ἡ διὰ τῆς ἁγίας

26. Ματθ. 2, 1-2. 27. Ἡσ. 61 1.

δοῦμε. Γιατὶ γράφει ὁ Ματθαῖος· «Ὅταν ὁ Ἰησοῦς γεννήθηκε στὴ Βηθλεὲμ τῆς Ἰουδαίας στὶς ἡμέρες τοῦ βασιλιᾶ Ἡρώδη, νά, ἔφτασαν μάγοι ἀπὸ τὴν ἀνατολὴ στὰ Ἱεροσόλυμα καὶ εἶπαν· Ποῦ εἶναι ὁ νεογέννητος βασιλεὺς τῶν Ἰουδαίων; Γιατὶ εἴδαμε τὸ ἀστέρι του στὴν Ἀνατολὴ καὶ ἤρθαμε νὰ τὸν προσκυνήσομε»[26]. Τὸν προσκύνησαν λοιπὸν καὶ τοῦ πρόσφεραν χρυσὸ καὶ λιβάνι καὶ σμύρνα. Βλέπεις πῶς λαφυραγώγησε τὸν Σατανᾶ κι ἄρχισε ἀμέσως τὴ λεηλασία; Ὅτι ὅμως καὶ ὁ σκοπὸς τῆς ἔλευσης ἀποβλέπει στὴ λύτρωση ἐκείνων ποὺ ἔπεσαν στὴ νοητὴ αἰχμαλωσία, θὰ τὸ δηλώσει καὶ ὁ ἴδιος ὁ Χριστὸς μὲ τοὺς λόγους τοῦ Ἡσαΐα· «Πνεῦμα τοῦ Κυρίου ὑπάρχει σὲ μένα, ἐπειδὴ μὲ ἔχρισε μ᾽ αὐτὸ καὶ μὲ ἔστειλε νὰ κηρύξω τὸ χαρμόσυνο μήνυμα στοὺς φτωχούς, νὰ κηρύξω στοὺς αἰχμαλώτους τὴν ἀπελευθέρωσή τους καὶ στοὺς τυφλοὺς τὴν ἀνάβλεψή τους»[27]. Ἀλλὰ καὶ ὁ μακάριος Δαβὶδ ψάλλει κάπου γι᾽ αὐτόν· «Ἀνέβηκε στὰ ὕψη τοῦ οὐρανοῦ καὶ αἰχμαλώτισε πλήθη αἰχμαλώτων»[28]. Αὐτὸ τὸ δίδαξε καὶ ὁ ἴδιος λέγοντας· «Ὅταν ἀνεβῶ ἀπὸ τὴ γῆ στὰ ὕψη τοῦ οὐρανοῦ, θὰ τοὺς ἑλκύσω ὅλους πρὸς ἐμένα»[29].

Στίχ. 5-8. «Καὶ ὁ Κύριος μίλησε ἀκόμα σ᾽ ἐμένα καὶ μοῦ εἶπε· Ἐπειδὴ ὁ λαὸς αὐτὸς δὲν θέλει τὸ νερὸ τοῦ Σιλωάμ, ποὺ κυλᾶ ἥσυχα, ἀλλὰ θέλει νὰ ἔχει τὸν Ραασσὼν καὶ τὸν υἱὸ τοῦ Ρομελίου βασιλιὰ σας, γι᾽ αὐτό, Νά, ὁ Κύριος στρέφει ἐπάνω σας τὸ νερὸ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸ καὶ ἄφθονο, τὸν βασιλιὰ δηλαδὴ τῶν Ἀσσυρίων καὶ τὸν ἔνδοξο στρατό του. Καὶ θ᾽ ἀνεβεῖ σὲ κάθε φαράγγι σας καὶ θὰ περπατήσει σὲ κάθε τεῖχος σας καὶ θ᾽ ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία κάθε ἄνθρωπο ποὺ θὰ μπορεῖ νὰ σηκώσει κεφάλι ἐναντίον του ἢ θὰ μπορεῖ νὰ πράξει κάτι. Καὶ ὁ στρατὸς ἐκείνου θὰ γεμίσει τὶς ἐκτάσεις τῆς χώρας σου».

Ἀφοῦ διευκρίνισε πολὺ καλὰ ὅτι παρὰ τὴ συνήθεια θὰ εἶναι παράδοξη κι ἀξιοθαύμαστη στοὺς ἀνθρώπους ἡ γέννηση τοῦ

28. Ψαλμ. 67, 19.

29. Ἰω. 12, 32.

Παρθένου, καὶ ὅτι πλείστων τε ὅσων καὶ περιφανεστάτων ἀληθῶς θεοσημειῶν ἀποτελεσθήσεσθαι κατὰ καιροὺς εὖ μάλα διειρηκώς, ἀποκαλύπτει τῷ προφήτῃ λοιπόν, καὶ τὴν ἐσομένην κατ' αὐτοῦ τῶν Ἰουδαίων ἀπόνοιαν κατά γε τὸν τῆς ἐνανθρωπήσεως καιρόν. Ἀφίκετο γε μὴν εἰς τόνδε τὸν κόσμον ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὐκ ἐμφανῆ τε καὶ ὁρωμένην τὴν τῆς θεοπρεποῦς ὑπεροχῆς δόξαν ἔχων· οὔτε μὴν κατὰ τὸ εἰωθὸς αὐτῷ φῶς οἰκῶν ἀπρόσιτον, οὐδὲ ταῖς ἀγγελικαῖς δυνάμεσι δορυφορούμενος ἐναργῶς, ἀλλ' οὐδ' ἐν δόξῃ τυχὸν ἐπιγείου βασιλέως, μετρίως δὲ σφόδρα καὶ ὑφειμένως καὶ πολὺ λίαν ἀψοφητί. Καὶ τοῦτο ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ διὰ φωνῆς ἁγίων καταμεμήνυκε λέγων· «Ἰδοὺ συνήσει ὁ Παῖς μου ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἐν ταῖς πλατείαις ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει». Καὶ τρόπος μὲν οὗτοσὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς

Ἰουδαῖοι γε μὴν οἱ τάλανες τὸ ἐπ' αὐτῷ μυστήριον, ἢ οὐ συνέντες ὅλως, ἤγουν ἀνοσίως διωθούμενοι, κατεπεφύοντο δεινῶς, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι λέγοντες· «Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν». Διατετελέκασι δὲ καὶ μέχρι παντὸς σκληροὶ καὶ ἐξήνιοι, καὶ τὸ ἔτι τούτων ἐπέκεινα πρὸς τὸ δυσσεβές. Προσῆγον μὲν γὰρ τῷ Πιλάτῳ λέγοντες· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν». Ἐκείνου δὲ πρὸς ταῦτα μονονουχὶ καταμειδιῶντός τε καὶ λέγοντος, Τὸν βασιλέα ὑμῶν σταυρώσω; Κατεκεκράγεσαν λέγοντες· «Οὐκ ἔχο μεν βασιλέα, εἰ μὴ Καίσαρα». Ἄθρει δὴ ὅπως ἠρνήσαντο μὲν τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι, Καίσαρα δὲ καὶ ἀνθρώπους ἐπεγράφοντο βασιλέας Αἰνιγματωδῶς τοιγαροῦν τῷ προ-

30. Ἡσ. 52, 13 καὶ 42, 1-3. 31. Ἰω. 10, 33.

Ἐμμανουὴλ ἀπὸ τὴν ἁγία Παρθένο καὶ ὅτι πλείστων ὅσων καὶ ἀληθινὰ περίλαμπρων θαυματουργικῶν ἔργων θὰ γίνει δημιουργός, ἀποκαλύπτει τέλος στὸν προφήτη καὶ τὴν ἐναντίον του ἀνοησία τῶν Ἰουδαίων τὸν καιρὸ τῆς ἐνανθρώπησης. Ἦρθε σ᾽ αὐτὸν τὸν κόσμο ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ μὲ ὁμοίωμα ἁμαρτωλοῦ ἀνθρώπου καὶ δὲν εἶχε φανερὴ καὶ ὁρατὴ τὴ δόξα τῆς θεϊκῆς ὑπεροχῆς του, οὔτε βέβαια σύμφωνα μὲ τὴ συνήθειά του κατοικοῦσε μέσα στὸ φῶς τὸ ἀπρόσιτο, οὔτε περιβαλόταν φανερὰ ἀπὸ τὶς ἀγγελικὲς δυνάμεις, οὔτε καὶ εἶχε τὴ δόξα τυχὸν ἐπίγειου βασιλιᾶ, ἀλλ᾽ ἦρθε μὲ πολὺ μετρημένο καὶ ταπεινὸ τρόπο καὶ πάρα πολὺ ἀθόρυβα. Κι αὐτὸ μᾶς τὸ διαμήνυσε μὲ σαφήνεια ὁ Θεὸς καὶ Πατέρας μέσω τῆς φωνῆς τῶν ἁγίων, λέγοντας· «Νά, ὁ Υἱός μου ὁ ἀγαπητός, ποὺ εἶναι ἡ ἀνάπαυσή μου, θὰ γεμίσει μὲ σοφία καὶ σύνεση, καὶ θὰ ἐνεργήσει κρίση στὰ ἔθνη· δὲν θὰ φιλονεικήσει, οὔτε θὰ κραυγάσει, οὔτε θ᾽ ἀκουσθεῖ ἡ φωνή του στὶς πλατεῖες. Καλάμι σπασμένο δὲν θὰ σπάσει, καὶ λινάρι ποὺ καίγεται καὶ καπνίζει δὲν θὰ τὸ σβήσει»[30]. Και αὐτὸς βέβαια εἶναι ὁ τρόπος τῆς ἔνσαρκης οἰκονομίας τοῦ Μονογενοῦς.

Οἱ Ἰουδαῖοι ὅμως οἱ δυστυχεῖς ἢ ἐπειδὴ δὲν κατάλαβαν καθόλου τὸ μυστήριο τῆς οἰκονομίας ἢ ἐπειδὴ τὸ ἀπέρριπταν μὲ ἀσέβεια, ἔκαναν φοβερὲς ἐπιθέσεις ἐναντίον του καὶ ζητοῦσαν νὰ τὸν σκοτώσουν, φωνάζοντας· «Δὲν σοῦ λιθοβολοῦμε γιὰ καλὸ ἔργο σου, ἀλλὰ γιὰ τὸ ὅτι βλασφημεῖς, ἀφοῦ, ἐνῶ ἐσὺ εἶσαι ἄνθρωπος, κάνεις τὸν ἑαυτό σου Θεό»[31]. Παρέμειναν λοιπὸν μέχρι τέλος σκληροὶ καὶ παράφρονες, ἀλλὰ προχώρησε ἡ ἀσέβεια ἀκόμα καὶ πιὸ πέρα ἀπὸ αὐτό. Γιατὶ τὸν ὁδήγησαν στὸν Πιλάτο καὶ τοῦ εἶπαν· «Πάρε τον, πάρε τον, καὶ σταύρωσέ τον»[32]. Καὶ σ᾽ ἐκεῖνον ποὺ χαμογελοῦσε κατὰ κάποιο τρόπο πρὸς αὐτὰ καὶ ἔλεγε, «τὸ βασιλιά σας νὰ σταυρώσω;», κατακραύγασαν ἐναντίον του λέγοντας· «Δὲν ἔχομε ἄλλο βασιλιά, παρὰ τὸν Καίσαρα»[32]. Πρόσεχε λοιπὸν πῶς ἀρνήθηκαν νὰ εἶναι βασιλιάς τους, καὶ ὀνόμασαν βασιλεῖς των τὸν Καίσαρα καὶ ἀνθρώπους. Αὐτὸ λοιπὸν

32. Ἰω. 19, 15.

φήτῃ Θεὸς αὐτὸ δὴ τοῦτο καθίστησιν ἐναργές. Ἐπειδὴ δὲ προσήκειν ὑπολαμβάνω καὶ τὸ τοῖς τηνικάδε πράγμασι πρέπουσαν τοῦ λόγου ποιήσασθαι τὴν ἀπόδοσιν, φαμὲν ὅτι τῷ ὕδατι τοῦ Σιλωὰμ τὴν ὑπὸ Θεῷ παρεικάζει βασιλείαν, ἣν ἀτιμάσαντες Ἰουδαῖοι, γεγόνασιν ὑφ' ἑτέρῳ καὶ δέδονται τοῖς ἐχθροῖς. Ταύτῃτοί φησι· «Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασσὼν καὶ τὸν υἱὸν τοῦ Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων». Τὸ τοῦ Σιλωὰμ ὕδωρ ῥεῖν οὕτω φασὶν ἡσυχῇ, ὡς δίχα κτύπου προχεῖσθαι παντός. Ἑρμηνεύεται δὲ «Σιλωάμ», "ἀπεσταλμένος".

Δέχεται τοίνυν εἰς εἰκόνα καὶ τύπον αὐτὸν τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας, τῆς ἀψοφητὶ γεγενημένης, καθάπερ ἔφην ἀρτίως. Ἀπεσταλμένος δὲ κατ' ἀλήθειαν ὁ Χριστός. «Ἀπόστολον γοῦν καὶ Ἀρχιερέα αὐτὸν τῆς ὁμολογίας ἡμῶν» καὶ ὁ σοφὸς ὀνομάζει Παῦλος. Δέχεται δὲ ὁμοίως καὶ ἁπαξαπλῶς τῆς ὑπὸ Θεῷ βασιλείας εἰς τύπον τὸν Σιλωάμ. Οὐκοῦν ἐπειδήπερ ὁ λαὸς οὗτος ὁ ἀκαμπὴς καὶ ἐξήνιος, οὐ βούλεται ἔχειν τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀποσείεται γὰρ τὸν ὑπὸ Θεῷ ζυγόν, ἐπιθυμεῖ δὲ μᾶλλον ὑπὸ τὴν ἀνθρώπων εἶναι βασιλείαν, καὶ κατισχῦσαι μᾶλλον αὐτοῦ τοὺς πλεονεκτεῖν ἐθέλοντας, τὸν Ῥαασσών, φημί, καὶ τὸν Φακεέ· ταύτης ἕνεκα τῆς αἰτίας ἐπ' αὐτοῖς ἀνήσω τὸ ὕδωρ τοῦ ποταμοῦ, τοῦτ' ἔστι τοῦ Εὐφράτου. Ἐπειδὴ δὲ ἦν ἀσαφέστερός πως ὁ λόγος, προσεπάγει παραχρῆμα καί φησι, «Βασιλέα τῶν Ἀσσυρίων καὶ τὴν δόξαν αὐτοῦ», τοῦτ' ἔστι τοὺς ὑπ' αὐτῷ πάντας, καὶ ἅπαν ἔθνος τὸ ὑπεστρωκὸς αὐτῷ τὸν αὐχένα. Ὕδατι δὲ παρεικάζει τὰ πλήθη. Καὶ τοῦτο ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Καὶ γοῦν περὶ τῆς Νινευῆ καὶ τῆς ἐν αὐτῇ ἀναριθμήτου πληθύ-

μὲ αἰνιγματικὸ τρόπο κάνει ὁ Θεὸς φανερὸ στὸν προφήτη. Ἐπειδὴ ὅμως πρέπει, νομίζω, καὶ στὰ πράγματα ποὺ προέκυψαν νὰ δώσω τὴν ἁρμόζουσα ἐξήγηση τοῦ λόγου, λέμε, ὅτι μὲ τὸ νερὸ τοῦ Σιλωὰμ παρομοιάζει τὴ βασιλεία τοῦ Θεοῦ, τὴν ὁποία, ἐπειδὴ περιφρόνησαν οἱ Ἰουδαῖοι, ὑποδουλώθηκαν σὲ ἄλλους καὶ παραδόθηκαν στοὺς ἐχθρούς. Γι' αὐτὸ λέγει· «Ἐπειδὴ δὲν θέλει ὁ λαὸς αὐτὸς τὸ νερὸ τοῦ Σιλωὰμ ποὺ κυλάει μὲ ἡσυχία, ἀλλὰ θέλει νὰ ἔχει βασιλεῖς του τὸν Ραασσὼν καὶ τὸ υἱὸ τοῦ Ρομελίου, γι' αὐτό, νά, ὁ Κύριος θὰ στρέψει ἐναντίον σας τὸ νερὸ τοῦ ποταμοῦ, τὸ ὁρμητικὸ καὶ πολύ, τὸ βασιλιὰ τῶν Ἀσσυρίων. Τὸ νερὸ τοῦ Σιλωὰμ λένε ὅτι κυλᾶ τόσο ἥρεμα, ὥστε νὰ προχωρεῖ χωρὶς κανένα ἀπολύτως θόρυβο. Τὸ «Σιλωὰμ» ἑρμηνευόμενο σημαίνει "ἀπεσταλμένος".

Δέχεται λοιπὸν αὐτὸν ὡς εἰκόνα καὶ τύπο τῆς παρουσίας τοῦ Σωτήρα μας, ποὺ ἔγινε χωρὶς θόρυβο, ὅπως εἶπα πρὶν ἀπὸ λίγο. Καὶ εἶναι ἀληθινὰ ἀπεσταλμένος ὁ Χριστός. Γι' αὐτὸ ὁ σοφὸς Παῦλος τὸν ὀνομάζει «Ἀπόστολο κι ἀρχιερέα τῆς ὁμολογίας μας»[33]. Δέχεται ὅμοια καὶ ἀνεπιφύλακτα τὸν Σιλωὰμ ὡς τύπο τῆς βασιλείας τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν ὁ σκληροτράχηλος καὶ ἀχαλίνοτος αὐτὸς λαὸς δὲν θέλει νὰ ἔχει τὸ νερὸ τοῦ Σιλωὰμ ποὺ κυλᾶ ἥσυχα, γιατὶ ἀπορρίπτει τὸν ζυγὸ τοῦ Θεοῦ καὶ ἐπιθυμεῖ νὰ εἶναι μᾶλλον κάτω ἀπὸ τὴ βασιλεία ἀνθρώπων καὶ νὰ τὸν ἐξουσιάζουν ἄνθρωποι ποὺ θέλουν νὰ τὸν λεηλατοῦν, ἐννοῶ τὸν Ραασσὼν καὶ τὸν Φακεέ, γι' αὐτὸν τὸ λόγο θὰ ἀφήσω νὰ πέσει ἐπάνω τους τὸ νερὸ τοῦ ποταμοῦ, δηλαδὴ τοῦ Εὐφράτη. Ἐπειδὴ ὅμως ὁ λόγος του ἦταν κάπως ἀσαφέστερος, προσθέτει ἀμέσως καὶ λέγει, «Τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ τὴ δόξα του», δηλαδὴ ὅλους τοὺς εὑρισκόμενους κάτω ἀπὸ τὴν ἐξουσία του καὶ κάθε ἔθνος ποὺ ἔσκυψε σ' αὐτὸν τὸν αὐχένα του. Μὲ νερὸ πάλι παρομοιάζει τὰ πλήθη. Κι' αὐτὸ εἶναι συνήθεια τῆς θεόπνευστης Γραφῆς. Καὶ πράγματι γιὰ τὴ Νινευῆ καὶ τὸ ἀμέτρητο πλῆθος τῶν κατοίκων

33. Ἑβρ. 3, 1.

ος φησὶ διὰ φωνῆς προφητῶν· «Καὶ Νινευῆ, ὡς κολυμβήθρα ὑδάτων τὰ ὕδατα αὐτῆς».

Ἐπιμένει δὲ τῇ τροπῇ καὶ φησιν· «Ὡς ἐφ' ὕδατός τε καὶ ποταμοῦ, καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὰ πλάτη τῆς χώρας σου». Ἦχθη δὲ εἰς πέρας ἅπαντα ταυτί, προφητεύοντος Ἱερεμίου, ὅτε τῆς Ἰουδαίων χώρας κατεστράτευσεν ὁ Ναβουχοδονόσορ, καὶ καθεῖλε μὲν τὴν περιβόητον Ἱερουσαλήμ, κατεμπρήσας δὲ καὶ τὸν ναὸν καὶ τοὺς τῶν Ἰουδαίων ἐπισήμους ἀπεκτονώς, ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς τὴν ἄλλην ἅπασαν καὶ ὑπολελειμμένην ἐκ τοῦ πολέμου πληθὺν ἀπεκόμισεν εἰς τὴν ἑαυτοῦ. Πρόδηλον οὖν ὅτι τοῖς οὐκ ἐθέλουσιν ἔχειν τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, τοῦτ' ἔστι Χριστόν, ἤτοι τὴν ὑπὸ Θεῷ βασιλείαν, ἐπιπηδήσει πάντως ὁ τῶν νοητῶν Ἀσσυρίων βασιλεύς, τοῦτ' ἔστιν ὁ Σατανᾶς, καὶ αἰχμαλώτους ἑλών, τοῖς ἰδίοις ὑποθήσει ζυγοῖς, καὶ ποιήσει δούλους, ταῖς ἐκ πολυτρόπων ἁμαρτιῶν κατασφίγγων σειραῖς.

Στίχ. 8-10. «Μεθ' ἡμῶν ὁ Θεός· γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς· ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν βουλεύσησθε βουλήν, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἂν λαλήσητε, οὐ μὴ ἐμμείνῃ· ὅτι μεθ' ἡμῶν Κύριος ὁ Θεός».

Ἀνασκιρτᾷ τῷ προφήτῃ πρὸς θυμηδίαν ὁ νοῦς, ἐπεγνωκότι σαφῶς τὸ Χριστοῦ μυστήριον. Εἶτα τῶν ἁγίων εὐαγγελιστῶν καὶ μέντοι καὶ ἀποστόλων τό τε πρόσωπον ὁμοῦ καὶ τὸν λόγον ἀναλαβών, Ἕλλησί τε καὶ Ἰουδαίοις μονονουχὶ καὶ διαμαρτύρεται, ὅπλον τοῖς πεποιημένοις αὐ-

της λέγει μέσω τῆς φωνῆς τῶν προφητῶν· «Καὶ ἡ Νινευῆ ποὺ μοιάζει μὲ δεξαμενὴ ἄφθονων ὑδάτων»[34].

Ἐπιμένει στὴ μεταφορὰ καὶ λέγει· σὰν τὸ νερὸ καὶ τὸ ποτάμι, «Θ' ἀνεβεῖ σὲ κάθε φαράγγι σας καὶ θὰ περπατήσει σὲ κάθε τεῖχος σας, καὶ θὰ ἀφανίσει ἀπὸ τὴν Ἰουδαία κάθε ἄνθρωπο, ποὺ θὰ μπορέσει νὰ σηκώσει κεφάλι ἐναντίον του ἢ νὰ πράξει κάτι. Καὶ ὁ στρατὸς αὐτοῦ θὰ εἶναι τόσος, ὥστε θὰ γεμίσει τὶς ἐκτάσεις τῆς χώρας του». Ὅλα αὐτὰ πραγματοποιήθηκαν σύμφωνα μὲ τὴν προφητεία τοῦ Ἱερεμία, ὅταν ἐξεστράτευσε ἐναντίον τῆς χώρας τῶν Ἰουδαίων ὁ Ναβουχοδονόσορ καὶ κυρίευσε τὴν περιβόητη Ἱερουσαλήμ, πυρπόλησε τὸ ναό της, σκότωσε τοὺς ἐπισήμους Ἰουδαίους, καὶ μαζὶ μὲ τὰ ἱερὰ σκεύη ὅλο τὸ πλῆθος ποὺ ἀπόμεινε μετὰ τὸν πόλεμο τὸ μετέφερε στὴ χώρα του. Εἶναι λοιπὸν ὁλοφάνερο ὅτι σὲ ἐκείνους ποὺ δὲν θέλουν νὰ ἔχουν τὸ νερὸ τοῦ Σιλωὰμ ποὺ κυλᾶ ἥσυχα, δηλαδὴ τὸν Χριστό, ἤτοι τὴ βασιλεία τοῦ Θεοῦ, θὰ ὁρμήσει ἐναντίον τους ὁ νοητὸς βασιλιὰς τῶν Ἀσσυρίων, δηλαδὴ ὁ Σατανᾶς, κι ἀφοῦ τοὺς συλλάβει αἰχμαλώτους, θὰ τοὺς βάλει κάτω ἀπὸ τὸ δικό του ζυγὸ καὶ θὰ τοὺς κάνει δούλους του, περισφίγγοντάς τους μὲ τὶς ἁλυσίδες τῶν κάθε εἴδους ἁμαρτιῶν τους.

> Στίχ. 8-10. «Ὁ Θεὸς εἶναι μαζί μας· μάθετέ το, λαοί, καὶ δεχθεῖτε τὴν ἧττα σας. Ἀκούσατέ το μέχρι τὰ πέρατα τῆς γῆς· ὅσοι ὑπερισχύσατε, θὰ νικηθεῖτε. Κι ἂν πάλι ὑπερισχύσετε, θὰ νικηθεῖτε, καὶ ὁποιαδήποτε σκέψη καὶ σχέδια κάνετε, ὁ Κύριος θὰ τὰ διαλύσει. Ἀλλὰ καὶ ὁποιονδήποτε λόγο ἐκστομίσετε δὲν θὰ σταθεῖ· γιατὶ εἶναι μαζί μας ὁ Κύριος ὁ Θεός».

Σκιρτᾶ ἡ ψυχὴ τοῦ προφήτη ἀπὸ χαρά, ἔχοντας γνωρίσει μὲ σαφήνεια τὸ μυστήριο τοῦ Χριστοῦ. Ἔπειτα ἀναλαμβάνοντας καὶ τὸ πρόσωπο τῶν ἁγίων εὐαγγελιστῶν καὶ τῶν ἀποστόλων καὶ τὸ λόγο τους, δίνει κατὰ κάποιο τρόπο διαβεβαίωση στοὺς Ἕλληνες καὶ τοὺς Ἰουδαίους, ὅτι αὐτοὶ ποὺ τὸν κάνουν ὅπλο

34. Ναούμ 2, 9.

τὸν οὐδὲν ἔσται τὸ ἀντιστατοῦν. Τοῖς μὲν οὖν ἔθνεσι δύο ταῦτα κατορθῶσαι διακελεύεται, διαγνῶναί τε τὸ Χριστοῦ μυστήριον, καὶ μὴν ὅτι καὶ ἡττᾶσθαι χρὴ τοῖς διδάσκουσιν αὐτό Γνῶτε γάρ, φησί, καὶ τὸν ἐν αὐτῷ δέξασθε λόγον, καὶ ἡττήθητε, τοῦτ' ἔστι παραχωρεῖτε, καὶ μὴ ἀνθίστασθε τοῖς ἁγίοις μυσταγωγοῖς, ὑπακούσατε δὲ μᾶλλον αὐτοῖς ἕως ἐσχάτου τῆς γῆς, τοῦτ' ἔστιν, οἱ κατὰ πᾶσάν τε πόλιν καὶ χώραν, καὶ μέχρι αὐτῶν τερμάτων τῆς ὑπ' οὐρανόν. Οἱ δὲ ἡττώμενοί τε καὶ παραχωρεῖν ἐθέλοντες τὸ νικᾶν τοῖς τῆς ἀληθείας διδασκάλοις, εἰσδέξονται μὲν εὐκόλως τὸν παρ' αὐτῷ λόγον, πεπιστευκότες δὲ εἰς Χριστὸν βαδιοῦνται κατ' εὐθὺ παντὸς ἀγαθοῦ, καὶ τὴν αὐτῷ φιλαιτάτην κατορθώσαντες ἀρετήν, λαμπράν τε καὶ ἀξιοζήλωτον κατακληρονομήσουσι δόξαν.

Καὶ ταυτὶ μὲν τοῖς Ἑλλήνων στίφεσιν, ὡς ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν ὁ προφήτης φησίν· Ὑμεῖς δέ, ὦ Ἰουδαῖοι, ἰσχυκότες ἡττᾶσθε. Ὅσον μὲν γὰρ εἷς γε τὸν ἐνόντα τοῖς Ἰουδαίοις σκοπόν, κατίσχυσαν τοῦ Χριστοῦ, σταυρῷ παραδόντες οἱ δείλαιοι, πλὴν ἐβουλεύσαντο βουλήν, ἣν οὐ μὴ δύνωνται στῆσαι, κατὰ τὸ γεγραμμένον. Οὐ γὰρ ἦν δύνασθαι θανάτῳ περιβαλεῖν τὸν ἀρχηγὸν τῆς ζωῆς. Οὐκοῦν, εἰ καὶ νενομίκατε, φησίν, ἰσχῦσαι Κυριοκτονήσαντες, ἀλλ' οὖν ἡττήθητε λοιπόν, καὶ δότε τὸ εὐπειθὲς παραδεξάμενοι τὴν πίστιν, ἤγουν ἐκεῖνο γινώσκετε, κἂν ὅτι πάλιν ἰσχύσητε μὴ ἀνεχόμενοι τῆς διδασκαλίας, ἀλλ' ἐπιτιμῶντες ἀγρίως τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσι, πάλιν ἡττηθήσεσθε κολάζοντι λοιπὸν τῷ Κριτῇ καὶ τὰς τῆς οὕτω μακρᾶς ἀπονοίας αἰτοῦντι δίκας. Ὃ δὴ καὶ πέπρακται. Μετὰ γάρ τοι τὸ ἀναβιῶναι Χριστὸν καὶ ἀνελθεῖν εἰς οὐρανόν, καὶ αὐτοῖς ἐπεβούλευον τοῖς ἁγίοις ἀποστόλοις· καὶ δὴ καὶ εἰσφέροντες ἐν τοῖς συνεδρίοις ἔτυπτον ἐγκαλοῦντες καὶ λέγοντες· «Παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν τινι ἐπὶ τῷ ὀνόματι τούτῳ, καὶ ἰδοὺ πε-

τους τίποτε δὲν θὰ μπορέσει νὰ τοὺς ἀντισταθεῖ. Στὰ ἔθνη λοιπὸν διατάζει νὰ κατορθώσουν αὐτὰ τὰ δυό· καὶ νὰ γνωρίσουν τὸ μυστήριο τοῦ Χριστοῦ, καὶ ὅτι πρέπει νὰ νικηθοῦν ἀπὸ αὐτοὺς ποὺ τὸ διδάσκουν. Γιατὶ λέγει· Γνωρίστε το καὶ δεχθεῖτε τὸ λόγο του καὶ νικηθεῖτε, δηλαδὴ ὑποχωρῆστε καὶ μὴν ἀντιστέκεστε στοὺς ἁγίους διδασκάλους τοῦ μυστηρίου, ἀλλὰ μᾶλλον ὑπακοῦστε μέχρι τὰ πέρατα τῆς γῆς, δηλαδὴ ὅλοι ὅσοι κατοικοῦν σὲ κάθε πόλη καὶ χώρα, καὶ μέχρι τὰ πέρατα τῆς ὑφηλίου. Ἐκεῖνοι ὅμως ποὺ δέχονται τὴν ἧττα τους καὶ θέλουν νὰ παραχωροῦν τὴ νίκη στοὺς διδασκάλους τῆς ἀλήθειας, θὰ δεχθοῦν εὔκολα τὸν λόγο αὐτοῦ καὶ πιστεύοντας στὸν Χριστὸ θὰ βαδίσουν κατ' εὐθεῖαν σὲ κάθε ἀγαθό, κι ἀφοῦ κατορθώσουν τὴν πιὸ ἀγαπητὴ σ' αὐτὸν ἀρετή, θὰ κληρονομήσουν τὴ λαμπρὴ κι ἀξιοζήλευτη δόξα.

Καὶ αὐτὰ βέβαια λέγει ὁ προφήτης στὰ πλήθη τῶν Ἑλλήνων ὡς ἐκπρόσωπος τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν. Ἐσεῖς ὅμως, ὦ Ἰουδαῖοι, ποὺ εἴχατε νικήσει, δέχεσθε τὴν ἧττα. Ὅσον ἀφορᾶ τὸν σκοπὸ ποὺ εἶχαν οἱ Ἰουδαῖοι, νίκησαν τὸν Χριστὸ παραδίδοντάς τον οἱ ἄθλιοι στὸ σταυρό, πλὴν ὅμως ἔκαναν σκέψη καὶ σχέδια ποὺ δὲν θὰ μπορέσουν νὰ τὰ ἐκτελέσουν, σύμφωνα μὲ τὴ Γραφή. Γιατὶ δὲν ἦταν δυνατὸ νὰ παραδώσουν στὸ θάνατο τὸν ἀρχηγὸ τῆς ζωῆς. Λοιπόν, ἂν καὶ νομίσατε, λέγει, ὅτι νικήσατε σκοτώνοντας τὸν Κύριο, ὡστόσο νικηθήκατε, γι' αὐτὸ δείξατε ὑπακοὴ δεχόμενοι τὴν πίστη· ἢ νὰ γνωρίζετε ἐκεῖνο, ὅτι κι ἂν πάλι νικήσετε μὴ δεχόμενοι τὴ διδασκαλία, ἀλλὰ κατηγορώντας ἄγρια αὐτοὺς ποὺ κηρύττουν τὸ Εὐαγγέλιο, πάλι θὰ νικηθεῖτε καὶ θὰ τιμωρηθεῖτε ἀπὸ τὸν Κριτὴ ποὺ θὰ ζητήσει τὴν τιμωρία σας γιὰ τὴν τόσο μεγάλη ἀνοησία σας, πρᾶγμα βέβαια ποὺ καὶ ἔγινε. Γιατὶ μετὰ τὴν ἀνάσταση τοῦ Χριστοῦ καὶ τὴν ἄνοδό του στὸν οὐρανό, ἐπιβουλεύονταν καὶ τοὺς ἴδιους τοὺς ἁγίους ἀποστόλους, καὶ μάλιστα ὁδηγώντας τους στὰ συνέδρια τοὺς μαστίγωναν, κατηγορώντας τους καὶ λέγοντας· Σᾶς δώσαμε ἐπανειλημμένα ἐντολὴ νὰ μὴ μιλᾶτε σὲ ὁποιονδήποτε γι' αὐτὸ τὸ

πληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν». Οὐκοῦν ἔδοξαν μὲν καὶ κατὰ τοῦτο ἰσχύειν, πλὴν ἀνόνητα πάντα αὐτοῖς, καὶ βουλὴ καὶ σκέψις καὶ λόγος· ἐνίκων γὰρ οἱ θεσπέσιοι μαθηταὶ λέγοντες, διότι «Μεθ' ἡμῶν Κύριος ὁ Θεός». Οἱ δὲ πικρὰς ἔξτηνται δίκας. ταῖς Ῥωμαίων στρατιαῖς καὶ οὐχ ἑκόντες ἡττώμενοι.

Στίχ. 11-12. «Οὕτω λέγει Κύριος· Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι, τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου λέγοντες· Μήποτε εἴπωσι, Σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστιν».

Ἔφην ὅτι τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν τὸ πρόσωπον ἑαυτῷ περιτιθεὶς ὁ μακάριος προφήτης, ἔθνεσίν τε καὶ Ἰουδαίοις ἡττᾶσθαι Χριστῷ συνεβούλευσεν, ὑπακοῦσαί τε αὐτῷ καὶ τοὺς μέχρις ἐσχάτων τῆς γῆς Εἶτα Θεός πρὸς αὐτὸν μονονουχὶ καὶ καταθαυμάζων τὴν τοῦ Ἰσραὴλ σκαιότητα καὶ τὸ λίαν ἀμαθές, «Τῇ ἰσχυρᾷ χειρί», φησίν, «ἀπειθοῦσιν». Παναλκὴς γὰρ καὶ ἄθραυστος, καὶ πάντα ἰσχύουσα δεξιὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα, ὁ καταργήσας θάνατον καὶ συντρίψας τὸν Σατανᾶν καὶ σκυλεύσας τὸν ᾅδην καὶ ἀφθαρσίαν δωρούμενος τοῖς ὑπὸ φθορὰν καὶ ἀνακαινίζων τὰ πάντα πρὸς τὸ ἐν ἀρχαῖς. Οὕτω καὶ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς οἱ ἐν Χριστῷ σεσωσμένοι φασίν· «Δεξιὰ Κυρίου ὕψωσέ με, δεξιὰ Κυρίου ἐποίησε δύναμιν». Εἴρηται δὲ καὶ ἐν Ὡδαῖς· «Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ, ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς».

Οὐκοῦν ἀνοσιότητός τε ὁμοῦ, καὶ μὴν καὶ φρενοβλαβείας εἰς τοῦτο διεληλάκασιν, ὡς τῇ ἰσχυρᾷ χειρὶ τῇ σωζούσῃ ῥᾳδίως ἀπειθεῖν ἑλέσθαι, καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὸ

35. Πράξ. 5, 28.
36. Ψαλμ. 117, 16.

ὄνομα, ἀλλὰ ἐσεῖς γεμίσετε τὴν Ἱερουσαλὴμ μὲ τὴ διδασκαλία σας»[35]. Νόμισαν λοιπὸν ὅτι νικοῦν καὶ σ' αὐτό, ἀλλ' ἦταν ὅλα ἀνώφελα γι' αὐτούς, καὶ ἡ ἀπόφαση καὶ τὸ σχέδιο καὶ ὁ λόγος. Γιατὶ νικοῦσαν οἱ θεσπέσιοι μαθητὲς λέγοντας· γιατὶ «Μαζί μας εἶναι ὁ Κύριος ὁ Θεός». Οἱ Ἰουδαῖοι ὅμως τιμωρήθηκαν πικρὰ ἀπὸ τὰ Ρωμαϊκὰ στρατεύματα, νικημένοι καὶ χωρὶς νὰ τὸ θέλουν.

Στίχ. 11-12. «Αὐτὰ λέγει ὁ Κύριος· Ἀπειθοῦν στὸν ἰσχυρὸ βραχίονα καὶ στὴν πορεία τοῦ λαοῦ τούτου, λέγοντας· Νὰ μὴ ποῦν ποτὲ ὅτι εἶναι σκληρὸ αὐτὸ ποὺ λέγει ὁ Κυριος. Γιατὶ σκληρὸ εἶναι ὁ,τιδήποτε πεῖ ὁ λαὸς αὐτός».

Εἶπα ὅτι ὁ μακάριος προφήτης ἀναλαμβάνοντας τὸ πρόσωπο τῶν ἀποστόλων καὶ τῶν εὐαγγελιστῶν, συμβούλευσε τοὺς ἐθνικοὺς καὶ τοὺς Ἰουδαίους νὰ ἡττηθοῦν ἀπὸ τὸν Χριστό, καὶ νὰ δείξουν ὑπακοὴ σ' αὐτὸν αὐτοὶ ποὺ κατοικοῦν μέχρι τὰ πέρατα τῆς γῆς. Στὴ συνέχεια ὁ Θεός, καταθαυμάζοντας κατὰ κάποιο τρόπο τὴν κακότητα τοῦ Ἰσραὴλ καὶ τὴ μεγάλη ἀμάθειά του λέγει πρὸς αὐτόν· «Δὲν δείχνουν ὑπακοὴ στὸν ἰσχυρὸ βραχίονα». Γιατὶ εἶναι πανίσχυρη καὶ ἄθραυστη καὶ παντοδύναμη ἡ δεξιὰ τοῦ Θεοῦ καὶ Πατέρα, δηλαδὴ ὁ Υἱός, ἀπὸ τὸν ὁποῖο δημιουργήθηκαν τὰ πάντα καὶ στὸν ὁποῖο ἀνήκουν τὰ πάντα, αὐτὸς ποὺ κατάργησε τὸ θάνατο καὶ συνέτριψε τὸν Σατανᾶ καὶ λαφυραγώγησε τὸν ἅδη καὶ δώρισε ἀφθαρσία στοὺς ὑποκείμενους στὴ φθορά, καὶ ἀνακαινίζει τὰ πάντα ὁδηγώντας τα στὴν ἀρχικὴ κατάσταση. Ἔτσι καὶ μὲ τὴ φωνὴ τοῦ Ψαλμωδοῦ ὅσοι ἔχουν σωθεῖ ἀπὸ τὸν Χριστὸ λένε· «Ἡ δεξιὰ τοῦ Κυρίου μὲ ὕψωσε, ἡ δεξιὰ τοῦ Κυρίου ἔδειξε τὴ δύναμή της σὲ ἔργα θαυμαστά»[36]. Ἀλλὰ καὶ στὶς Ὠδὲς ἔχει λεχθεῖ· «Ἡ δεξιά σου, Κύριε, δοξάσθηκε μὲ τὴ δύναμή της, τὸ δεξί σου χέρι, Κύριε, συνέτριψε τοὺς ἐχθρούς σου»[37].

Ἔχουν λοιπὸν φτάσει σὲ τόση ἀσέβεια καὶ μαζὶ καὶ φρενοβλάβεια, ὥστε νὰ θέλουν νὰ δείχνουν ἀνυπακοὴ στὸ ἰσχυρὸ χέρι ποὺ σώζει καὶ νὰ θεωροῦν τὸ πρᾶγμα μηδαμινό. Λέγει ὅμως ὅτι

37. Ἔξ. 15, 6.

πρᾶγμα. Ἀπειθοῦσι δὲ ὁμοίως τῇ πορείᾳ τοῦ λαοῦ τούτου, φησίν, οὗ τὸ πρόσωπον ἀναλαβὼν ἔφασκεν εὐθύς· «Μεθ' ἡμῶν ὁ Θεός». Ὁποία δέ τίς ἐστιν ἡ πορεία τοῦ λαοῦ; Τῶν ἐχόντων τὸν Ἐμμανουήλ, ἡ πίστις ἡ εἰς αὐτόν, ἡ εὐαγγελικὴ πολιτεία, παρεωραμένης τῆς ἐν νόμῳ καὶ ὡς ἐν σκιαῖς. Ἀπειθοῦσι δὲ τῇ πορείᾳ τοῦ λαοῦ τούτου λέγοντες· «Μή ποτε εἴπητε, Σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστι». Σκληρὸν γάρ εἶναί πως τοῖς Ἰουδαίοις ἐδόκει τῶν ἁγίων ἀποστόλων ὁ λόγος, ὅτι περιστέλλοντες ὡς ἐν καιρῷ τῷ δέοντι τὴν σκιάν, ζῆν οὐκ εἴων κατὰ τὸν Μωσέως νόμον, εὐαγγελικῶς δὲ μᾶλλον καὶ πνευματικῶς.

Στίχ. 12-14. «Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδ' οὐ μὴ ταραχθῆτε, Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σοι φόβος. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδ' ὡς πέτρας πτώματι».

Προαιτιασάμενος τοὺς ἐξ Ἰσραὴλ ὡς ἀπειθεῖν ἑλομένους τῇ πορείᾳ τοῦ λαοῦ, τοῦ ἐν Χριστῷ δῆλον ὅτι καὶ ταῖς τῶν ἁγίων ἀποστόλων μυσταγωγίαις, μεθίστησι πρὸς αὐτοὺς τὸν τῆς παρακλήσεως λόγον, καὶ ἄθραυστον αὐτοῖς ἐνεργάζεται νοῦν, μὴ δὴ χρῆναι λέγων δεδιέναι τοὺς ἀπειθοῦντας αὐτοῖς, μήτε μὴν ὅλως τὸν ἐκ τῆς ἐκείνων σκαιότητος εἰσδέχεσθαι θόρυβον, τεθαρρηκότας δὲ μᾶλλον ἐπὶ Θεῷ, κατανεανιεύεσθαι τῶν ἐχθρῶν· εὖ εἰδότας ὅτι καὶ ὅπλον αὐτοῖς ἔσται καὶ πύργος ἰσχύος, καὶ κατακρατήσουσιν εὐκόλως τῶν ἀνθεστηκότων. Ταύτῃτοί φησιν· «Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδὲ ταραχθῆτε». Εἰ δὲ δή τις βούλοιτο ταῖς τῶν προκειμένων ἐννοίαις ἰσχνὸν ἐνιέναι τὸν νοῦν καὶ καθ' ἕτερον αὐτὸ νοήσει τρόπον. Ἔστι δὲ οὗ-

Ἀπειθοῦν ὅμοια «καὶ στὴν πορεία τοῦ λαοῦ τούτου», τοῦ ὁποίου τὸ πρόσωπο ἀναλαμβάνοντας ἔλεγε ἀμέσως· «Ὁ Θεὸς εἶναι μαζί μας». Καὶ ποιὰ εἶναι ἡ πορεία τοῦ λαοῦ; Αὐτῶν ποὺ ἔχουν τὸν Ἐμμανουήλ, ἡ πίστη σ᾽ αὐτόν, ἡ εὐαγγελικὴ πολιτεία, καταργούμενης τῆς πολιτείας τοῦ νόμου καὶ τῆς σκιᾶς. «Ἀπειθοῦν στὴν πορεία τοῦ λαοῦ τούτου λέγοντας· Νὰ μὴ ποῦν ποτὲ ὅτι εἶναι σκληρὸ αὐτὸ ποὺ λέγει ὁ Κύριος. Γιατὶ σκληρὸ εἶναι ὁ,τιδήποτε πεῖ ὁ λαὸς αὐτός». Οἱ Ἰουδαῖοι δηλαδὴ νόμιζαν ὅτι εἶναι σκληρός κατὰ κάποιο τρόπο ὁ λόγος τῶν ἁγίων ἀποστόλων, γιατί, ἀναστέλλοντας στὸν καιρὸ ποὺ ἔπρεπε τὴ σκιά, δὲν ἄφηναν νὰ ζοῦν σύμφωνα μὲ τὸν Μωσαϊκὸ νόμο, ἀλλὰ μᾶλλον νὰ ζοῦν πνευματικὰ καὶ σύμφωνα μὲ τὸ Εὐαγγέλιο.

> Στίχ. 12-14. «Μὴ φοβηθεῖτε ἔτσι ὅπως φοβοῦνται οἱ Ἰουδαῖοι, οὔτε νὰ ταραχθεῖτε. Δοξάσατε τὸν Κύριο ὡς ἅγιο, κι αὐτὸς νὰ εἶναι ὁ δικός σας φόβος. Κι ἂν ἔχεις στηριγμένη τὴν πεποίθησή σου σ᾽ αὐτόν, θ᾽ ἀποβεῖ αὐτὸ πρὸς ἁγιασμό σου, καὶ δὲν θὰ τὸν συναντήσετε σὰν πέτρα προσκόμματος, οὔτε σὰν πέτρα πρὸς πτώση».

Ἀφοῦ κατηγόρησε προηγουμένως τοὺς Ἰσραηλῖτες ἐπειδὴ ἤθελαν νὰ ἀπειθοῦν στὴν πορεία τοῦ λαοῦ, τοῦ λαοῦ δηλαδὴ τοῦ Χριστοῦ, καὶ στὶς διδασκαλίες τῶν ἁγίων ἀποστόλων, μεταφέρει σ᾽ αὐτοὺς τὸ λόγο τῆς παρακλήσεως καὶ καθιστᾶ μέσα τους ἀδιασάλευτο τὸ νοῦ, λέγοντας ὅτι δὲν πρέπει νὰ φοβοῦνται ἐκείνους ποὺ ἀπειθοῦν σ᾽ αὐτούς, οὔτε νὰ δέχονται γενικὰ τὸ θόρυβο ποὺ προξενεῖται ἀπὸ τὴν κακότητα ἐκείνων, ἀλλὰ μᾶλλον στηρίζοντας τὸ θάρρος τους στὸν Θεό, νὰ κατανικοῦν μὲ ἀνδρεία τοὺς ἐχθρούς, γνωρίζοντας μὲ βεβαιότητα ὅτι θὰ τοὺς εἶναι καὶ ὅπλο καὶ πύργος ἰσχυρός, καὶ ὅτι θὰ νικήσουν εὔκολα ἐκείνους ποὺ τοὺς ἀντιστέκονται. Γι᾽ αὐτὸ λοιπὸν λέγει· «Νὰ μὴ φοβηθεῖτε ἐσεῖς ὅπως φοβοῦνται ἐκεῖνοι, οὔτε νὰ ταραχθεῖτε». Ἂν ὅμως θέλει κάποιος νὰ λεπτολογήσει τὸ νόημα τῶν ἐξεταζόμενων αὐτῶν λόγων, θὰ μπορέσει νὰ νοήσει αὐτὸ καὶ μὲ διαφορετικὸ τρόπο. Κι

τως. Ἰουδαῖοι μὲν γὰρ ἐδεδίεσαν οὐ μικρῶς μή ἄρα πως Θεῷ προσκρούσειαν, διωθούμενοι μὲν τῆς ἐν νόμῳ πολιτείας τὴν ὁδόν· προσιέμενοι δὲ τοῦ Σωτῆρος τὸν λόγον ἀφιστάντος τῶν τύπων καὶ παρ' οὐδὲν ἡγεῖσθαι προστάττοντος τὴν σκιάν. Καί γοῦν ἔφασκον περὶ αὐτοῦ· «Εἰ οὖν οὗτος ὁ ἄνθρωπος παρὰ Θεοῦ, οὐκ ἂν ἔλυε τὸ Σάββατον».

Ὅτι τοίνυν εἰ καὶ ἦσαν ἐξ Ἰουδαίων οἱ θεσπέσιοι μαθηταί, παραιτεῖσθαι χρῆν αὐτοὺς τὸν τῶν ἀπειθούντων φόβον, δεδιότων, ὡς ἔφην, προσκροῦσαι τῷ νόμῳ, διά γε τοῦ ζῆν ἑλέσθαι μᾶλλον εὐαγγελικῶς, παρεγγυᾷ λέγων· «Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδ' οὐ μὴ ταραχθῆτε»· ἁγιαζέσθω δὲ μᾶλλον, φησί, παρ' ὑμῶν ὁ τῆς δόξης Κύριος, τοῦτ' ἔστιν ὁ Χριστός, καὶ τιμάσθω τῇ πίστει, καὶ φοβερὸς ἔστω παρ' ὑμῖν. Ἔσται γὰρ οὕτως ὑμῖν ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδὲ ὡς πέτρας πτώματι. Δύο τίθησιν ἐν αὐτῷ μεγάλα καὶ ἐξαίρετα. Πρῶτον μὲν γάρ, ἁγιάσει, φησίν, ὑμᾶς τοὺς πιστεύοντας, καὶ μετόχους ἀποφανεῖ τῆς θείας αὐτοῦ φύσεως διὰ τοῦ ἁγίου Πνεύματος· κερδανεῖτε δὲ πρὸς τούτῳ, τὸ μήτε ὡς λίθῳ, μήτε μὴν ὡς πέτρᾳ σκανδάλου περιπεσεῖν, ὃ δὴ καὶ πεπόνθασιν οἱ τάλανες Ἰουδαῖοι διὰ πολλὴν ἄγαν ἀμαθίαν λέγοντες· «Ἡμεῖς οἴδαμεν ὅτι Μωσῆ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν». Οὐκοῦν ἐπειδήπερ οὔτε ἡγίασαν αὐτόν, οὔτε μὴν ἤθελον ἐπ' αὐτῷ πεποιθέναι, μεμενήκασι μὲν ἁγιασμοῦ παντελῶς ἀμέτοχοι, προσπταίσαντες δὲ ὡς λίθῳ πεπτώκασι, καὶ ἐν παντὶ γεγόνασι κακῷ.

Στίχ. 14-16. Ὁ δὲ οἶκος Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ· διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί, καὶ πεσοῦνται καὶ συντριβή-

38. Ἰω. 9, 16.

αὐτὸς εἶναι ὁ ἔξῆς· Οἱ Ἰουδαῖοι δηλαδὴ φοβοῦνταν ὄχι καὶ λίγο μήπως προσκρούσουν στὸν Θεό, ἀπωθώντας τὸν τρόπο τῆς σύμφωνης μὲ τὸ νόμο πολιτείας καὶ δεχόμενοι τὸν λόγο τοῦ Σωτήρα ποὺ ἀπομάκρυνε ἀπὸ τοὺς τύπους καὶ πρόσταζε νὰ θεωροῦν χωρὶς καμμιὰ ἀξία τὴ σκιά. Καὶ πράγματι ἔλεγαν γι' αὐτόν· «Ἂν λοιπὸν αὐτὸς ὁ ἄνθρωπος προερχόταν ἀπὸ τὸν Θεὸ δὲν θὰ καταργοῦσε τὸ Σάββατο»[38].

Ὅτι λοιπόν, ἂν καὶ προέρχονταν ἀπὸ τοὺς Ἰουδαίους οἱ θεσπέσιοι μαθητὲς ἔπρεπε ν' ἀδιαφοροῦν γιὰ τὸ φόβο ἐκείνων ποὺ δὲν ἔδειχναν ὑπακοή, ἐπειδὴ φοβοῦνταν μήπως προσκρούσουν, ὅπως εἶπα, στὸ νομὸ μὲ τὸ νὰ θελήσουν νὰ ζοῦν μᾶλλον σύμφωνα μὲ τὸ εὐαγγέλιο, τοὺς παροτρύνει λέγοντας· «Μὴ φοβηθεῖτε ὅπως φοβοῦνται αὐτοί, οὔτε νὰ ταραχθεῖτε», ἀλλὰ μᾶλλον νὰ τιμᾶται σὰν ἅγιος, λέγει, ὁ Κύριος τῆς δόξας, δηλαδὴ ὁ Χριστός, καὶ νὰ τιμᾶται μὲ τὴν πίστη καὶ θὰ εἶναι φοβερὸς κοντὰ σας. Γιατὶ ἔτσι θὰ εἶναι γιὰ σᾶς ἁγιασμὸς καὶ δὲν θὰ τὸν συναντήσετε σὰν πέτρα προσκόμματος, οὔτε σὰν πέτρα ποὺ συντελεῖ πρὸς πτώση. Μὲ αὐτὸ θέτει δύο μεγάλα καὶ ἐξαίρετα θέματα. Πρῶτον, λέγει ὅτι θὰ ἁγιάσει ἐσᾶς ποὺ πιστεύετε καὶ θὰ σᾶς ἀναδείξει μετόχους τῆς θείας φύσεώς του μέσω τοῦ ἁγίου Πνεύματος, καὶ μαζὶ μ' αὐτὸ θὰ κερδίσετε τὸ ὅτι δὲν θὰ πέσετε οὔτε σὲ λίθο οὔτε σὲ πέτρα σκανδάλου, πρᾶγμα βέβαια ποὺ ἔπαθαν οἱ δυστυχεῖς Ἰουδαῖοι ἀπὸ ὑπερβολικὴ ἀμάθεια, λέγοντας· «Ἐμεῖς γνωρίζομε ὅτι ὁ Θεὸς μίλησε στὸν Μωυσῆ, αὐτὸς ἐδῶ ὅμως δὲν γνωρίζομε ἀπὸ ποῦ προέρχεται»[39]. Ἐπειδὴ λοιπὸν οὔτε ὡς ἅγιο τὸν τίμησαν, οὔτε ἤθελαν νὰ στηρίξουν σ' αὐτὸν τὴν πεποίθησή τους, ἔμειναν ἐντελῶς ἀμέτοχοι ἀπὸ τὸν ἁγιασμό του, κι ἀφοῦ προσέκρουσαν σὰν σὲ λιθάρι ἔπεσαν καὶ δοκίμασαν κάθε κακό.

Στίχ. 14-16. «Οἱ ἀπόγονοι τοῦ Ἰακὼβ θὰ πέσουν σὲ παγίδα καὶ οἱ κάτοικοι τῆς Ἱερουσαλὴμ θὰ βρεθοῦν μέσαι σὲ λάκκους. Γι' αὐτὸ πολλοὶ ἀπ' αὐτοὺς θὰ χάσουν τὴ δύναμή τους

39. Ἰω. 9, 29.

σονται καὶ ἐγγιοῦσιν καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν».

Ὁ σοφὸς ἔφη Παροιμιαστής· «Υἱέ, μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλούς, ἀλλ' ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν». Πρέποι γὰρ ἂν τούς γε ἀληθῶς ἀρτίφρονας μὴ τῆς τῶν φαύλων σκαιότητος, ἀλλὰ τῆς τῶν ἀγαθῶν ἐπιεικείας γενέσθαι μιμητάς. Οὐκοῦν ἐπειδήπερ τοῖς ἁγίοις συνεβούλευε μαθηταῖς, ἁγίασμα μὲν ποιεῖσθαι Χριστόν, πεποιθέναι δὲ μᾶλλον ἐπ' αὐτῷ καὶ τὰς τῶν διωκόντων ἀπονοίας ἡγεῖσθαι μηδέν, προσεπήγαγεν ἀναγκαίως ὅσα τε καὶ οἷα τοῖς ἀπειθεῖν ᾑρημένοις συμβήσεται βλάβη. Ὁ γὰρ οἶκος, φησί, τοῦ Ἰακώβ, τοῦτ' ἔστιν, Ἰουδαῖοι, πλείστην τε ὅσην καὶ ἀκατάληκτον τὴν κατὰ Χριστοῦ νοσοῦντες ἀπόνοιαν, ἔσονται προσεοικότες τοῖς ἐν παγίδι γεγονόσιν καὶ τεθηρευμένοις εἰς ὄλεθρον, ἢ καὶ τοῖς ἐν κοιλάσμασι, τοῦτ' ἔστι τοῖς εἰς βόθρον ὠλισθηκόσιν, ταύτης τε ἕνεκα τῆς αἰτίας ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί, καὶ πεσοῦνται καὶ συντριβήσονται καὶ ἐγγιοῦσιν, τοῦτ' ἔστιν ἐγγὺς ἔσονται καὶ οὐ μακρὰν τοῦ κατασίνεσθαι πεφυκότος. Ἔσονται γὰρ ἀνίσχυες καὶ συντετριμμένοι καὶ τοῖς πολεμοῦσιν ἁλώσιμοι. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς προφήτου περὶ αὐτῶν εἰρημένον ὑπὸ Θεοῦ. «Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτοῖς πατέρες καὶ υἱοὶ ἅμα· γείτων καὶ πλησίον αὐτοῦ ἀπολοῦνται», καίτοι τῶν ἐν Χριστῷ κεκλημένων εἰς ἁγιασμὸν οὐχ ὧδε ἐχόντων. «Ἰσχὺς γὰρ αὐτῶν καὶ ὕμνησις ὁ Κύριος», κατὰ τὸ γεγραμμένον. Καὶ πιστώσεται λέγων ὁ θεσπέσιος Παῦλος· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ».

---

40. Παροιμ. 23, 17.
41. Ἱερ. 6, 21.
41α. Ψαλμ. 117, 14.
42. Φιλ. 4, 13.

καὶ θὰ πέσουν καὶ θὰ συντριβοῦν, καὶ οἱ ἐχθροὶ θὰ τοὺς πλησιάσουν καὶ θὰ συλληφθοῦν ἄνθρωποι ποὺ ἦταν ἀσφαλεῖς. Τότε θὰ γίνουν φανεροὶ αὐτοὶ ποὺ σφραγίζουν τὸ νόμο γιὰ νὰ μὴν τὸν μάθουν».

Ὁ σοφὸς παρομοιαστὴς εἶπε· «Υἱέ μου, νὰ μὴ ζηλεύει ἡ ψυχή σου τοὺς ἁμαρτωλούς, ἀλλ᾽ ὅλη τὴν ἡμέρα νὰ ζεῖς μὲ τὸν φόβο τοῦ Κυρίου»[40]. Γιατὶ πρέπει οἱ ἀληθινὰ λογικοὶ νὰ γίνουν μιμητὲς ὄχι τῆς κακότητας τῶν φαύλων, ἀλλὰ τῆς ἀγαθότητας τῶν ἀγαθῶν. Ἐπειδὴ λοιπὸν συμβούλευε τοὺς ἁγίους μαθητές του νὰ τιμοῦν ὡς ἅγιο τὸν Χριστὸ καὶ νὰ στηρίζουν τὴν πεποίθησή τους σ᾽ αὐτὸν μᾶλλον, καὶ τὶς ἀνοησίες τῶν διωκτῶν τους νὰ τὶς θεωροῦν τελείως ἀσήμαντες, πρόσθεσε κατ᾽ ἀνάγκη πόσες καὶ τί λογῆς βλάβες θὰ πάθουν ὅσοι ἐπέλεξαν νὰ μὴ δείχνουν ὑπακοή. Γιατὶ λέγει, «ὁ οἶκος τοῦ Ἰακώβ», δηλαδὴ οἱ Ἰουδαῖοι, πάσχοντας μὲ τὴν πάρα πολὺ μεγάλη καὶ χωρὶς τέλος νόσο τῆς παραφροσύνης κατὰ τοῦ Χριστοῦ, θὰ καταστοῦν ὅμοιοι μὲ ἐκείνους ποὺ ἔχουν πιασθεῖ στὴν παγίδα κι ἔγιναν θηράματα ποὺ θὰ καταλήξουν στὸ θάνατο, ἢ καὶ μ᾽ ἐκείνους ποὺ εἶναι πεσμένοι σὲ λάκκους, δηλαδὴ ποὺ γλίστρησαν μέσα στὸ βόθρο, καὶ γι᾽ αὐτὴν τὴν αἰτία πολλοὶ ἀπὸ αὐτοὺς δὲν θὰ ἔχουν τὴ δύναμη, ἀλλὰ θὰ πέσουν καὶ θὰ συντριβοῦν καὶ θὰ προσεγγίσουν, δηλαδὴ θὰ βρεθοῦν κοντὰ καὶ ὄχι μακριὰ ἀπὸ ἐκεῖνον ποὺ ἀπὸ τὴ φύση του καταβροχθίζει. Γιατὶ θὰ καταστοῦν ἀδύναμοι καὶ συντριμμένοι καὶ εὐάλωτοι ἀπὸ τοὺς ἀντιπάλους τους. Κι αὐτὸ ἀκριβῶς εἶναι ἐκεῖνο ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸν Θεὸ γι᾽ αὐτοὺς μέσω τοῦ στόματος τοῦ προφήτη· «Νά, ἐγὼ στέλνω ἀσθένεια σ᾽ αὐτὸν τὸ λαό, καὶ θὰ ἐξασθενήσουν πατέρες καὶ παιδιὰ συγχρόνως, καὶ ὁ γείτονας καὶ ὁ πλησίον του θὰ χαθοῦν»[41], ὅσοι ὅμως ἔχουν κληθεῖ ἀπὸ τὸν Χριστὸ γιὰ ἁγιασμὸ δὲν βρίσκονται σ᾽ αὐτὴ τὴν κατάσταση. Γιατί, σύμφωνα μ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ, «Δύναμη καὶ δοξολογία τους εἶναι ὁ Κύριος»[41α]. Καὶ θὰ τὸ ἐπιβεβαιώσει ὁ θεσπέσιος Παῦλος λέγοντας· «Μπορῶ νὰ κάνω τὰ πάντα μὲ τὸν Χριστὸ ποὺ μὲ ἐνδυναμώνει»[42].

Ἁλώσονται τοίνυν οἱ ἀπιστοῦντες, φησίν, ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες. Ὅσον μὲν γὰρ ἦκεν εἰς τὴν ἄνωθεν ἐπικουρίαν τὴν ὑπάρξασαν ἀεὶ τοῖς ἐξ Ἰσραήλ, ἀνάλωτοί τινες ἦσαν καὶ δυσκαταμάχητοι τοῖς ἐχθροῖς, ὁρατοῖς τε καὶ ἀόρατοις. Ἔφη γάρ που Θεὸς περὶ τῆς Ἱερουσαλήμ· «Καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς». Ἐπειδὴ δὲ προσκεκρούκασιν ἐμπαροινοῦντες Χριστῷ, πάσης ἀσφαλείας ἔρημοι, νοητῆς τε καὶ αἰσθητῆς διατελοῦσιν ἐν κόσμῳ. Μεταπεφοίτηκε γὰρ εἰς ἑτέρους, τοῦτ' ἔστι, τοὺς ἐξ ἐθνῶν ἡ τοῦ σώζοντος χάρις. «Ἔσονται δὲ τότε», φησίν, «φανεροὶ οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν». Καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; Οἱ ἐν Χριστῷ δηλονότι δεδικαιωμένοι τε καὶ ἡγιασμένοι διὰ τοῦ Πνεύματος, οἷς ἂν ἁρμόσειεν εἰπεῖν· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε». Εἰκὼν μὲν γὰρ καὶ ὁμοίωσις καὶ οἱονεὶ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός. Φῶς δὲ τὸ ἐξ αὐτοῦ πεμπόμενον εἰς ἡμᾶς τὸ Πνεῦμα τὸ ἅγιον, δι' οὗ κατεσφραγίσμεθα πρὸς εἰκόνα τὴν πρώτην ἀναμορφούμενοι δι' ἁγιασμοῦ. Πεποιήμεθα γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ κτίσαντος Θεοῦ. Ἔσονται τοίνυν φανεροί, φησί, τοῦτ' ἔστιν, ἐπίσημοι καὶ Θεῷ γνωριμώτατοι καὶ διαπρεπεῖς ἐν κόσμῳ, οἱ τῷ ἁγίῳ κατασφραγιζόμενοι Πνεύματι, τοῦ μὴ μαθεῖν τὸν νόμον.

Ἆρ' οὖν ἀφεξόμεθα τῶν νομικῶν ἀναγνωσμάτων; Καίτοι πῶς οὐκ ἀμαθὲς τὸ ὧδε νοεῖν, Χριστοῦ λέγοντος ἐναργῶς, «Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά». Οὐκοῦν οὐ παραιτούμεθα μὲν τὸ εἰδέναι τὸν νόμον· τό γε μὴν οὕτως εἰδέναι, φευκτόν, ὥστε καὶ ζῆν ἐλέ-

43. Ζαχ. 2, 9.
44. Ψαλμ. 4, 7.
45. Ματθ. 13, 52.

Θὰ συλληφθοῦν λοιπόν, λέγει, ὅσοι δὲν πιστεύουν, ἄνθρωποι ποὺ βρίσκονταν σὲ ἀσφάλεια. Ὅσον ἀφορᾶ τὴν οὐράνια βοήθεια ποὺ ὑπῆρξε πάντοτε στοὺς Ἰσραηλίτες, ὁρισμένοι ἦταν ἀκατανίκητοι καὶ δυσκολομάχητοι γιὰ τοὺς ἐχθρούς, ὁρατοὺς καὶ ἀόρατους. Γιατὶ εἶπε κάπου ὁ Θεὸς γιὰ τὴν Ἱερουσαλήμ· «Καὶ ἐγὼ θὰ εἶμαι γι᾽ αὐτήν, λέγει ὁ Κύριος, ὡς τεῖχος φωτιᾶς ὁλόγυρά της, καὶ δόξα στὸ μέσον αὐτῆς»[43]. Ἐπειδὴ ὅμως προσέκρουσαν σ᾽ αὐτὸν ἐξαιτίας τῆς παραφροσύνης τους πρὸς τὸν Χριστό, ζοῦν μέσα στὸν κόσμο στερούμενοι κάθε ἀσφάλεια, νοητὴ καὶ αἰσθητή. Γιατὶ ἡ χάρη τοῦ Σωτήρα μεταφέρθηκε σὲ ἄλλους, δηλαδὴ στοὺς προερχόμενους ἀπὸ τοὺς ἐθνικοὺς πιστούς. «Καὶ τότε», λέγει, «θὰ γίνουν φανεροὶ αὐτοὶ ποὺ σφραγίζουν τὸ νόμο γιὰ νὰ μὴ τὸν μάθουν». Κι αὐτοὶ πάλι ποιοὶ θὰ μποροῦσαν νὰ εἶναι; Εἶναι φανερὸ πὼς εἶναι αὐτοὶ ποὺ ἔχουν δικαιωθεῖ καὶ ἁγιασθεῖ ἀπὸ τὸ ἅγιο Πνεῦμα, γιὰ τοὺς ὁποίους ἁρμόζει νὰ ποῦμε «Σημειώθηκε ἐπάνω μας, Κύριε, τὸ φῶς τοῦ προσώπου σου»[44]. Γιατὶ εἰκόνα καὶ ὁμοίωση καὶ κατὰ κάποιο τρόπο πρόσωπο τοῦ Θεοῦ καὶ Πατέρα εἶναι ὁ Υἱός. Φῶς πάλι ποὺ ἐκπέμπεται ἀπὸ αὐτὸν σ᾽ ἐμᾶς εἶναι τὸ ἅγιο Πνεῦμα, μὲ τὸ ὁποῖο ἔχομε κατασφραγισθεῖ, ἀναμορφούμενοι μὲ τὸν ἁγιασμὸ στὴν πρώτη εἰκόνα. Γιατὶ ἔχομε πλασθεῖ κατ᾽ εἰκόνα καὶ ὁμοίωση τοῦ Θεοῦ ποὺ μᾶς ἔπλασε. Θὰ γίνουν λοιπὸν φανεροί, λέγει, δηλαδὴ ἐπίσημοι καὶ πολὺ γνώριμοι τοῦ Θεοῦ καὶ διαπρεπεῖς στὸν κόσμο, αὐτοὶ ποὺ κατασφραγίζονται ἀπὸ τὸ ἅγιο Πνεῦμα, γιὰ νὰ μὴ μάθουν τὸ νόμο.

Ἄρα λοιπὸν θὰ ἀπομακρυνθοῦμε ἀπὸ τὰ ἀναγνώσματα τοῦ νόμου; Καὶ πῶς δὲν εἶναι ἀμάθεια τὸ νὰ σκεπτόμαστε ἔτσι τὴ στιγμὴ ποὺ ὁ Χριστὸς λέγει ὁλοκάθαρα, «Γι᾽ αὐτὸ σᾶς λέγω, ὅτι κάθε γραμματέας ποὺ ἔχει διδαχθεῖ γιὰ τὴ βασιλεία τῶν οὐρανῶν, εἶναι ὅμοιος μὲ ἄνθρωπο πλούσιο ποὺ βγάζει ἀπὸ τὸ θησαυρό του καινουργια καὶ παλαιά»[45]. Δὲν ἀρνούμαστε λοιπὸν νὰ γνωρίσομε τὸ νόμο, ἀλλὰ πρέπει ν᾽ ἀποφύγομε νὰ τὸν γνωρίσομε μ᾽ αὐτὸν τὸν τρόπο, ὥστε νὰ θέλομε καὶ νὰ ζοῦμε σύμφωνα μὲ τὸ νόμο, δηλαδὴ

σθαι νομικῶς, ἤγουν Ἰουδαϊκῶς. Οὐ γάρ τοι βοῦς ἱερεύσομεν, οὔτε μὴν ταῖς δι' αἱμάτων θυσίαις τιμήσομεν τὸν τῶν ὅλων Θεόν, πνευματικὴν δὲ μᾶλλον προσκομιοῦμεν αὐτῷ λατρείαν εἰς ὀσμὴν εὐωδίας. Ὡς γάρ φησιν ὁ Σωτήρ· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν». Ὅτι δὲ τοῖς τῷ ἁγίῳ Πνεύματι κατεσφραγισμένοις εἰς καινότητα ζωῆς, ζημία πολλὴ τὸ θέλειν ἔτι πολιτεύεσθαί τε καὶ ζῆν Ἰουδαϊκῶς, ἤτοι κατὰ τὴν τοῦ νόμου σκιάν, πιστώσεται λέγων ὁ μακάριος Παῦλος τοῖς μετὰ τὴν πίστιν ἀνόπιν ὥσπερ ἰοῦσιν εἰς λατρείαν τὴν ἐν σκιαῖς· «Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;». Καὶ πάλιν· «Λέγω δὲ ὑμῖν ὅτι, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Ἀπηλλοτριώθητε ἀπὸ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. Ἡμεῖς γὰρ διὰ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα».

Στίχ. 17. «Καὶ ἐρεῖ· Μενῶ τὸν Θεὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ».

Ὅτι πολὺ πρόσεστι τοῖς ἐν Χριστῷ τὸ εὐήνιον, καὶ διὰ τούτων ἡμᾶς ὁ προφήτης πειρᾶται πληροφορεῖν. Προσεπεφώνει μὲν γὰρ αὐτοῖς ὁ τῶν ὅλων Θεὸς περὶ τοῦ Ἐμμανουήλ· Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα. Οἱ δὲ καὶ λίαν ἀσμένως τὸν τῆς εἰς τοῦτο μυσταγωγίας προσηκάμενοι λόγον, μελλησμοῦ δίχα παντὸς ὑπισχνοῦνταί τε τὸ εὐπειθές, καὶ πᾶσαν ἐπ' αὐτῷ θέμενοι τὴν ἐλπίδα φασί· «Μενῶ τὸν Θεόν, τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ». Καὶ τί τὸ «μενῶ» σημαίνειεν ἄν, ἢ ἐκεῖνό που πάντως, ὃ καὶ ὁ θεσπέσιος ἔφη Δαβίδ, «Ὑπομένων ὑπέμεινα τὸν

---

46. Ἰω. 4, 24. 47. Γαλ. 3, 3.

Ἰουδαϊκά. Δὲν θὰ θυσιάσομε δηλαδὴ βόδια, οὔτε θὰ τιμήσομε τὸ Θεὸ τῶν ὅλων μὲ θυσίες αἱμάτων, ἀλλὰ μᾶλλον θὰ προσφέρομε σ᾽ αὐτὸν λατρεία πνευματικὴ ὡς ὀσμὴ εὐωδίας. Γιατί ,ὅπως λέγει ὁ Σωτήρας, «Ὁ Θεὸς εἶναι Πνεῦμα, καὶ αὐτοὶ ποὺ τὸν προσκυνοῦν πρέπει νὰ τὸν προσκυνοῦν πνευματικὰ καὶ ἀληθινά»[46]. Ὅτι ὅμως γι᾽ αὐτοὺς ποὺ ἔχουν κατασφραγισθεῖ μὲ τὸ ἅγιο Πνεῦμα πρὸς ζωὴ νέα εἶναι μεγάλη ζημία τὸ νὰ θέλουν νὰ ζοῦν ἀκόμα μὲ τὸν τρόπο τῶν Ἰουδαίων, δηλαδὴ σύμφωνα μὲ τὴ σκιὰ τοῦ νόμου, θὰ τὸ ἐπιβεβαιώσει ὁ μακάριος Παῦλος λέγοντας πρὸς ἐκείνους ποὺ μετὰ τὴν πίστη ἐπιστρέφουν κατὰ κάποιο τρόπο στὴ λατρεία τὴν ὁριζόμενη ἀπὸ τὶς σκιές· «Ἐνῶ ἀρχίσατε μὲ τὸ Πνεῦμα, τώρα καταγίνεσθε μὲ τὰ ἀναφερόμενα στὴ σάρκα;»[47]. Καὶ πάλι· «Σᾶς λέγω ὅτι, ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήσει καθόλου. Ἀποξενωθήκατε ἀπὸ τὸν Χριστό· ὅσοι ζεῖτε σύμφωνα μὲ τὸ νόμο, ἐκπέσατε ἀπὸ τὴ χάρη. Ἐνῶ ἐμεῖς σύμφωνα μὲ τὴν πίστη μας περιμένομε μὲ ἐλπίδα ὅτι θὰ δικαιωθοῦμε»[48].

Στίχ. 17. «Καὶ θὰ πεῖ· Θὰ περιμένω τὸν Θεὸ ποὺ ἀπέστρεψε τὸ πρόσωπό του ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἰακὼβ καὶ θὰ ἔχω στηριγμένη τὴν πεποίθησή μου σ᾽ αὐτόν».

Ὅτι ταιριάζει πολὺ στοὺς πιστοὺς τοῦ Χριστοῦ ἡ ὑπακοή, καὶ μὲ αὐτὰ προσπαθεῖ ὁ προφήτης νὰ μᾶς τὸ ἐπιβεβαιώσει. Γιατὶ ἔλεγε πρὸς αὐτοὺς ὁ Θεὸς τῶν ὅλων γιὰ τὸν Ἐμμανουήλ· «Θὰ τὸν τιμήσετε ὡς Κύριο ἅγιο, καὶ αὐτὸς θὰ εἶναι ὁ φόβος σου. Κι ἂν ἔχεις στηριγμένη τὴν πεποίθησή σου σ᾽ αὐτόν, αὐτὸς θὰ εἶναι ὁ ἁγιασμός σου». Καὶ αὐτοὶ μὲ πολλὴ χαρά, ἀφοῦ δέχθηκαν τὸ λόγο τῆς διδασκαλίας γι᾽ αὐτό, χωρὶς καμμιὰ καθυστέρηση ὑπόσχονται ὑπακοή, καὶ στηρίζοντας σ᾽ αὐτὸν ὅλη τὴν ἐλπίδα τους, λένε· «Θὰ περιμένω τὸν Θεό, ποὺ ἀπέστρεψε τὸ πρόσωπό του ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἰακώβ, καὶ θὰ στηρίξω τὴν πεποίθησή μου σ᾽ αὐτόν». Καὶ τί μπορεῖ νὰ σημαίνει τὸ «μενῶ», παρὰ ἐκεῖνο ὁπωσδήποτε ποὺ εἶπε καὶ ὁ θεσπέσιος Δαβίδ, «Περίμενα μὲ

48. Γαλ. 5,2,4,5.

Κύριον, καὶ προσέσχε μοι»; Ὑπομένει δὲ τὸν Κύριον, ὁ τὰ αὐτῷ δοκοῦντα φρονεῖν ᾑρημένος καὶ τοῖς αὐτοῦ νεύμασι κατακολουθῶν, ἤδιστά τε λίαν τοὺς ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας ὑπομένων ἀγῶνας Πρὸς γάρ τοι τοῦτο αὐτοὺς διὰ τῆς τοῦ ψάλλοντος φωνῆς παροτρύνει τὸ Πνεῦμα λέγον· «Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον». «Ὑπομενῶ τοίνυν», φησί, «τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ».

Ἄθρει δὴ οὖν, ἄθρει πρὸς ταῖς εὐπειθείαις πόσον ἔχουσι τὸ νουνεχές Ἐξ ὧν γὰρ ἕτεροι προσκεκρούκασι, καὶ δὴ καὶ πεπόνθασι τοῦ θείου προσώπου τὴν ἀποστροφήν, διὰ τούτων αὐτῶν ἀσφαλεστέρας ἐργάζονται τὰς ἑαυτῶν καρδίας πρὸς τὴν εἰς τὰ ἀμείνω ῥοπήν. Δεδίασι γὰρ τῶν θείων ὀμμάτων τὴν ἀποστροφήν. Ἀπροσωπόληπτος γὰρ ὁ κριτής, καὶ οὐκ ἂν ἐνδοιάσειέ τις ὅτι πάντῃ τε καὶ πάντως τοῖς ἑκάστου τρόποις πρεπόντως τε καὶ εἰκότως ἢ χαριεῖται τὸν ἔπαινον, ἤγουν ἐποίσει τὴν δίκην, καὶ τοὺς μὲν ταῖς ἀπειθείαις ἐξυβρικότας ἔξω τε προσώπου ποιήσεται καὶ ἡγήσεται στυγητούς, τούς γε μὴν τῇ πίστει τετιμηκότας ἡγήσεται μὲν ὡς ἀγαπητοὺς τηροῦντας τὴν πίστιν, ἀποστραφήσεται δὲ μεθέντας τὸ γνήσιον καὶ ἐν ἴσῳ ἡγήσεται τοῖς μηδ' ὅλως πεπιστευκόσιν, ἢ τάχα που καὶ ἐν χείροσι. Γέγραπται γὰρ περί τινων· «Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι ἀπὸ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς».

Στίχ. 18. «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός, καὶ ἔσται εἰς σημεῖα, καὶ εἰς τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ, ὃς κατοικεῖ ἐν ὄρει Σιών».

---

49. Ψαλμ. 39, 1.
50. Ψαλμ. 26, 14.
51. Β' Πέτρ. 2, 21.

πολλὴ ὑπομονὴ τὸν Κύριο, καὶ μὲ πρόσεξε»[49]; Περιμένει μὲ ὑπομονὴ τὸν Κύριο αὐτὸς ποὺ ἔχει ἐπιλέξει νὰ πιστεύει στὸ θέλημά του καὶ ἀκολουθώντας μὲ πολλὴ εὐχαρίστηση τὶς ἐντολές του, ὑπομένει μὲ πολὺ εὐχαρίστηση τοὺς ἀγῶνες τῆς εὐσέβειας πρὸς αὐτόν. Πρὸς αὐτὸ βέβαια τοὺς παροτρύνει τὸ Πνεῦμα μὲ τὴ φωνὴ τοῦ Ψαλμωδοῦ λέγοντας· «Δεῖξε ἀνδρεία καὶ δυνάμωσε τὴν καρδιά σου, καὶ περίμενε μὲ ὑπομονὴ τὸν Κύριο»[50]. «Θὰ περιμένω λοιπόν», λέγει, «τὸν Θεὸ ποὺ ἀπέστρεψε τὸ πρόσωπό του ἀπὸ τὸν οἶκο τοῦ Ἰακώβ».

Πρόσεχε λοιπόν, πρόσεχε μαζὶ μὲ τὴν ὑπακοὴ πόση σύνεση ἔχουν. Ἀπὸ ἐκεῖνα δηλαδὴ ποὺ οἱ ἄλλοι προσέκρουσαν στὸν Θεὸ καὶ μάλιστα δέχθηκαν καὶ τὴν ἀποστροφὴ τοῦ θείου προσώπου, μὲ αὐτὰ ἀκριβῶς κάνουν ἀσφαλέστερες τὶς καρδιές τους πρὸς τὴ ροπὴ στὰ ἀγαθά. Γιατὶ φοβοῦνται τὴν ἀποστροφὴ ἀπὸ αὐτοὺς τῶν θείων βλεμμάτων. Ὁ κριτὴς δὲν εἶναι προσωπολήπτης καὶ δὲν θὰ μποροῦσε ν' ἀμφιβάλει κανείς, ὅτι ὁπωσδήποτε καὶ μὲ κάθε βεβαιότητα κατὰ τρόπο πρέποντα καὶ δίκαιο ἀνάλογα μὲ τὴ συμπεριφορὰ τοῦ καθενὸς ἢ θὰ χαρίσει τὸν ἔπαινο, ἢ θὰ ἐπιφέρει τὴν τιμωρία, καὶ ἐκείνους βέβαια ποὺ τὸν περιφρόνησαν μὲ τὴν ἀνυπακοή τους θὰ τοὺς ἀφήσει ἔξω ἀπὸ τὸ βλέμμα του καὶ θὰ τοὺς θεωρεῖ μισητούς, ἐνῶ τοὺς ἄλλους ποὺ τὸν ἔχουν τιμήσει μὲ τὴν πίστη τους, θὰ τοὺς θεωρήσει ἀγαπητοὺς ἐφόσον θὰ τηροῦν τὴν πίστη, θὰ τοὺς ἀποστραφεῖ ὅμως ἂν ἐγκαταλείψουν τὸ γνήσιο καὶ θὰ τοὺς θεωρήσει ἴσους μὲ ἐκείνους ποὺ δὲν πίστεψαν καθόλου ἢ ἴσως καὶ χειρότερους. Γιατὶ ἔχει γραφεῖ γιὰ κάποιους· «Ἦταν προτιμότερο γι' αὐτοὺς νὰ μὴν εἶχαν γνωρίσει τὴν ὁδὸ τῆς ἀλήθειας, παρὰ, ἀφοῦ τὴ γνώρισαν, νὰ ἐπιστρέψουν πίσω ἀπὸ τὴν ἁγία ἐντολὴ ποὺ τοὺς ἔχει παραδοθεῖ»[51].

Στίχ. 18. «Νά, ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός, ποὺ προαναγγέλλουν σημεῖα καὶ τέρατα μέσα στὸν οἶκο τοῦ Ἰσραὴλ ἐκ μέρους τοῦ Κυρίου τῶν δυνάμεων, ὁ ὁποῖος κατοικεῖ στὸ ὄρος τῆς Σιών».

Τὴν καλὴν ὁμολογίαν εὖ μάλα διῃρηκότων (ἔφασαν γάρ· «Μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ»), παραχρῆμα τὸ αὐτοῦ πρόσωπον εἰσφέρει τοῦ Ἐμμανουήλ, τοῖς ἐπ' αὐτῷ τὴν ἐλπίδα θεμένοις χαριζομένου τὴν οἰκειότητα, δῆλον δὲ ὅτι τὴν διὰ τοῦ Πνεύματος. Ἐνῆκε γὰρ ἡμῖν ὁ Υἱὸς τὸ ἴδιον Πνεῦμα καὶ οἰκεῖοι γεγόναμεν αὐτοῦ καὶ ἐν αὐτῷ κράζομεν, «Ἄββα ὁ Πατήρ». Ὀνομάζει τοίνυν ἡμᾶς παιδία τοῦ Πατρός, ὡς τὴν διὰ Πνεύματος ἔχοντας ἀναγέννησιν, ἵνα καὶ ἀδελφοὶ χρηματίσωμεν τοῦ κατὰ φύσιν ἀληθῶς Υἱοῦ. Ἔφη γὰρ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου». Πλὴν εἰ καὶ γέγονεν ἀδελφὸς καὶ κεχρημάτικεν ἡμῶν πρωτότοκος διὰ τὸ ἀνθρώπινον, καίτοι Θεὸς ὑπάρχων καὶ Υἱὸς μονογενής, ἀλλ' οὐκ ἠγνοήκαμεν αὐτοῦ τὴν δόξαν καὶ τὴν κατὰ πάσης κτίσεως ὑπεροχήν. Ἴσμεν δὲ ὅτι δεδόμεθα αὐτῷ παρὰ Θεοῦ καὶ Πατρός. Καὶ τοῦτο αὐτὸς εὑρίσκεται λέγων πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· «Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς ἔδωκας». Κύριος μὲν γὰρ τῶν ὅλων ἐστὶ κατὰ φύσιν ὁ Υἱός, καὶ συγκατάρχει παντὸς γενητοῦ τῷ Θεῷ καὶ Πατρί. Ἐπειδὴ καὶ γέγονεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ θεόσδοτα καὶ εἰσκεκριμένα λέγεται λαβεῖν, ὧν ὑπῆρχε κύριος ὡς Θεός· «Αἴτησαι» γάρ, φησί, «παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς».

Ἐπιγάννυται τοίνυν τοῖς ἐπ' αὐτῷ πεποιθόσιν, τοῦτ' ἔστι τοῖς κεκλημένοις εἰς ἐπίγνωσιν ἀληθείας διὰ τῆς πίστεως, μόνον δὲ οὐχὶ καὶ χεῖρα προτείνων καταδείκνυσι, λέγων· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός». Τίς οὖν ταῦτα λέγων; ὁ Ἐμμανουὴλ δηλονότι, ὃς ἔσται, φησίν,

52. Ἰω. 17, 6.
53. Ψαλμ. 2, 8.

Ἀφοῦ πολὺ καλὰ διατύπωσαν τὴν καλὴ ὁμολογία (γιατὶ εἶπαν, «Θὰ περιμένω τὸν Θεὸ ποὺ ἀπέστρεψε τὸ πρόσωπό του ἀπὸ τὸν οἶκο τοῦ Ἰακὼβ καὶ θὰ στηρίξω τὴν πεποίθησή μου σ' αὐτόν»), ἀμέσως εἰσάγει τὸ πρόσωπο τοῦ Ἐμμανουήλ, ποὺ χαρίζει τὴν οἰκειότητα σὲ ἐκείνους ποὺ στήριξαν τὴν ἐλπίδα τους σ' αὐτόν, δηλαδὴ τὴ χαριζόμενη μέσω τοῦ Πνεύματος. Γιατὶ ἔβαλε μέσα μας ὁ Υἱὸς τὸ ἴδιο του τὸ Πνεῦμα καὶ γίναμε οἰκεῖοι του καὶ πρὸς αὐτὸν κραυγάζομε, «Ἀββᾶ, Πατέρα μας». Μᾶς ὀνομάζει λοιπὸν παιδιὰ τοῦ Πατέρα του, ἐπειδὴ ἔχομε τὴν ἀναγέννησή μας μέσω τοῦ Πνεύματος, γιὰ νὰ γίνομε καὶ ἀδελφοὶ τοῦ ἀπὸ τὴ φύση του ἀληθινοῦ Υἱοῦ. Γιατὶ εἶπε μὲ τὴ φωνὴ τοῦ Ψαλμωδοῦ· «Θὰ καταστήσω γνωστὸ τὸ ὄνομά σου στοὺς ἀδελφούς μου». Πλὴν ὅμως, ἂν καὶ ἔγινε ἀδελφὸς καὶ χρημάτισε πρωτότοκος ἀνάμεσά μας ἐξαιτίας τῆς ἀνθρώπινης φύσης του, μολονότι ἦταν Θεὸς καὶ Υἱὸς μονογενής, ὅμως δὲν ἀγνοήσαμε τὴ δόξα του καὶ τὴν ὑπεροχή του ἔναντι ὅλης τῆς κτίσης. Γνωρίζομε ἐπίσης ὅτι δοθήκαμε σ' αὐτὸν ἀπὸ τὸ Θεὸ καὶ Πατέρα. Κι αὐτὸ τὸ λέγει ὁ ἴδιος πρὸς τὸν οὐράνιο Πατέρα του καὶ Θεό· «Αὐτοὺς ποὺ μοῦ ἔδωσες ἀπὸ τὸν κόσμο ἦταν δικοί σου καὶ τοὺς ἔδωσες σ' ἐμένα»[52]. Γιατὶ Κύριος ὅλων εἶναι ἀπὸ τὴ φύση του ὁ Υἱὸς καὶ συγκυβερνᾶ ὅλα τὰ δημιουργημένα μαζὶ μὲ τὸν Θεὸ καὶ Πατέρα. Ὅταν ὅμως ἔγινε καὶ ἄνθρωπος στὸν ὁποῖο εἶναι δοσμένα ὅλα ἀπὸ τὸν Θεό, λέγεται ὅτι ἔλαβε τὰ ἐπιδικασμένα σ' αὐτόν, αὐτῶν ποὺ ἦταν Κύριός τους ὡς Θεός· γιατὶ λέγει· «Ζήτησέ μου, καὶ θὰ σοῦ δώσω τὰ ἔθνη ὡς κληρονομία σου, καὶ ἡ κυριαρχία σου θὰ φτάνει μέχρι τὰ πέρατα τῆς γῆς»[53].

Χαίρεται λοιπὸν μὲ ἐκείνους ποὺ ἔχουν στηριγμένη τὴν πεποίθησή τους σ' αὐτόν, δηλαδὴ μὲ ἐκείνους ποὺ ἔχουν κληθεῖ στὴν ἐπίγνωση τῆς ἀλήθειας μέσω τῆς πίστεως, καὶ δείχνει, ἁπλώνοντας κατὰ κάποιο τρόπο τὸ χέρι του, λέγοντας· «Νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός». Ποιὸς εἶναι αὐτὸς ποὺ τὰ λέγει αὐτά; Φυσικὰ ὁ Ἐμμανουήλ, «ὁ ὁποῖος θὰ εἶναι ἐκεῖνος μὲ

εἰς σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ Κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Ἵνα γὰρ πιστεύσειαν οἱ κατὰ πᾶσαν τὴν γῆν, ὅτι, Θεὸς ὢν φύσει, γέγονεν ἄνθρωπος, καὶ τῶν ὅλων ὑπάρχων Κύριος, τὴν τοῦ δούλου πεφόρηκε μορφὴν οἰκονομικῶς δι' ἡμᾶς, πλεῖστά τε ὅσα κατὰ τὴν Ἰουδαίαν εἰργάσατο σημεῖα, καὶ τῆς θείας ὑπεροχῆς ἐνεργεστάτην ἀπόδειξιν ἐποιήσατο τὰ παραδόξως τε καὶ ὑπὲρ λόγον ἀποτελούμενα· τοῦτο μὲν νεκροὺς ἀναστάς, τοῦτο δὲ ἀκαθάρτοις πνεύμασιν ἐπιτιμῶν, καὶ τυφλοῖς δὲ τὸ βλέπειν ἐν ἐξουσίᾳ δωρούμενος. Ἔγκλημα δὲ τῆς Ἰουδαίων σκαιότητος καὶ δυσσεβείας ὁ προφητικὸς ἔσται λόγος. Τὰ μὲν γὰρ σημεῖα καὶ τὰ τέρατα παρὰ Κυρίου Σαβαὼθ τοῦ κατοικοῦντος ἐν τῷ ὄρει Σιὼν γεγενῆσθαί φησιν, οἱ δὲ τῶν ἐκτόπων ἢ πραγμάτων ἢ λόγων ἀνεπιτήδευτον ἐῶντες οὐδέν, δυσφημεῖν ἀπετόλμων λέγοντες· «Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων».

Στίχ. 19-20. «Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Ζητήσατε τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας καὶ τοὺς ἐγγαστριμύθους τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ; Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν· Οὐχ ὡς τὸ ῥῆμα τοῦτο περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ».

Κατηχητικὸν ἐξυφαίνει λόγον αὐτὸς ὁ Ἐμμανουὴλ τοῖς ἐλπίδα θεμένοις εἰς αὐτόν, οἳ κατελογίσθησαν μὲν ἐν τέκνοις, δέδονται δὲ αὐτῷ παρὰ Θεοῦ καὶ Πατρός, ὡς Σωτῆρι καὶ Λυτρωτῇ καὶ ζωοποιῷ καὶ καταφωτίζειν ἰσχύοντι, καὶ παντὸς ἀπαλλάττειν κακοῦ, ἀφίστησι δὲ αὐτοὺς ὁλοτρόπως τῶν ἀρχαίων ἠθῶν καὶ φρενοβλαβείας τῆς πρώτης

54. Ματθ. 12, 24.

τὸν ὁποῖο θὰ γίνουν σημεῖα καὶ τέρατα στὸν Ἰσραὴλ ἐκ μέρους τοῦ Κυρίου τῶν δυνάμεων, ποὺ κατοικεῖ στὸ ὄρος τῆς Σιών». Γιὰ νὰ πιστέψουν δηλαδὴ οἱ ἄνθρωποι ὅλης τῆς γῆς ὅτι, ἂν καὶ ἦταν ἀπὸ τὴ φύση του Θεός, ἔγινε ἄνθρωπος, καὶ ἐνῶ ἦταν Κύριος τῶν ὅλων φόρεσε κατ' οἰκονομία τὴ μορφὴ τοῦ δούλου γιὰ χάρη μας, καὶ πάρα πολλὰ καταπληκτικὰ ἔργα ἔκανε στὴν Ἰουδαῖα, καὶ ἔκανε ὁλοφάνερη ἀπόδειξη τῆς θείας ὑπεροχῆς μὲ ὅσα ἐπιτελοῦσε κατὰ τρόπο παράδοξο καὶ πάνω ἀπὸ τὸ λόγο, ἄλλοτε ἀνασταίνοντας νεκρούς, καὶ ἄλλοτε ἐπιτιμώντας τὰ ἀκάθαρτα πνεύματα καὶ δωρίζοντας μὲ ἐξουσία στοὺς τυφλοὺς τὴν ὅρασή τους. Ὁ προφητικὸς λόγος βέβαια θὰ εἶναι κατηγορία τῆς κακότητας καὶ τῆς δυσσέβειας τῶν Ἰουδαίων. Γιατὶ «τὰ καταπληκτικὰ ἔργα καὶ τὰ θαύματα ἔγιναν», λέγει, «ἀπὸ τὸν Κύριο τῶν δυνάμεων ποὺ κατοικεῖ στὸ ὄρος τῆς Σιών», ἐνῶ αὐτοί, ποὺ δὲν ἀφηναν κανένα ἀπὸ τὰ ἄτοπα ἢ πρᾶγμα ἢ λόγο ποὺ νὰ μὴν τὸ κάνουν, τολμοῦσαν νὰ τὸν δυσφημοῦν λέγοντας· «Αὐτὸς δὲν βγάζει τὰ δαιμόνια ἀλλιῶς, παρὰ μόνο μὲ τὴ δύναμη τοῦ Βεελζεβούλ, τοῦ ἄρχοντα τῶν δαιμονίων»[54].

Στίχ. 19-20. «Κι ἂν σᾶς ποῦν, Ἀναζητῆστε αὐτοὺς ποὺ καλοῦν τοὺς νεκροὺς ἀπὸ τὴ γῆ καὶ τοὺς ἐγγαστρίμυθους, αὐτοὺς ποὺ ματαιολογοῦν καὶ φωνάζουν ἀπὸ τὴν κοιλιὰ τους, δὲν εἶναι καλύτερο ν' ἀπευθυνθοῦν τὰ ἔθνη πρὸς τὸν Θεὸ γιὰ νὰ μάθουν; Τί θέλουν νὰ μάθουν ἀπὸ τοὺς νεκροὺς γιὰ τοὺς ζωντανούς; Γιατὶ γιὰ βοήθεια μᾶς ἔδωσε τὸ νόμο, ποὺ ἂν τὸν μάθουν, θὰ ποῦν ὅτι δὲν ὑπάρχει ἄλλος λόγος σὰν αὐτόν, γιὰ τὸν ὁποῖο δὲν ὑπάρχουν δῶρα νὰ δοθοῦν πρὸς ἀντάλλαγμα».

Συνθέτει κατηχητικὸ λόγο ὁ ἴδιος ὁ Ἐμμανουὴλ γι' αὐτοὺς ποὺ στήριξαν τὴν ἐλπίδα τους σ' αὐτόν, οἱ ὁποῖοι ἀπαριθμήθηκαν βέβαια μὲ τὰ παιδιά, δόθηκαν ὅμως ἀπὸ τὸν Θεὸ καὶ Πατέρα σ' αὐτὸν ὡς Σωτήρα καὶ Λυτρωτὴ καὶ Ζωοποιό, ὁ ὁποῖος ἔχει τὴ δύναμη νὰ καταφωτίζει καὶ νὰ ἀπαλλάσσει ἀπὸ κάθε κακό, καὶ τοὺς ἀπομακρύνει μὲ ὅλους τοὺς τρόπους ἀπὸ τὰ ἀρχαῖα ἤθη καὶ

Ἔθος μὲν γὰρ τοῖς τῶν εἰδώλων προσκυνηταῖς, τοὺς ἐκ τῶν δαιμονίων χρησμοὺς ἀγαπᾷν καὶ κενολόγοις τισὶ νεκρομάντεσι προσκεῖσθαι φιλεῖν, οἳ λέγουσι μὲν ἀληθὲς οὐδέν, ἀνερεύγονται δὲ ὥσπερ τὸ εἰς νοῦν ἦκον ἁπλῶς. Ἀλλ' ὑμεῖς, φησί, κἂν εἰ προσίοιτό τις λέγων, Ζητήσατε τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοῦτ' ἔστι τοὺς προσποιουμένους ἀναφέρειν τοὺς νεκρούς, καὶ ὥσπερ ἐξ ᾅδου ποιεῖσθαι τὰς μαντείας, ἤγουν τοὺς ἐγγαστριμύθους, οἳ προσποιοῦνται μὲν θεούς τινας ἔχειν εἰς τὴν κοιλίαν, οὕτω τε τοῖς προσιοῦσι τὰ παρ' ἐκείνων λαλεῖν, μὴ προσίεσθε τὴν συμβουλήν. Φωνοῦσι γὰρ ἀπὸ μόνης τῆς ἑαυτῶν κοιλίας, καὶ οὔκ εἰσιν ἔθνος συνετόν, ὥστε καὶ ἀναζητῆσαι Θεὸν καὶ παρ' αὐτοῦ τι μαθεῖν. Λέγετε δὲ τοῖς ἐκεῖνα συμβουλεύουσι· «Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς;». Ὁρᾷς ὅπως ἀπεργάζεται νουνεχεστάτους; Οὐ γὰρ μόνον ἀποφοιτᾷν ἐπιτάττει τῆς ἐκείνων σκαιότητος καὶ φρενοβλαβείας, ἀλλὰ γὰρ καὶ συμβούλους ἀγαθοὺς τοῖς πεπλανημένοις γενέσθαι προστάττει. Λέγετε γάρ, φησί· «Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς;». Κοινὸς γὰρ καὶ ἀνθρώπινος ὁ λογισμός. Ποῖον γὰρ ἂν ἔχοι λόγον τὸ διερωτᾷν ἐθέλειν περὶ τῶν ἔτι ζώντων τοὺς ἐν τῇ γῇ κειμένους, ἢ ἐν ᾅδου τυχὸν γενομένας ψυχάς; Καὶ καθ' ἕτερον δὲ τρόπον ἀμαθὲς παντελῶς νεκυομαντείαις προσέχειν καὶ ταῖς τῶν γοητῶν ψευδοεπίαις, οἳ νεκρὸν ἔχουσι τὸν νοῦν καὶ οἷον ἀπεψυγμένην καρδίαν. Οὐ γὰρ ἴσασι τὸν τῶν ὅλων δημιουργόν, οὐκ ἔχουσιν ἐν αὐτοῖς τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον, εἰσὶ δὲ πρὸς τοῦτο καὶ νεκρῶν ἔργων ἐπιμεληταί. Πῶς οὖν οἱ ζῶντες, τοῦτ' ἔστιν οἱ τὴν ἄνωθεν ἔχοντες ἐν ἑαυτοῖς ζωοποίησιν καὶ τὸν ζῶντα τοῦ Θεοῦ Λόγον ἐκπεπλουτηκότες περὶ αὐτῶν ἐρωτῶσι τοὺς νεκρούς;

Ταῦτα τοίνυν λέγετε, φησί, προστιθέντες, ὅτι νόμον εἰς

τὴν πρώτη φρανοβλάβεια. Γιατὶ εἶναι συνήθεια αὐτῶν ποὺ προσκυνοῦν τὰ εἴδωλα νὰ ἀγαποῦν τοὺς χρησμοὺς τῶν δαιμονίων καὶ νὰ θέλουν νὰ εἶναι προσκολλημένοι σὲ κάποιους ἀερολόγους νεκρομάντεις, οἱ ὁποῖοι δὲν λένε βέβαια καμμιὰ ἀλήθεια, ἀλλ ἁπλῶς ἀναμασοῦν κατὰ κάποιο τρόπο αὐτὸ ποὺ θὰ ρθεῖ στὸ μυαλό τους. Ἀλλὰ ἐσεῖς, λέγει, κι ἂν ἀκόμα σᾶς πλησιάσει κάποιος λέγοντας, «Ἀναζητῆστε αὐτοὺς ποὺ μιλοῦν ἀπὸ τὴ γῆ», δηλαδὴ αὐτοὺς ποὺ προσποιοῦνται ὅτι ἐπαναφέρουν τοὺς νεκροὺς καὶ ἐνεργοῦν τὶς μαντεῖες σὰν ἀπὸ τὸν ἅδη, ἢ τοὺς ἐγγαστρίμυθους, ποὺ προσποιοῦνται ὅτι ἔχουν μέσα στὴν κοιλιά τους κάποιους θεούς, καὶ ἔτσι λένε σ᾽ αὐτοὺς ποὺ πηγαίνουν κοντά τους ὅτι τοὺς λένε αὐτὰ ποὺ τοὺς ὑπαγορεύουν οἱ θεοί, μὴ δέχεσθε τὴ συμβουλή. Γιατὶ μιλοῦν μόνο ἀπὸ τὴν κοιλιά τους, καὶ δὲν εἶναι συνετὴ τάξη ἀνθρώπων, ὥστε καὶ νὰ ἐπικαλεσθοῦν τὸν Θεό, καὶ νὰ μάθουν κάτι ἀπὸ αὐτόν. Ἀντίθετα νὰ λέτε σ᾽ ἐκείνους ποὺ δίνουν αὐτὲς τὶς συμβουλές· «Τί θέλουν νὰ μάθουν ἀπὸ τοὺς νεκροὺς γιὰ τοὺς ζωντανούς;». Βλέπεις πῶς τοὺς κάνει φρονιμότατους; Γιατὶ δὲν δίνει ἐντολὴ νὰ ἀπέχουν μόνο ἀπὸ τὴν κακότητα καὶ τὴ φρενοβλάβεια ἐκείνων, ἀλλὰ καὶ προστάζει νὰ γίνουν σύμβουλοι καλοὶ σὲ ὅσους ἔχουν πλανηθεῖ. Γιατὶ λέγει, νὰ λέτε· «Τί ζητοῦν νὰ μάθουν ἀπὸ τοὺς νεκροὺς γιὰ τοὺς ζωντανούς;». Εἶναι δηλαδὴ κοινὴ κι ἀνθρώπινη ἡ σκέψη. Ποιὰ λογικὴ ἔχει τὸ νὰ θέλουν νὰ ρωτοῦν γι᾽ αὐτοὺς ποὺ ζοῦν ἀκόμα τοὺς θαμμένους στὴ γῆ, ἢ τὶς ψυχὲς ποὺ τυχὸν ἔφτασαν στὸν ἅδη; Καὶ μὲ ἄλλο τρόπο δείχνει πλήρη ἀμάθεια τὸ νὰ προσέχει κανεὶς τὶς νεκρομαντεῖες καὶ τὶς ψευδολογίες τῶν γητευτῶν, οἱ ὁποῖοι ἔχουν νεκρὸ τὸ νοῦ τους καὶ παγωμένη κατὰ κάποιο τρόπο τὴν καρδιά τους. Γιατὶ δὲν γνωρίζουν τὸν δημιουργὸ τῶν ὅλων, δὲν ἔχουν μέσα τους τὸν ζωοποιὸ Λόγο τοῦ Θεοῦ, καὶ ἐκτὸς ἀπὸ αὐτὸ εἶναι καὶ ἐπιμελητὲς νεκρῶν ἔργων. Πῶς λοιπὸν οἱ ζῶντες, δηλαδὴ αὐτοὶ ποὺ ἔχουν μέσα τους τὴν ζωοποίηση ἀπὸ τὸν Θεὸ καὶ ἔχουν μέσα τους σὰν πλοῦτο τὸν ζῶντα Λόγο τοῦ Θεοῦ, ἐρωτοῦν τοὺς νεκροὺς γι᾽ αὐτούς;

Αὐτὰ λοιπόν, λέγει, νὰ λέτε, προσθέτοντας ὅτι ἔδωσε γιὰ βοή-

βοήθειαν ἔδωκεν, τοῦτ' ἔστι τὸν εὐαγγελικόν, ἵν' οἱ προσέχοντες αὐτῷ λέγωσιν· Οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ Πωλοῦσι μὲν γὰρ τὸ ψεῦδος, οἱ τὰ ἐκ μόνης τῆς ἑαυτῶν καρδίας λαλοῦντες, ὁ δέ γε σωτήριος καὶ ἀληθὴς τοῦ Θεοῦ νόμος, τοῦτ' ἔστι τὸ θέσπισμα τὸ εὐαγγελικόν, ὃ δέδοται πρὸς ἐπικουρίαν τῶν ἐπὶ τῆς γῆς, οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο, δηλονότι τῶν ψευδομάντεων, ἀλλ' οὐδ' ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Ὡς γὰρ ἔφην ἀρτίως ὠνοῦνταί τινες ἀργυρίοις τὰς τῶν γοητῶν ψευδοπείας. Πρόκειται δὲ τοῖς ἐθέλουσι τὸ οὐράνιον θέσπισμα, δι' οὗ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν πεποδηγήμεθα, καὶ μὴν ὅσα χρὴν τῶν μελλόντων γενέσθαι μεμαθήκαμεν. Τίνι γὰρ ἀσυμφανὲς ὅτι πράττουσιν ἡμῖν τὰ ἀγαθά, καὶ τὸ γνήσιον τῆς ἀγάπης τηροῦσι Χριστῷ, πᾶν ὁτιοῦν ἔσται κατ' εὐχήν; Μακαρίους γὰρ ἀποφαίνει καὶ ἐν τῷδε τῷ κόσμῳ, καὶ εἰς αἰῶνα τὸν μέλλοντα. Πρόκειται τοίνυν ἀργυρίου τε δίχα καὶ δώρου παντὸς τὸ εἰδέναι τοῖς ἐθέλουσι τὸν δοθέντα παρὰ Χριστοῦ νόμον εἰς ἐπικουρίαν, καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς Ἡσαΐου σοφῶς εἰρημένον· «Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς».

Στίχ. 21-22. «Καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός, καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. Καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται, καὶ ἰδοὺ θλῖψις καὶ στενοχωρία καὶ σκότος, ἀπορία στενὴ καὶ σκότος, ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀποροθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ».

Μετατίθησι τὸν λόγον ἐπὶ τὸ ἀπειθῆσαν ἔθνος, τοῦτ' ἔστι τὸν Ἰσραήλ, οἳ καὶ πλατεῖαν ἔχοντες καὶ ἀμφιλαφῆ

55. Ἡσ. 55, 1.

θεια τὸ νόμο, δηλαδὴ τὸν εὐαγγελικὸ νόμο, γιὰ νὰ λένε ὅσοι προσέχουν σ' αὐτόν· «Δὲν ὑπάρχει ἄλλο σὰν τὸν λόγο αὐτό, γιὰ τὸν ὁποῖο δὲν ὑπάρχουν δῶρα νὰ δώσεις». Γιατὶ πουλοῦν τὸ ψεῦδος ὅσοι λένε μόνο ὅσα τοὺς ὑπαγορεύει ἡ καρδιά τους, ἐνῶ ὁ σωτήριος καὶ ἀληθινὸς νόμος τοῦ Θεοῦ, δηλαδὴ ἡ εὐαγγελικὴ νομοθεσία, ποὺ δόθηκε ὡς βοήθεια γιὰ τοὺς ἀνθρώπους, δὲν εἶναι σὰν αὐτὸν τὸν λόγο, δηλαδὴ τῶν ψευδομάντεων, ἀλλ' οὔτε ὑπάρχουν δῶρα γιὰ νὰ δώσει κανεὶς γι' αὐτὸν ὡς ἀντάλλαγμα. Γιατί, ὅπως εἶπα πρὶν ἀπὸ λίγο, ἀγοράζουν κάποιοι μὲ χρήματα τὶς ψευδολογίες τῶν γητευτῶν. Ὑπάρχει στὴ διάθεση αὐτῶν ποὺ θέλουν ἡ οὐράνια νομοθεσία, μὲ τὴν ὁποία ἔχομε παιδαγωγηθεῖ πρὸς ὁποιοδήποτε ἀγαθό, ἀλλὰ καὶ ἔχομε μάθει ὅσα πρέπει νὰ συμβοῦν ἀπὸ τὰ μελλοντικά. Σὲ ποιὸν δηλαδὴ δὲν εἶναι φανερὸ ὅτι ὅταν πράττομε τὰ ἀγαθὰ καὶ τηροῦμε τὴ γνησιότητα τῆς ἀγάπης πρὸς τὸν Χριστό, τὸ κάθετι θὰ γίνει ὅπως τὸ ἐπιθυμοῦμε; Γιατὶ καὶ σ' αὐτὸν τὸν κόσμο μᾶς κάνει μακαρίους, καὶ στὸν μελλοντικὸ αἰώνα. Εἶναι λοιπὸν χωρὶς χρήματα καὶ ὁποιοδήποτε δῶρο στὴ διάθεση αὐτῶν ποὺ θέλουν νὰ γνωρίσουν τὸν νόμο ποὺ ἔδωσε ὁ Χριστὸς πρὸς βοήθειά μας, καὶ αὐτὸ σημαίνει ἐκεῖνο ποὺ ἔχει λεχθεῖ μὲ σοφία μέσω τῆς φωνῆς τοῦ Ἡσαΐα· «Ὅσοι διψᾶτε πηγαίνετε πρὸς τὸ (πνευματικὸ) νερό, καὶ ὅσοι δὲν ἔχετε χρήματα, πηγαίνετε καὶ ἀγοράστε χωρὶς χρήματα καὶ ἀντίτιμο»[55].

Στίχ. 21-22. «Καὶ θὰ ἔρθει σὲ σᾶς πεῖνα σκληρή, καὶ καθὼς θὰ πεινάσετε θὰ στενναχωρηθεῖτε καὶ θὰ κακολογήσετε τὸν ἄρχοντα καὶ τὶς παραδόσεις σας. Καὶ θὰ ὑψώσουν τότε τὰ μάτια τους ψηλὰ στὸν οὐρανό, καὶ θὰ κοιτάξουν κάτω στὴ γῆ, καὶ παντοῦ θὰ ὑπάρχει θλίψη καὶ στενοχώρια καὶ σκότος, ἀπορία ἀσφυκτικὴ καὶ τόσο σκοτάδι, ὥστε νὰ μὴ βλέπουν. Ὅμως αὐτὴ ἡ στενοχώρια δὲν θὰ εἶναι παντοτινή, ἀλλὰ γιὰ ἕνα χρονικὸ διάστημα».

Μεταφέρει τὸ λόγο στὸ ἔθνος ποὺ ἔδειξε ἀνυπακοή, δηλαδὴ στοὺς Ἰσραηλῖτες, οἱ ὁποῖοι, ἂν καὶ εἶχαν πλατειὰ καὶ ὑπερβολικὰ

τὴν ἐκ Θεοῦ παράκλησιν καὶ ταῖς νομικαῖς εἰσηγήσεσιν ἐντρυφῶντες πλουσίως, εἴς γε τὸ εἰδέναι τὸ τελοῦν εἰς ὄνησιν, οὐ προσήκαντο τὸν Χριστόν. Ταύτῃ τοι καὶ ὠλισθήκασι τῆς πρὸς αὐτὸν οἰκειότητος, νοητῆς δηλονότι καὶ πνευ-
ματικῆς, καὶ οἷον λιμῷ διολώλασιν. Ἔφη γὰρ ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς προφητῶν· «Ἰδοὺ ἐγὼ ἐπάγω λιμὸν ἐπὶ τῆς γῆς, λέγει Κύριος· Οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον Κυρίου, καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυ-
ρίου, καὶ οὐ μὴ εὕρωσιν». Ὅταν τοίνυν, φησί, τὸν ἀρχηγὸν τῆς ζωῆς ἀποκτείναντες, σκληρὸν καὶ δύσοιστον ὑπομένητε λιμόν, τὸν τοῦ Θεοῦ Λόγον οὐκ ἔχοντες, τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, τὸν ζωὴν διδόντα τῷ κόσμῳ, τότε πεινήσετε. Καὶ δὴ καὶ εἰς αἴσθησιν τοῦ συμβεβηκότος ἐνηνεγμένοι,
κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. Καὶ τί δὴ τοῦτό ἐστιν; Οἱ μὲν γὰρ τῶν Ἰουδαίων καθηγηταί, Γραμματεῖς δὴ λέγω καὶ Φαρισαίους, παροτρύνοντες οὐ διαλελοίπασι, κατὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ τὴν ὑπὸ χεῖρα πληθύν, καὶ πρόφασιν τῆς κατ' αὐτοῦ μανίας ἐδέχοντο τὴν
εἰς Μωσέα τε καὶ νόμον αἰδῶ. Ἐδίωκον γὰρ λέγοντες· «Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον».

Οὐκοῦν ὡς παρανομοῦντα διώκειν ἂν ἔπειθον. Ὅταν τοίνυν, φησίν, ὑμεῖς, οἱ παρ' ἐκείνων ἠπατημένοι, πεινήσε-
τε, τότε κακῶς ἐρεῖτε πάντα ὑμῶν ἄρχοντα καὶ τὰ πάτρια, τοῦτ' ἔστι τὰ ἔθη τὰ νόμιμα. Ἀναμνησθήσεσθε γὰρ ὅτι παρώτρυνον ὑμᾶς οἱ ἡγούμενοι, καὶ τῶν ἀρχόντων ἡ πρόφασις ἦν τῆς κατὰ Χριστοῦ μανίας τὰ πάτρια, τοῦτ' ἔστι τὰ ἔθη καὶ αἱ παραδόσεις, καὶ οὐχὶ δὴ πάντως αἱ διὰ νόμου,
ἀλλὰ καὶ τὰ ἐξ εἰκαίων ἐπιτηρήσεων ἐδέχοντο διδασκαλίας ἐντάλματα ἀνθρώπων. Ἔσται τοίνυν ἐφ' ὑμᾶς σκληρὰ

56. Ἀμὼς 8, 11-12. 57. Ἰω. 9, 16.

μεγάλη τὴν ἐνίσχυση τοῦ Θεοῦ καὶ ἐντρυφοῦσαν πλούσια μὲ τὶς διατάξεις τοῦ νόμου, ὥστε νὰ γνωρίσουν ποιὸ εἶναι αὐτὸ ποὺ ὠφελεῖ, δὲν δέχθηκαν τὸν Χριστό. Γι' αὐτὸ κι ὀλίσθησαν ἀπὸ τὴν οἰκειότητά τους πρὸς αὐτόν, τὴ νοητὴ δηλαδὴ καὶ πνευματική, καὶ χάθηκαν σὰν ἀπὸ πεῖνα. Γιατὶ εἶπε ὁ Θεὸς τῶν ὅλων μέσω ἑνὸς ἀπὸ τοὺς προφῆτες· «Νά, θὰ προκαλέσω ἐγὼ πεῖνα πάνω στὴ γῆ, λέγει ὁ Κύριος, ὄχι πεῖνα ψωμιοῦ, οὔτε δίψα νεροῦ, ἀλλὰ πεῖνα τοῦ νὰ ἀκούσετε τὸν λόγο τοῦ Κυρίου, κι ἀπ' τὴν ἀνατολὴ μέχρι τὴ δύση θὰ τρέχουν ἀναζητώντας τὸν λόγο τοῦ Κύρου, καὶ δὲν θὰ τὸν βρίσκουν»[56]. Ὅταν λοιπόν, λέγει, σκοτώνοντας τὸν ἀρχηγὸ τῆς ζωῆς, θὰ ὑποφέρετε ἀπὸ σκληρὴ καὶ ἀνυπόφορη πεῖνα, μὴ ἔχοντας τὸν Λόγο τοῦ Θεοῦ, τὸν ἄρτο ἀπὸ τὸν οὐρανό, ποὺ δίνει ζωὴ στὸν κόσμο, τότε θὰ πεινάσετε. Καὶ μάλιστα, ἀφοῦ ἔρθετε σὲ συναίσθηση αὐτοῦ ποὺ συνέβη, θὰ κατηγορήσετε τὸν ἄρχοντα καὶ τὶς παραδόσεις σας. Καὶ τί σημαίνει λοιπὸν αὐτό; Οἱ καθηγητὲς δηλαδὴ τῶν Ἰουδαίων, ἐννοῶ οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, δὲν ἔπαυαν νὰ παροτρύνουν τὸ κάτω ἀπὸ τὴν ἐξουσία τους πλῆθος ἐναντίον τοῦ Σωτήρα ὅλων μας Χριστοῦ, καὶ ὡς πρόφαση τῆς ἐναντίον του μανίας πρόβαλλαν τὸν σεβασμό τους τάχα στὸν Μωυσῆ καὶ τὸν νόμο. Γιατὶ τὸν καταδίωκαν λέγοντας· «Ἂν ὁ ἄνθρωπος αὐτὸς προερχόταν ἀπὸ τὸν Θεό, δὲν θὰ καταργοῦσε τὸ Σάββατο»[57].

Ἄρα λοιπὸν θὰ μποροῦσαν νὰ πείσουν τὸ πλῆθος νὰ τὸν καταδικάσουν ὡς παρανομοῦντα. Ὅταν λοιπόν, λέγει, θὰ πεινάσετε, ἐσεῖς ποὺ ἀπατηθήκατε ἀπὸ αὐτούς, τότε θὰ κατηγορήσετε κάθε ἄρχοντά σας μαζὶ καὶ τὰ πατροπαράδοτα, δηλαδὴ τὰ ἤθη ποὺ ἀπορρέουν ἀπὸ τὸ νόμο. Γιατὶ θὰ θυμηθεῖτε, ὅτι σᾶς παρότρυναν οἱ καθοδηγητές σας, καὶ τὸ πρόσχημα τῶν ἀρχόντων γιὰ τὴν ἐναντίον τοῦ Χριστοῦ μανία ἦταν τὰ πάτρια, δηλαδὴ τὰ ἤθη καὶ οἱ παραδόσεις, καὶ ὄχι ὁπωσδήποτε ἐκεῖνα ποὺ δίδασκε ὁ νόμος, ἀλλὰ καὶ ἐκεῖνα ποὺ δέχονταν ἀπὸ διδασκαλίες, ἀπὸ ἐντολὲς ἀνθρώπων, προερχόμενες ἀπὸ μάταιες διακρίσεις. Θὰ σᾶς βρεῖ

λιμός, ἄνω τε καὶ κάτω περιβλεπόμενοι καὶ πανταχόσε βλέποντες, ἤτοι τὸν τῆς διανοίας ὀφθαλμὸν περιφέροντες, ἕτερον οὐδὲν ὄψεσθε, φησίν, εἰ μὴ ἀπορίαν στενὴν καὶ σκότος, ὥστε μηδὲν δύνασθαί τι τῶν χρησίμων βλέπειν, καὶ οὐκ ἀποροθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ. Προαγορεύει πάλιν τὴν τῶν ἐθνῶν κλῆσιν. Οἱ γὰρ νῦν ὄντες, φησίν, ἐν στενοχωρίᾳ καὶ λιμῷ, τῶν θείων μαθημάτων πεπιεσμένοι οὐκ ἀποροθήσονται. Χαριεῖται γὰρ αὐτοῖς τὴν εὐλογίαν ὁ Ἐμμανουήλ, καὶ παραθήσει τροφὰς τὰς πνευματικάς, καὶ τὴν θείαν αὐτοῖς ἁπλώσει τράπεζαν, ἐκεῖνο λέγων· Φάγετε καὶ πίετε καὶ μεθύσθητε, οἱ πλησίον. Ἔσται δὲ τοῦτο, φησίν, ἕως καιροῦ, τοῦτ' ἔστιν οὐ νῦν εἰς πέρας οἰχήσεται, ὅτε καὶ ὁ τῆς προφητείας περὶ αὐτῶν γέγονε λόγος, ἀλλ' ἐν καιρῷ τῷ δέοντι καθ' ὃν ἐπιλάμψει τοῖς ἐπὶ γῆς ὁ Ἐμμανουήλ. Τότε γὰρ κέκληται τῶν ἐθνῶν ἡ πληθύς

ΚΕΦ. 9, στίχ. 1-3. «Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλών, ἡ γῆ Νεφθαλείμ, ὁδὸς θαλάσσης, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα. Οἱ κατοικοῦντες ἐν χώρα καὶ ἐν σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς· τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκύλα».

Σκληρᾷ τε λιμῷ καὶ μέντοι καὶ ἀπορίᾳ καταπιεσθήσεσθαι λέγων τοὺς ἀπειθεῖν ῥηθέντας τῷ Ἐμμανουήλ, οὐκ ἀποροθήσεσθαι τοὺς ἐν στενοχωρίᾳ προειρηκὼς ἕως καιροῦ, κατά γε τὴν ἤδη προαποδοθεῖσαν διάνοιαν. Ἄρχεται δηλοῦν καὶ τίνες οἱ πρῶτοι πιστεύσαντες καὶ ἀπαρχὴ γεγο-

λοιπὸν σκληρὴ πεῖνα, στρέφοντας τὸ βλέμμα σας πάνω καὶ κάτω καὶ βλέποντας παντοῦ, δηλαδὴ στρέφοντας πρὸς ὅλες τὶς κατευθύνσεις τὸν ὀφθαλμὸ τοῦ νοῦ σας, δὲν θὰ βλέπετε τίποτε ἄλλο, λέγει, ἀλλὰ θὰ βρίσκεσθε σὲ ἀπορία ἀσφυκτικὴ καὶ σκοτάδι, ὥστε νὰ μὴν μπορεῖτε νὰ βλέπετε κάτι ἀπὸ τὰ χρήσιμα· ὅμως αὐτὸς ποὺ θὰ βρίσκεται σὲ στενοχώρια δὲν θὰ εἶναι ἔτσι παντοτινά, ἀλλὰ γιὰ ἕνα χρονικὸ διάστημα. Προαναγγέλλει πάλι τὴν κλήση τῶν ἐθνικῶν. Γιατὶ αὐτοί, λέγει, ποὺ τώρα βρίσκονται σὲ στενοχώρια καὶ πιέζονται ἀπὸ πεῖνα τῶν θείων μαθημάτων, δὲν θὰ συνεχίσουν νὰ βρίσκονται σὲ ἀπορία. Γιατὶ θὰ χαρίσει σ᾽ αὐτοὺς τὴν εὐλογία ὁ Ἐμμανουήλ, θὰ τοὺς παραθέσει τὶς πνευματικὲς τροφὲς καὶ θὰ τοὺς στρώσει τὴ θεία τράπεζα, λέγοντάς τους ἐκεῖνο· «Φᾶτε καὶ πιεῖτε καὶ μεθῦστε, σεῖς οἱ πλησίον». Αὐτό, λέγει, θὰ κρατήσει γιὰ ἕνα χρονικὸ διάστημα, δηλαδὴ δὲν θὰ φτάσει σὲ τέλος τώρα, ὅταν καὶ ἔγινε γι᾽ αὐτὰ ὁ λόγος τῆς προφητείας, ἀλλὰ τὸν καιρὸ ποὺ πρέπει, κατὰ τὸν ὁποῖο θὰ λάμψει στοὺς ἀνθρώπους ὁ Ἐμμανουήλ. Γιατὶ τότε θὰ κληθεῖ τὸ πλῆθος τῶν ἐθνῶν.

ΚΕΦ. 9. στίχ. 1-3. «Αὐτὸ πιὲς πρῶτα, κάνε το γρήγορα, σὺ ἡ χώρα τοῦ Ζαβουλών, ἡ γῆ τοῦ Νεφθαλείμ, ὅσοι κατοικεῖτε κατὰ μῆκος τοῦ δρόμου τῆς θάλασσας καὶ οἱ λοιποὶ ποὺ κατοικεῖτε τὴν παραλία καὶ τὴν πέραν ἀπὸ τὸν Ἰορδάνη χώρα, ἡ Γαλιλαία τῶν ἐθνῶν καὶ ἡ Ἰουδαία. Ὁ λαὸς ποὺ βαδίζει στὸ σκότος, θὰ δεῖ φῶς μεγάλο, καὶ ὅσοι κατοικεῖτε στὴ χώρα καὶ τὴ σκιὰ τοῦ θανάτου, θὰ λάμψει σ᾽ ἐσᾶς φῶς. Ὁ περισσότερος λαός, ποὺ τὸν ὁδήγησες στὴν εὐφροσύνη σου, θὰ χαροῦν μπροστὰ σ᾽ ἐσένα, ὅπως ἐκεῖνοι ποὺ χαίρονται κατὰ τὸ θέρος καὶ ὅπως ἐκεῖνοι ποὺ μοιράζονται λάφυρα».

Λέγοντας ὅτι θὰ καταπιεσθοῦν μὲ σκληρὴ πεῖνα ἀλλὰ καὶ μὲ ἀπορία αὐτοὶ ποὺ δὲν θὰ θελήσουν νὰ πιστέψουν τὸν Ἐμμανουήλ, προεῖπε ὅτι δὲν θὰ παραμείνουν σὲ διαρκῆ ἀπορία ὅσοι βρίσκονται σὲ στενοχώρια, ἀλλὰ γιὰ ἕνα διάστημα, σύμφωνα μὲ τὴν ἔννοια ποὺ ἐκθέσαμε ἤδη. Ἀρχίζει νὰ δηλώνει καὶ ποιοὶ ἦταν οἱ

νότες τῶν κεκλημένων εἰς ἐπίγνωσιν τοῦ Ἐμμανουὴλ τοῦ λέγοντος· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός, ὃς καὶ γέγονεν εἰς σημεῖά τε καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ τοῦ κατοικοῦντος ἐν τῷ ὄρει Σιών. Φασί γάρ που καὶ ὅρια Ζαβουλὼν καὶ Νεφθαλεὶμ τῇ Τιβεριάδι παρακεῖσθαι λίμνῃ, καὶ ἐν ἐσχατιαῖς εἶναι τῆς Ἰουδαίων χώρας, ὡς ὅμορον ὑπάρχειν τῇ τῶν ἐθνῶν Γαλιλαίᾳ, ἑτέρας οὔσης τῆς πρὸς τῇ Φοινίκων χώρᾳ. Ἐκ τούτων φασὶ μάλιστα τῶν φυλῶν τοὺς ἁγίους ἀποστόλους γενέσθαι κατὰ τὸ πλεῖστον.

Καὶ γοῦν τὰ περὶ τῆς κλήσεως αὐτῶν Ματθαῖος ἡμῖν ὁ μακάριος εὐαγγελιστὴς ἐξηγούμενος, πρῶτον μὲν ἀποκομίζει τὸν Ἰησοῦν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ. Εἶτα τίνα τρόπον ἀπολέκτους ἐποιήσατο τοὺς ἁγίους ἀποστόλους, προσεπάγει σαφῶς Γράφει δὲ οὕτω περὶ Χριστοῦ· «Καὶ καταλιπὼν τὴν Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλάττιον ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου λέγοντος· Γῆ Ζαβουλών, καὶ γῆ Νεφθαλείμ, ὁδὸς θαλάσσης πέραν Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς καθήμενος ἐν σκότει, φῶς ἴδε μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς». Προσεπάγει δὲ τούτοις· «Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας ἴδε δύο ἀδελφούς, Σίμωνα, τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν, τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον, τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην, τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέν-

πρῶτοι ποὺ πίστεψαν κι ἔγιναν ἡ ἀπαρχὴ ὅσων κλήθηκαν στὴν ἐπίγνωση τοῦ Ἐμμανουὴλ ποὺ λέγει· «Νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός, ὁ ὁποῖος καὶ ἔκανε σημεῖα καὶ τέρατα στὸν οἶκο τοῦ Ἰσραὴλ ἐκ μέρους τοῦ Κυρίου τῶν δυνάμεων ποὺ κατοικεῖ στὸ ὄρος Σιών». Γιατὶ λένε ὅτι ὅρια τῆς χώρας τοῦ Ζαβουλὼν καὶ τοῦ Νεφθαλεὶμ εἶναι ἡ λίμνη τῆς Τιβεριάδος καὶ βρίσκεται στὰ ἔσχατα τῆς χώρας τῶν Ἰουδαίων, γιατὶ εἶναι γειτονικὴ μὲ τὴ Γαλιλαία τῶν ἐθνῶν, ποὺ εἶναι διαφορετικὴ ἀπὸ αὐτὴν ποὺ γειτονεύει μὲ τὴ χώρα τῶν Φοινίκων. Ἀπὸ αὐτὲς μάλιστα τὶς φυλὲς λένε ὅτι προῆλθαν κατὰ τὸ πλεῖστον οἱ ἅγιοι ἀπόστολοι.

Ὁ μακάριος λοιπὸν εὐαγγελιστὴς Ματθαῖος ἐξηγώντας τὰ σχετικὰ μὲ τὴν κλῆση τους, πρῶτα μεταφέρει τὸν Ἰησοῦ στὰ ὅρια τῆς Ζαβουλὼν καὶ Νεφθαλείμ, κι ἔπειτα προσθέτει μὲ σαφήνεια μὲ ποιὸν τρόπο ἐπέλεξε τοὺς ἁγίους ἀποστόλους. Γράφει λοιπὸν τὰ ἑξῆς γιὰ τὸν Χριστό· «Κι ἀφοῦ ἀναχώρησε ἀπὸ τὴ Ναζαρέτ, πῆγε καὶ ἐγκαταστάθηκε στὴν Καπερναούμ, ποὺ εἶναι παραθαλάσσια στὰ σύνορα τῆς γῆς Ζαβουλὼν καὶ Νεφθαλείμ, γιὰ νὰ ἐπαληθευθεῖ ἐκεῖνο ποὺ εἶπε ὁ Ἡσαΐας, λέγοντας· Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸς τῆς θάλασσας πέρα ἀπὸ τὸν Ἰορδάνη, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ποὺ κατοικεῖ μέσα στὸ σκοτάδι εἶδε μεγάλο φῶς, καὶ γιὰ ἐκείνους ποὺ κάθονται στὴ χώρα καὶ τὴ σκιὰ τοῦ θανάτου, ἀνέτειλε γι᾽ αὐτοὺς φῶς»[58]. Σ᾽ αὐτὰ προσθέτει πάλι· «Βαδίζοντας κοντὰ στὴ θάλασσα τῆς Γαλιλαίας εἶδε δύο ἀδελφούς, τὸν Σίμωνα, τὸν ἀποκαλούμενο Πέτρο, καὶ τὸν Ἀνδρέα, τὸν ἀδελφό του, ποὺ ἔρριχναν τὰ δίχτυα τους στὴ θάλασσα· γιατὶ ἦταν ψαράδες. Εἶπε τότε σ᾽ αὐτοὺς ὁ Ἰησοῦς· Ἀκολουθῆστε με καὶ θὰ σᾶς κάνω ἁλιεῖς ἀνθρώπων. Ἐκεῖνοι, ἀφοῦ ἄφησαν ἀμέσως τὰ δίχτυα τους, τὸν ἀκολούθησαν. Συνεχίζοντας τὸ δρόμο του εἶδε δυὸ ἄλλους ἀδελφούς, τὸν Ἰάκωβο, τὸν υἱὸ τοῦ Ζεβεδαίου, καὶ τὸν Ἰωάννη, τὸν ἀδελφὸ αὐτοῦ, μέσα στὸ πλοῖο μαζὶ μὲ τὸν Ζεβεδαῖο τὸν πατέρα τους, νὰ ἐπισκευάζουν τὰ δίχτυα τους, καὶ τοὺς κάλεσε. Αὐτοί, ἀφοῦ ἄφησαν ἀμέσως τὸ πλοῖο καὶ τὸν

58. Ματθ. 4, 13-17.

τες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ». Ἰστέον δὲ ὅτι τὴν θάλασσαν τῆς Γαλιλαίας τὴν Τιβεριάδα λίμνην τὸ Γράμμα φησὶ τὸ ἱερόν, ἔνθα καὶ ηὕρηνται τὴν τῶν ἁλιέων μετιόντες τέχνην οἱ θεσπέσιοι μαθηταί.

Ποιεῖται τοίνυν τοὺς λόγους ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς τοῦ προφήτου πρὸς τὸ παρόν, ὡς πρός τε τὰς χώρας, ἤτοι τὰς πόλεις τῆς φυλῆς Ζαβουλὼν καὶ Νεφθαλείμ, αἳ παρέκειντο τῇ Τιβεριάδι λίμνῃ, καὶ μονονουχὶ ποτήριον αὐταῖς τοῦ σωτηρίου διδούς, καὶ οἶνον προσάγων τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, τὸ κήρυγμα δηλονότι τὸ περὶ Χριστοῦ. Τοῦτο πρῶτον ποίει, φησί, ταχὺ ποίει· τοῦτ' ἔστιν, ὦ χώρα Ζαβουλὼν καὶ Νεφθαλείμ, δέχεσθε τὸ κήρυγμα τὸ σωτήριον. Ἀλλὰ ποιεῖτε ταχύ, τοῦτ' ἔστι μελλησμοῦ δίχα παντός. Ὀξεῖς δέ, ὡς ἔφην, οἱ μαθηταὶ καὶ λίαν ἑτοίμως ἰόντες ἐπὶ τὸ πιστεῦσαι Χριστῷ. Ἠκολούθησαν γὰρ εὐθὺς ἀφέντες τὰ δίκτυα καὶ τὸν πατέρα, καὶ μυσταγωγίας αὐτοῖς ἐδέησεν οὐ μακρᾶς Ἦκουον γάρ· «Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων, καὶ ἠκολούθησαν αὐτῷ». Κατὰ τὸν ἴσον τρόπον καὶ ἑτέρους τῶν ἁγίων ἀποστόλων κεκλημένους εὑρήσομεν καὶ πεποιηκότας τῆς ἐπὶ Χριστῷ μυσταγωγίας τὸν λόγον. Γράφει γὰρ Ἰωάννης ὡδὶ περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· «Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ ἐκ τῆς χώρας Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέθ». Ἐπειδὴ δὲ ἀφίκετο πρὸς τὸν Ἰησοῦν, εἶτα λέγοντος ἤκουσε· «Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε», πεπίστευκε παραχρῆμα, καὶ δὴ καὶ ἀνέκραγε λέγων· «Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσρα-

59. Ματθ. 4, 18-22. 60. Ματθ. 4, 20.

πατέρα τους, τὸν ἀκολούθησαν»[59]. Πρέπει ὅμως νὰ γνωρίζομε, ὅτι θάλασσα τῆς Γαλιλαίας ἡ ἁγία Γραφὴ καλεῖ τὴ λίμνη Τιβεριάδα, ὅπου καὶ ἔχουν βρεθεῖ οἱ θεσπέσιοι μαθητὲς νὰ ἀσκοῦν τὸ ἐπάγγελμα τοῦ ἁλιέων.

Πρὸς τὸ παρὸν ὁ Θεὸς τῶν ὅλων μιλᾶ μὲ τὴ φωνὴ τοῦ προφήτη ὡς πρὸς τὶς χῶρες, δηλαδὴ τὶς πόλεις, ποὺ βρίσκονταν στὶς ὄχθες τῆς Τιβεριάδος λίμνης, καὶ κατὰ κάποιο τρόπο προσφέρει σ᾽ αὐτὲς τὸ ποτήριο τῆς σωτηρίας καὶ τὶς δίνει τὸ κρασὶ ποὺ εὐφραίνει τὴν καρδιὰ τοῦ ἀνθρώπου, τὸ κήρυγμα δηλαδὴ γιὰ τὸν Χριστό. Αὐτὸ πρῶτα πιές, λέγει, καὶ πιές το γρήγορα· δηλαδή, ὦ χώρα τοῦ Ζαβουλὼν καὶ τοῦ Νεφθαλείμ, δεχθεῖτε τὸ κήρυγμα τῆς σωτηρίας. Ἀλλὰ νὰ τὸ κάνετε γρήγορα, δηλαδὴ χωρὶς καμμιὰ καθυστέρηση. Καὶ οἱ μαθητές, ὅπως εἶπα, μὲ μεγάλη γρηγοράδα καὶ πολλὴ προθυμία προχώρησαν στὴν πίστη πρὸς τὸν Χριστό. Γιατὶ τὸν ἀκολούθησαν ἀμέσως, ἀφήνοντας τὰ δίχτυα καὶ τὸν πατέρα τους καὶ δὲν χρειάσθηκαν πολλὴ διδασκαλία. Καθόσον ἄκουσαν νὰ τοὺς λέγει· «Ἀκολουθῆστε με, καὶ θὰ σᾶς κάνω ἁλιεῖς ἀνθρώπων, καὶ τὸν ἀκολούθησαν»[60]. Μὲ ἴδιο τρόπο θὰ βροῦμε νὰ ἔχουν κληθεῖ καὶ ἄλλοι ἀπὸ τοὺς ἁγίους ἀποστόλους καὶ προχώρησαν στὸ κήρυγμα τῆς διδασκαλίας τοῦ Χριστοῦ. Πράγματι γράφει ὁ Ἰωάννης τὰ ἑξῆς γιὰ τὸν Σωτήρα ὅλων μας Χριστό· «Τὴν ἑπομένη ἡμέρα θέλησε νὰ μεταβεῖ στὴ Γαλιλαία, καὶ βρίσκει τὸν Φίλιππο καὶ τοῦ λέγει ὁ Ἰησοῦς· Ἀκολούθησέ με. Ὁ Φίλιππος καταγόταν ἀπὸ τὴ Βηθσαϊδᾶ, τὴν πατρίδα τοῦ Ἀνδρέα καὶ τοῦ Πέτρου. Ὁ Φίλιππος βρίσκει τὸ Ναθαναὴλ καὶ τοῦ λέγει· Βρήκαμε αὐτὸν γιὰ τὸν ὁποῖο ἔγραψε ὁ Μωυσῆς στὸ νόμο καὶ οἱ προφῆτες, τὸν Ἰησοῦ, τὸν υἱὸ τοῦ Ἰωσὴφ ἀπὸ τὴ Ναζαρέτ»[61]. Ὅταν λοιπὸν προσῆλθε στὸν Ἰησοῦ καὶ τὸν ἄκουσε στὴ συνέχεια νὰ τοῦ λέγει, «Προτοῦ σὲ φωνάξει ὁ Φίλιππος σὲ εἶδα ποὺ καθόσον κάτω ἀπὸ τὴ συκιά», πίστεψε ἀμέσως καὶ μάλιστα φώναξε δυνατὰ καὶ εἶπε· «Διδάσκαλε, ἐσὺ εἶσαι ὁ Υἱὸς τοῦ Θεοῦ, ἐσὺ εἶσαι ὁ βασιλιὰς τοῦ Ἰσραήλ»[62]. Ἡ Βηθσαϊδα πάλι, ἀπὸ τὴν ὁποία κατα-

61. Ἰω. 1, 43-45.

62. Ἰω. 1, 47-49.

ήλ». Βηθσαιδὰ δὲ πάλιν, ἐξ ἧς ὁ Φίλιππος ἦν καὶ μέν τοι Ναθαναήλ, παρέκειτο τῇ θαλάσσῃ τῇ Τιβεριάδι.

Διαμέμνηται δὲ καὶ ὁ μακάριος Δαβὶδ τῆς τῶν μαθητῶν ἀναρρήσεως, καί φησιν· «Ἐκεῖ Βενιαμεὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν· ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ». Ὅτι δὲ ἔμελλον οὐ μόνοι κληθήσεσθαι κατὰ καιροὺς οἱ θεσπέσιοι μαθηταί, ἀλλὰ γὰρ καὶ αἱ τῶν ἐθνῶν ἀγέλαι, καταμηνύει λέγων· «Καὶ οἱ λοιποὶ οἱ τὴν παράλιον καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, φῶς ἴδε μέγα. Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς». Ἐβάδιζον γὰρ ὥσπερ οἱ ἐξ ἐθνῶν καὶ διέτριβον ἐν τῷδε τῷ κόσμῳ, καθάπερ οἱ ἐν νυκτὶ καὶ ἐν σκότῳ, διά τοι τὸ φῶς οὐκ ἔχειν εἰς νοῦν τῆς ἀληθοῦς θεογνωσίας, πίπτειν δὲ ὥσπερ κατὰ βόθρου παντός, καὶ οἷά τις λίθῳ παντὶ προσπταίειν κακῷ. Κατοικεῖν δὲ αὐτοὺς ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φησίν, διὰ τὸ εἶναι παρ' αὐτοῖς, ἤγουν ἐν ταῖς αὐτῶν χώραις, ἕτερον οὐδέν, πλὴν ὅτι μόνην ἀχλὺν καὶ σκότον, τὸν νοητὸν δηλονότι, εἶναι δὲ ὥσπερ ἐν ὁμοιώσει τῶν τεθνεώτων, καίτοι ζῶντας ἔτι. Ἡ μὲν γὰρ τῶν σωμάτων σκιὰ μιμεῖται πάντως αὐτῶν τὰ σχήματα, παραλλάττει δὲ ὅλως κατ' οὐδένα τρόπον, ὅσον ἧκεν εἰς ἐμφέρειαν τὴν ὡς ἐν σχήματι λέγω, τὸν δέ γε Θεὸν οὐκ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς, μίμημά πώς ἐστι καὶ σκιὰ θανάτου. Ἀλλὰ τοῖς ἐκεῖνα νενοσηκόσι φῶς ἐπέλαμψε, μετὰ τὸ παρὰ Χριστοῦ δηλονότι, καὶ τὸ θέσπισμα τὸ εὐαγγελικόν. Ἐκεῖθεν γέγονε τὸ πλεῖστον τοῦ λαοῦ, ὃν κατήγαγες ἐν τῇ εὐφροσύνῃ σου. Πλείους γὰρ λίαν οἱ ἐξ ἐθνῶν κεκλημένοι παρὰ τοὺς πιστεύσαντας ἐξ Ἰσραήλ.

Οὐκοῦν «φῶς εἶδε», φησί, «μέγα τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου». Τὸ δὲ «Κατήγαγες», ἀντὶ

63. Ψαλμ. 67,28.

γόταν ὁ Φίλιππος, καὶ βέβαια καὶ ὁ Ναθαναήλ, βρισκόταν κοντὰ στὴ θάλασσα τῆς Τιβεριάδος.

Κάνει λόγο καὶ ὁ μακάριος Δαβὶδ γιὰ τὴν ἀνάδειξη τῶν μαθητῶν καὶ λέγει· «Ἐκεῖ εἶναι ὁ Βενιαμίν, ὁ νεώτερος ὅλων, γεμᾶτος ἔκπληξη, ἐκεῖ οἱ ἄρχοντες τοῦ Ἰούδα μαζὶ μὲ τοὺς ἡγεμόνες, οἱ ἄρχοντες τῆς φυλῆς Ζαβουλὼν καὶ οἱ ἄρχοντες τῆς φυλῆς Νεφθαλείμ»[63]. Ὅτι βέβαια ἐπρόκειτο νὰ κληθοῦν τὴν κατάλληλη ὥρα οἱ θεσπέσιοι μαθητές, ἀλλὰ βέβαια καὶ τὰ πλήθη τῶν ἐθνικῶν, τὸ ἀναγγέλλει λέγοντας· «Καὶ οἱ λοιποί, ποὺ κατοικοῦν τὴν παραλία καὶ πέρα ἀπὸ τὸν Ἰορδάνη χώρα, ἡ Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ποὺ πορεύεται στὸ σκοτάδι, εἶδε μεγάλο φῶς. Σεῖς ποὺ κατοικεῖτε στὴ χώρα καὶ τὴ σκιὰ τοῦ θανάτου, θὰ λάμψει σ᾽ ἐσᾶς φῶς». Γιατὶ βάδιζαν ὅπως οἱ ἐθνικοὶ καὶ ζοῦσαν σ᾽ αὐτὸν τὸν κόσμο ὅπως αὐτοὶ ποὺ βαδίζουν τὴ νύχτα καὶ μέσα στὸ σκοτάδι, ἐπειδὴ δὲν εἶχαν μέσα τους τὸ φῶς τῆς ἀληθινῆς θεογνωσίας, καὶ κατά κάποιο τρόπο ἔπεφταν μέσα σὲ κάθε βόθρο καὶ σὰν σὲ μιὰ πέτρα σκόνταφταν σὲ κάθε κακό. Λέγει ὅτι κατοικοῦσαν σὲ χώρα καὶ σὲ σκιὰ θανάτου, ἐπειδὴ ἐπικρατοῦσε σ᾽ αὐτούς, δηλαδὴ στὶς χῶρες τους, τίποτε ἄλλο, παρὰ μόνο ὁμίχλη καὶ σκοτάδι, τὸ νοητὸ δηλαδή, καὶ ἦταν ὅμοιοι μὲ νεκρούς, ἂν καὶ ἦταν ἀκόμα ζωντανοί. Γιατὶ ἡ σκιὰ τῶν σωμάτων μιμεῖται ὁπωσδήποτε τὰ σχήματά τους, καὶ δὲν παραλλάζει κατὰ κανένα τρόπο, ἐννοῶ ὡς πρὸς τὴν ὁμοιότητα τοῦ σχήματός τους, ἐνῶ τὸν Θεό, ποὺ εἶναι Θεὸς φύση του καὶ ἀληθινά, δὲν τὸν γνωρίζουν, γιατὶ εἶναι κατὰ κάποιο τρόπο μίμημα καὶ σκιὰ θανάτου. Ἀλλὰ σ᾽ αὐτοὺς ποὺ ἔχουν αὐτὴ τὴ νόσο ἔλαμψε φῶς, ἔπειτα δηλαδὴ ἀπὸ τὸ φῶς τοῦ Χριστοῦ καὶ τὴν εὐαγγελικὴ διδασκαλία. Γιατὶ ἀπὸ ἐκεῖ προῆλθε τὸ μεγαλύτερο μέρος τοῦ λαοῦ, τὸν ὁποῖο ὁδήγησες στὴν εὐφροσύνη σου. Γιατὶ εἶναι πολὺ περισσότεροι ἐκεῖνο ποὺ ἔχουν κληθεῖ ἀπὸ τὰ ἔθνη ἀπὸ αὐτοὺς ποὺ προέχονται ἀπὸ τὸν λαὸ τοῦ Ἰσραήλ.

Ὥστε λοιπὸν «εἶδε φῶς μέγα», λέγει, «τὸ περισσότερο μέρος τοῦ λαοῦ, τὸ ὁποῖο ὁδήγησες στὴν εὐφροσύνη σου». Τὸ «κατή-

τοῦ, "Ἀνεκαλέσω", τέθεικεν, "καὶ Ἐλυτρώσω", καθάπερ αἰχμαλώτους ἐκ πλεονεξίας διαβολικῆς γεγενημένους. «Οὗτοι εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι τὰ σκύλα». Νοήσομεν δὲ διχῇ τῶν προκειμένων τὴν δήλωσιν. Εἰ μὲν γὰρ εἶεν οἱ θεσπέσιοι μαθηταὶ οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ διαιρούμενοι σκύλα, φαμὲν ὅτι τοὺς ἐξ ἐθνῶν συλλέγοντες καθάπερ τινὰ σῖτον εἰς ἀποθήκην δεσποτικὴν καὶ τῆς ἀρχαίας ἀποκείροντες πλάνης, εὐφραίνονται κατὰ τὸν ἴσον τρόπον τοῖς ἀμῶσιν ἐν ἀγροῖς, ἁρπάζοντες δὲ καθάπερ ἐκ τυραννικῆς πλεονεξίας τοὺς ἠπατημένους ὑπὸ τοῦ Σατανᾶ, καὶ μεθιστάντες διὰ τῆς πίστεως εἰς εὐσέβειαν, χαίρουσιν ὡς οἱ διαιρούμενοι τὰ σκύλα. Οἱ μὲν γὰρ τούτους, οἱ δὲ ἐκείνους ἔπειθον, καὶ ἑκάστῳ κέρδος οἱ σεσωσμένοι, καθάπερ τοῖς νενικηκόσι τὰ ἐκ τοῦ πολέμου σκύλα. Εἰ δὲ δὴ περὶ τῶν πεπιστευκότων εἰρῆσθαι λέγοι ταυτί, ἐννοήσωμεν, ὅτι κατὰ τὸν τοῦ πλανᾶσθαι καιρόν, καρπὸν οὐδένα δικαιοσύνης ἔχοντες, πεπλουτήκασι τοῦτον πεπιστευκότες εἰς Χριστόν. Ἀλλὰ καὶ πάλαι πορθούμενοι καὶ διαρπαζόμενοι παρά τε τῶν δαιμονίων καὶ τοῦ Σατανᾶ, νενικήκασι διὰ Χριστοῦ, τοὺς πάλαι σκυλεύοντας καὶ κρείττους γεγόνασι τῆς ἐκείνων σκαιότητος Οὐκοῦν εὐφραίνονται καὶ αὐτοί, καθά φησιν ὁ προφήτης, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκύλα.

Στίχ 4. «Διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε Κύριος ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ».

Ἐλευθέρους ὄντας τοὺς ἐπὶ τῆς γῆς, καὶ κατ' εἰκόνα τὴν θείαν εὖ μάλα πεποιημένους, ἐκτισμένους τε, καθά φη-

γαγες» βέβαια τὸ ἔθεσε ἀντὶ τοῦ "προσκέλεσες καὶ λύτρωσες", ἐκείνους ποὺ εἶχαν γίνει ἐξαιτίας τῆς διαβολικῆς πλεονεξίας σὰν αἰχμάλωτοι. «Αὐτοὶ θὰ εὐφρανθοῦν ἐνώπιόν σου, ὅπως ἐκεῖνοι χαίρονται μὲ τὸν θερισμὸ καὶ μὲ τὸν τρόπο ποὺ χαίρονται ὅσοι μοιράζονται λάφυρα». Αὐτὸ ποὺ θέλουν νὰ δηλώσουν τὰ ἐξεταζόμενα ἐδῶ θὰ τὸ ἐννοήσομε κατὰ δύο τρόπους. Ἂν δηλαδὴ εἶναι οἱ θεσπέσιοι μαθητὲς αὐτοὶ ποὺ χαίρονται μὲ τὸν θερισμὸ καὶ μοιράζονται τὰ λάφυρα, λέμε ὅτι συλλέγοντας τοὺς ἐθνικοὺς σὰν τὸ σιτάρι στὴ δεσποτικὴ ἀποθήκη καὶ ἀπαλλάσσοντάς τους ἀπὸ τὴν ἀρχαία πλάνη, χαίρονται κατὰ τρόπο ἴσο μὲ αὐτοὺς ποὺ θερίζουν στοὺς ἀγρούς, καὶ ἁρπάζοντας σὰν ἀπὸ τυραννικὴ πλεονεξία ἐκείνους ποὺ ἀπατήθηκαν ἀπὸ τὸν Σατανᾶ καὶ μεταφέροντάς τους μέσω τῆς πίστεως στὴν εὐσέβεια, χαίρονται σὰν ἐκείνους ποὺ μοιράζονται τὰ λάφυρα. Ἄλλοι λοιπὸν ἔπειθαν αὐτούς, καὶ ἄλλοι ἐκείνους, καὶ τὸ κέρδος γιὰ τὸν καθένα ἦταν ἐκεῖνοι ποὺ εἶχαν σωθεῖ, ὅπως γιὰ τοὺς νικητὲς εἶναι τὰ λάφυρα ποὺ προέρχονται ἀπὸ τὸν πόλεμο. Ἂν πάλι λέγει ὅτι αὐτὰ εἰπώθηκαν γιὰ ἐκείνους ποὺ πίστεψαν, θὰ σκεφθοῦμε, ὅτι ἐνῶ κατὰ τὸν καιρὸ τῆς πλάνης τους δὲν εἶχαν δώσει κανένα καρπὸ δικαιοσύνης, ἀπέκτησαν αὐτὸν σὰν πλοῦτο μεγάλο πιστεύοντας στὸν Χριστό. Ἀλλὰ καὶ ἐνῶ παλαιὰ κατακυριεύονταν καὶ λεηλατοῦνταν ἀπὸ τὰ δαιμόνια καὶ τὸν Σατανᾶ, νίκησαν μέσω τοῦ Χριστοῦ ἐκείνους ποὺ παλαιὰ τοὺς λαφυραγωγοῦσαν καὶ βρέθηκαν ἀνώτεροι ἀπὸ τὴ βαναυσότητα ἐκείνων. Χαίρονται λοιπὸν καὶ αὐτοί, ὅπως λέγει ὁ προφήτης, ἔτσι ὅπως ἐκεῖνοι ποὺ εὐφραίνονται μὲ τὸν θερισμό, καὶ ὅπως ἐκεῖνοι ποὺ μοιράζονται λάφυρα.

> Στίχ. 4. «Γιατὶ θὰ ἀφαιρεθεῖ ὁ ζυγὸς ποὺ τοὺς ἔχει ἐπιβληθεῖ καὶ ἡ ράβδος ποὺ ὑπάρχει πάνω ἀπὸ τὸν τράχηλό τους. Γιατὶ τὴ ράβδο ἔκανων ποὺ τοὺς καταδυνάστευαν τὴν συνέτρεψε ὁ Κύριος ὅπως κατὰ τὴν ἡμέρα τῆς συντριβῆς τῆς Μαδιάμ».

Ἐνῶ ἦταν ἐλεύθεροι οἱ ἄνθρωποι καὶ τέλεια πλασμένοι σύμφωνα μὲ τὴ θεία εἰκόνα, καί, ὅπως λέγει ὁ μακάριος Παῦλος,

σιν ὁ μακάριος Παῦλος, ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν, πεπλεονέκτηκεν οὐ μετρίως ὁ τῆς ἀνομίας εὑρετὴς καὶ τῆς εἰς Θεὸν ἀποστήσας ἀγάπης, ἰδίους ἐποιήσατο προσκυνητάς, δυσδιάφυκτον αὐτοῖς ἐπαρτήσας τὸν τῆς ἁμαρτίας ζυγόν Πεπραχότας τοίνυν ἀθλίως καὶ ἐν τούτοις ὄντας τοῖς κακοῖς, μάλιστα τοὺς ἐξ ἐθνῶν ἐρρύσατο Χριστός, καὶ πάλιν ἀπέφηνεν ἐλευθέρους. Ταύτῃ τοί φησιν· «Ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν». «Ῥάβδον» δέ, οἶμαι, φησίν, ἡ τὸ σκῆπτρον, τοῦτ' ἔστι τὴν βασιλείαν, δῆλον δὲ ὅτι τὴν τοῦ Σατανᾶ, ἢ τάχα που τὴν ἀνάγκην καὶ τὴν οἱονεὶ πληγήν τε καὶ μάστιγα. Συνέχει γὰρ ἡμᾶς εἰς τὸ οἰκεῖον θέλημα τὸ μιαρὸν καὶ βέβηλον τῶν δαιμονίων τὸ στίφος, καὶ ὁ τούτων ἡγούμενος ὁ Σατανᾶς, μονονουχὶ ῥάβδῳ καταπαίων ταῖς τῶν παθῶν δυναστείαις, ἃ ἐπιφέρει τῷ νῷ, καὶ καταβιάζεται τὴν καρδίαν εἰς τὸ δρᾶν ἐθέλειν ἃ μὴ θέμις. Ἀποσείσονται τοίνυν, φησί, τὸν ἐκ πλεονεξίας ζυγόν, καὶ μὴν καὶ τὴν ῥάβδον, ἣν ἐσχήκασιν ἀεὶ κατὰ τοῦ τραχήλου, καθάπερ οἰκέται ταῖς τοῦ δεσπότου πληγαῖς ὑποκείμενοι.

Μέμνηται δὲ πάλιν ἱστορίας κειμένης ἐν τῇ βίβλῳ τῶν Κριτῶν. Ἔστι δὲ αὕτη. Καταλελοιπότες γὰρ τὸν τῶν ὅλων Θεὸν οἱ ἐξ Ἰσραὴλ ἐν ταῖς τῶν Κριτῶν ἡμέραις, ἐτράποντο πρὸς ἀνοσιότητα τρόπων, καὶ λελυπηκότες οὐ μετρίως τὸν ἐπαμύνοντα Θεόν, εἰδώλοις προσκείμενοι καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν προσάγοντες λατρείας Ταύτῃ τοι δέδονται τοῖς Μαδιηναίοις, οἳ πᾶσαν αὐτῶν κατεληΐζοντο γῆν, πόλεις τε καὶ κώμας διαρπάζοντες, καὶ τὰ ἐν ἀγροῖς, καὶ τοσοῦτον ἐνεποιήσαντο τοῖς ἀθλίοις τὸ δεῖμα, ὥστε καὶ πέτρας αὐτοὺς ἐλέσθαι κατοικεῖν, καὶ τὰ δύσβατα τῶν ὀρῶν, καὶ τὰς τῶν σπηλαίων περιεργάζεσθαι καταδύσεις, ἀγρίῳ τε καὶ μακρῷ καταθλίβεσθαι λιμῷ. Κεκμηκότας δὲ οὐ με-

64. Ἐφ. 2, 10.

«δημιουργημένοι γιὰ νὰ πράττουν ἔργα ἀγαθά, τὰ ὁποῖα ὁ Θεὸς προετοίμασε γιὰ νὰ ζοῦμε σύμφωνα μὲ αὐτά»[64], ὑπερίσχυσε ὄχι καὶ λίγο ὁ ἐφευρέτης τῆς ἀνομίας, καὶ ἀπομακρύνοντάς τους ἀπὸ τὴν ἀγάπη πρὸς τὸν Θεό, τοὺς ἔκανε δικούς του προσκυνητές, ἐπιβάλλοντάς τους τὸν δύσκολα ἀποτινασσόμενο ζυγὸ τῆς ἁμαρτίας. Ἀφοῦ λοιπὸν συμπεριφέρθηκαν μὲ ἄθλιο τρόπο καὶ βρίσκονταν μέσα σ' αὐτὰ τὰ δεινά, ἔσωσε ὁ Χριστὸς προπάντων τοὺς ἐθνικοὺς καὶ τοὺς κατέστησε ἐλεύθερους καὶ πάλι. Γι' αὐτὸ λοιπὸν λέγει· «Θ' ἀφαιρεθεῖ ὁ ζυγὸς ποὺ βρίσκεται φορτωμένος ἐπάνω τους καὶ ἡ ράβδος ποὺ πιέζει τὸν τράχηλό τους». «Ράβδο», νομίζω, ὀνομάζει ἢ τὸ σκῆπτρο, δηλαδὴ τὴ βασιλεία, καὶ ἀσφαλῶς τοῦ Σατανᾶ, ἢ ἴσως τὴν καταπίεση καὶ τὰ κατὰ κάποιο τρόπο πλήγματα καὶ τὴ μάστιγα. Γιατὶ μᾶς συγκρατεῖ στὸ θέλημά του τὸ μιαρὸ καὶ βέβηλο στίφος τῶν δαιμονίων καὶ ὁ ἀρχηγός τους ὁ Σατανᾶς, καταχτυπώντας μας, σὰν μὲ ράβδο, μὲ τὶς καταπιέσεις τῶν παθῶν, τὰ ὁποῖα ἐπιφέρει στὸ νοῦ μας καὶ ἐξαναγκάζει τὴν καρδιὰ στὸ νὰ θέλει νὰ πράττει αὐτὰ ποὺ δὲν εἶναι ὀρθά. Θὰ πετάξουν λοιπόν, λέγει, ἀπὸ πάνω τους τὸν ζυγὸ τῆς πλεονεξίας, ἀλλὰ καὶ τὴ ράβδο ποὺ εἶχαν πάντοτε πάνω στὸν τράχηλό τους, ὅπως οἱ δοῦλοι ποὺ δέχονται τὰ χτυπήματα τοῦ κυρίου μας.

Ἀναφέρει ὅμως πάλι κάποια διήγηση ποὺ περιλαμβάνεται στὸ βιβλίο τῶν Κριτῶν, ποὺ εἶναι ἡ ἑξῆς· Ἀφοῦ ἐγκατέλειψαν οἱ Ἰσραηλίτες τὸν Θεὸ τῶν ὅλων κατὰ τὶς ἡμέρες τῶν Κριτῶν, ἔπεσαν στὴν ἀσέβεια καὶ λύπησαν πάρα πολὺ τὸν ὑπαρασπιστή τους Θεὸ ἐπειδὴ προσκολλήθηκαν στὰ εἴδωλα καὶ προσκύνησαν τὰ ἔργα τῶν χεριῶν τους. Γι' αὐτὸ τὸ λόγο παραδόθηκαν στοὺς Μαδιηναίους, οἱ ὁποῖοι καταλήστευαν ὅλη τὴ χώρα τους, διαρπάζοντας πόλεις καὶ χωριὰ καὶ τοὺς καρποὺς ἀπὸ τὰ χωράφια, καὶ προκάλεσαν τόσο μεφάλο φόβο στοὺς ἄθλιους, ὥστε ἤθελαν καὶ σὲ πέτρες νὰ κατοικοῦν καὶ σὲ δύσβατα ὄρη καὶ νὰ καταφεύγουν σὲ σπήλαια καὶ νὰ ὑποφέρουν ἀπὸ σκληρὴ καὶ μακροχρόνια πεῖνα. Ἀφοῦ ταλαιπωρήθηκαν ὄχι καὶ λίγο, τοὺς ἐλέησε ὁ Θεός, καὶ

τρίως ἠλέει Θεός, εἶτα σέσωκεν αὐτοὺς διὰ χειρὸς Γεδεών, ὃς νενίκηκε τοὺς Μαδιηναίους, ἠλευθέρου τε τὸν Ἰσραὴλ τῆς ἐπηρτημένης αὐτοῖς ἀνάγκης καὶ ῥάβδου. Οὕτω τοίνυν διεσκέδασεν ὁ Κύριος τὴν τῶν ἀπαιτούντων ῥάβδον, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. Ὡς γὰρ ἐρρύσατο τότε τοὺς ταῖς ἀφορήτοις πλεονεξίαις ἐνησχημένους, τὸ πλεονεκτοῦν ἐξελάσας ἔθνος, οὕτω σέσωκε τοὺς ἐξ ἐθνῶν, τὴν τῶν ἀπαιτούντων ἐλάσας ῥάβδον. Ἀπαιτοῦντας δέ φησιν, αὐτόν τε τὸν Σατανᾶν καὶ τὰ δαιμόνια, οἷς ὁ σκοπὸς καὶ ἡ πᾶσα σπουδὴ τὸ ἀπαιτεῖν ἀνθρώπους καθάπερ τινὰ δασμόν, ἢ τέλος τὰς συνήθεις ἁμαρτίας. Ζητοῦσι γὰρ πάντως, ἀπὸ μὲν τοῦ πορνεύειν εἰωθότος τὴν πορνείαν, ἀπὸ δὲ τοῦ κλέπτειν τὴν κλεψίαν, ἤγουν τὸ λωποδυτεῖν ἁπλῶς, καὶ ἐφ' ἑκάστου τῶν ἐν πάθεσιν ὄντων τὰ αὐτῷ συνήθη καὶ φίλα. Ὅθεν, οἶμαι, τὸ Γράμμα τὸ ἱερὸν μακαρίζει τινάς, «ὡς μὴ ἀκούσαντας τὴν τοῦ φορολόγου φωνήν».

Στίχ. 6-7. «Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετ' ἀλλαγῆς ἀποτίσουσιν· καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱός, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος. Ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγίειαν αὐτῶν. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔσται ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα».

Κέκληται μὲν εἰς ἐπίγνωσιν τοῦ Ἐμμανουὴλ διὰ τῶν ἁγίων ἀποστόλων τὸ κατάλειμμα τοῦ Ἰσραήλ, κέκληνται δὲ

65. Γιὰ περισσότερα διάβασε τὸ βιβλίο τῶν Κριτῶν, κεφ. 6 καὶ 7.

τέλος τοὺς ἔσωσε μὲ τὶς ἐνέργειες τοῦ Γεδεών, ὁ ὁποῖος νίκησε τοὺς Μαδιηναίους κι ἐλευθέρωσε τοὺς Ἰσραηλῖτες ἀπὸ τὴν καταπίεση καὶ τὴ ῥάβδο ποὺ τοὺς ἐπέφερε τὰ πλήγματα[65]. Ἔτσι λοιπὸν συνέτριψε ὁ Κύριος τὴ ῥάβδο τῶν ἐκβιαστῶν, ὅπως τὴν ἡμέρα τῆς συντριβῆς τῆς Μαδιάμ. Ὅπως δηλαδὴ ἔσωσε τότε ἐκείνους ποὺ εἶχαν παραδοθεῖ σὲ ἀνυπόφορη ἀπληστία ἐκδιώκοντας τὸ ἄπληστο ἔθνος, ἔτσι ἔσωσε καὶ τοὺς προερχόμενους ἀπὸ τοὺς ἐθνικοὺς ἀποτινάζοντας ἀπὸ πάνω τους τὴ ῥάβδο τῶν καταπιεστῶν. Ἀπαιτητὲς βέβαια λέγει τὸν ἴδιο τὸν Σατανᾶ καὶ τὰ δαιμόνια, τῶν ὁποίων ὁ σκοπὸς καὶ ὅλη ἡ φροντίδα τους εἶναι νὰ ἀπαιτοῦν μὲ ἀπληστία ἀπὸ τοὺς ἀνθρώπους σὰν κάποιο δασμὸ ἢ φόρο τὶς συνηθισμένες ἁμαρτίες. Ζητοῦν δηλαδὴ ὁπωσδήποτε ἀπὸ τὸν συνηθισμένο νὰ πορνεύει τὴν πορνεία, ἀπὸ τὸν συνηθισμένο νὰ κλέβει τὴν κλοπή, ἢ γενικὰ τὴ λαποδυσία, καὶ ἀπὸ τὸν καθένα ποὺ εἶναι παραδομένος μὲ κάποιο πάθος τὰ συνηθισμένα καὶ ἀγαπητὰ σ᾽ αὐτόν. Γι᾽ αὐτό, νομίζω, ἡ ἁγία Γραφὴ μακαρίζει κάποιους, «ποὺ δὲν ἄκουσαν τὴ φωνὴ τοῦ φοροεισπράκτορα»[66].

Στίχ. 5-7. «Γιατὶ κάθε ἐνδυμασία ποὺ ἔχουν μαζέψει μὲ ἀπάτη καὶ κάθε φόρεμα θὰ τὸ πληρώσουν μὲ ἀντάλλαγμα, καὶ θὰ θέλουν καλύτερα νὰ τοὺς κάψει ἡ φωτιά. Γιατὶ γεννήθηκε σ᾽ ἐμᾶς παιδὶ καὶ μᾶς δόθηκε υἱός, ἡ ἐξουσία τοῦ ὁποίου ὑπάρχει σ᾽ αὐτὸν ἀπὸ τὴν ἀρχὴ ἐπάνω στοὺς ὤμους του καὶ τὸ ὄνομά του εἶναι, Ἀγγελιοφόρος τῆς μεγάλης βουλῆς. Γιατὶ ἐγὼ θὰ φέρω εἰρήνη στοὺς ἄρχοντες, εἰρήνη καὶ ὑγεία σ᾽ αὐτούς. Εἶναι μεγάλη ἡ ἐξουσία του καὶ ἡ εἰρήνη του δὲν θὰ ἔχει ὅρια. Θὰ καθίσει ἐπάνω στὸν θρόνο τοῦ Δαβίδ, γιὰ νὰ ἀποκαταστήσει τὴ βασιλεία του καὶ νὰ τὴ βοηθήσει μὲ δικαιοσύνη καὶ ὀρθὲς ἀποφάσεις ἀπὸ τώρα καὶ ὡς τὸ τέλος τῶν αἰώνων. Αὐτὰ θὰ τὰ κατορθώσει ὁ ζῆλος τοῦ Κυρίου τῶν δυνάμεων».

Κλήθηκε βέβαια σὲ ἐπίγνωση τοῦ Ἐμμανουὴλ μέσω τῶν ἁγίων ἀποστόλων τὸ ὑπόλειμμα τῶν Ἰσραηλιτῶν, κλήθηκαν ὅμως

66. Ἰώβ 3, 18.

καὶ τὰ ἔθνη. Καὶ γοῦν ἔφασκεν· «Χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ»· εἶτα τούτοις ἐπήγαγεν, «Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, φῶς εἶδε μέγα», τὸ διὰ Χριστοῦ δηλονότι καταφωτίζοντος νοητῶς, οὐχ ἓν ἔθνος ἔτι τὸ ἐξ Ἰσραήλ, σύμπασαν δὲ μᾶλλον τὴν ὑπ' οὐρανόν. Ὅτι ἔμελλον οἱ πεφωτισμένοι τῆς τοῦ διαβόλου σκαιότητος ἀποδύσασθαι τὸν ζυγόν, διαφυγεῖν τε τὴν ῥάβδον, πεπληροφόρηκε προτιθείς· «Διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν». Ἀλλ' ὁρῶμεν ὅτι τοῖς μὲν τῇ κτίσει λελατρευκόσι καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν προσκεκυνηκόσιν, ὁ τῆς διαβολικῆς σκαιότητος ἐπέρριπτο ζυγός, τοῖς γε μὴν ἐξ Ἰσραὴλ τὸ τοῦ νόμου δυσδιακόμιστον ἄχθος καὶ δύσοιστον ἀληθῶς φορτίον. Καὶ γοῦν οἱ μακάριοι μαθηταί, τοῖς μετὰ τὴν πίστιν ἀναπείθουσί τινας τὰ ἐν νόμῳ τηρεῖν ἐπετίμων λέγοντες· «Καὶ νῦν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ἡμεῖς, οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι;» Δυσφόρητος οὖν ἄγαν τοῖς ἐξ Ἰσραὴλ ὁ τοῦ νόμου ζυγός, καὶ πρός γε τοῦτο τὸ ἔτι φορτικώτερον, ἡ τῶν Φαρισαίων σκαιότης συνέτριβεν οὐ μετρίως συνθραύουσα ταῖς ἀπληστίαις. Ἐρασιχρήματοι γὰρ οἱ τῆς Ἰουδαίων συναγωγῆς ἡγούμενοι, καὶ σκοπὸν ἔχοντες ἕνα, τὸ πανταχόθεν συλλέγειν καὶ καταβιάζεσθαι τοὺς ὑπὸ χεῖρα λαούς.

Οὐκοῦν πρέποι ἄν, καὶ μάλα ὀρθῶς, καὶ περί γε τῶν ἐξ Ἰσραήλ· «Ὅτι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν». «Ῥάβδον» δέ, κατὰ τὸ εἰκός, τὴν ἐκ τῶν ἡγουμένων ὀνομάζει πλεονεξίαν, διάτοι τὸ ἀπονεῦσαι δεινῶς εἰς φιλοκερδίας. Ταύτης ἕνεκα τῆς αἰτίας, οἱ δείλαιοι, καὶ αὐτὸν ἀπεκτόνασι τὸν Υἱόν. Καίτοι γὰρ ἰδόντες ὅτι αὐτός ἐστιν ὁ κληρονόμος, εἶπαν ἐν ἑαυτοῖς, φησίν· «Δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ σχῶμεν

67. Πράξ. 15, 10.

καὶ τὰ ἔθνη. Γιατὶ ἔλεγε· «Χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ»· ἔπειτα πρόσθεσε σ᾽ αὐτά· «Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ποὺ βρίσκεται μέσα στὸ σκοτάδι εἶδε μεγάλο φῶς», τὸ φῶς ποὺ μέσω τοῦ Χριστοῦ καταφωτίζει νοητά, ὄχι πιὰ ἕνα ἔθνος, τὸ Ἰσραηλιτικό, ἀλλὰ μᾶλλον ὅλη τὴν ὑφήλιο. Ὅτι βέβαια ἐπρόκειτο ὅσοι εἶχαν φωτισθεῖ ν᾽ ἀποτινάξουν τὸν ζυγὸ τῆς βαναυσότητας τοῦ διαβόλου καὶ νὰ διαφύγουν τὴν ἐξουσία του, μᾶς τὸ πληροφόρησε προσθέτοντας· «Γιατὶ θ᾽ ἀφαιρεθεῖ ὁ ζυγὸς ποὺ εἶναι περασμένος ἐπάνω του καὶ ἡ ράβδος ποὺ πιέζει τὸν τράχηλό τους». Βλέπομε ὅμως ὅτι σὲ ἐκείνους ποὺ λάτρευσαν τὴν κτίση καὶ προσκύνησαν τὰ ἔργα τῶν ἴδιων τῶν χεριῶν τους φορτωνόταν ὁ ζυγὸς τῆς διαβολικῆς βαναυσότητας, ἐνῶ στοὺς Ἰσραηλῖτες τὸ δυσκολομετακόμιστο βάρος καὶ ἀληθινὰ ἀβάστακτο φορτίο. Γι᾽ αὐτὸ οἱ μακάριοι μαθητὲς ἐπιτιμοῦσαν ἐκείνους ποὺ ἤθελαν νὰ πείσουν κάποιους μετὰ τὴν πίστη νὰ τηροῦν τὶς διατάξεις τοῦ νόμου, λέγοντας· «Καὶ τώρα γιατί πειράζετε τὸν Θεὸ βάζοντας ζυγὸ στὸν τράχηλο τῶν μαθητῶν, τὸν ὁποῖο οὔτε ἐμεῖς οὔτε καὶ οἱ πατέρες μας μπορέσαμε νὰ σηκώσουν;»[67]. Ἦταν λοιπὸν ὑπερβολικὰ ἀβάστακτος ὁ νόμος γιὰ τοὺς Ἰσραηλῖτες, καὶ ἐκτὸς ἀπὸ αὐτὸ τὸ ἀκόμα πιὸ ἀνυπόφορο, ἡ βαναυσότητα τῶν Φαρισαίων τοὺς συνέτριβε ὄχι καὶ λίγο μὲ τὶς ἀπληστίες της. Γιατὶ ἦταν φιλοχρήματοι οἱ ἡγέτες τῆς Ἰουδαϊκῆς συναγωγῆς, καὶ εἶχαν ἕνα σκοπό, τὸ νὰ μαζεύουν ἀπὸ παντοῦ χρήματα καὶ νὰ καταβιάζουν τὸν κόσμο ποὺ εἶχαν κάτω ἀπὸ τὴν ἐξουσία τους.

Ταιριάζουν λοιπὸν αὐτά, καὶ πολὺ ὀρθά, καὶ στοὺς Ἰσραηλῖτες· γιατὶ λέγει· «Θ᾽ ἀφαιρεθεῖ ὁ ζυγὸς ποὺ εἶναι τοποθετημένος ἐπάνω τους καὶ ἡ ράβδος ποὺ πιέζει τὸν τράχηλό τους». «Ράβδο» βέβαια, ὅπως εἶναι εὔλογο, ὀνομάζει τὴν πλεονεξία τῶν ἡγετῶν, ἐπειδὴ εἶχαν ἀποκλίνει φοβερὰ στὸ κυνήγι τοῦ κέρδους. Γι᾽ αὐτὴ τὴν αἰτία, οἱ δυστυχεῖς, σκότωσαν καὶ τὸν ἴδιο τὸν Υἱό. Μολονότι δηλαδή, λέγει, γνώριζαν ὅτι αὐτὸς ἦταν ὁ κληρονόμος, εἶπαν μέσα τους· «Ἐμπρός, ἂς τὸν σκοτώσομε καὶ ἂς πάρομε τὴν

ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ». Ὅτι τοίνυν δυσσεβῆ καὶ ἀνόσιον ἔχοντες τὸν ἐπὶ τῷδε σκοπόν, ἥδιστα ἂν τῶν ὄντων αὐτοῖς ἁπάντων ὑπέμειναν τὴν ζημίαν, ἢ ἴδον ἐπιλάμψαντα τῷ κόσμῳ τὸν Ἐμμανουήλ, ὑπεμφαίνει λέγων· «Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν». Ἐκ δόλου μέν γὰρ καὶ ἀπάτης καὶ ἀπὸ τοῦ κρίνειν οὐκ ὀρθῶς, τὴν τῶν χρημάτων ἄθροισιν ἐποιήσαντο, φησίν· ἀλλ' ἡδὺ καὶ φίλον αὐτοῖς, καὶ μέχρι αὐτῆς τῆς περιστολῆς καὶ τῶν ἱματίων μετὰ καταλλαγῆς, τοῦτ' ἔστι μετὰ προσθήκης, ἀποπέμψασθαι καὶ ἀποβαλεῖν, μᾶλλον δέ φησιν ἠθέλησαν καταφλεχθῆναι καὶ πυρί, δυσφοροῦντες ἄγαν, ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱός. Πεπιστευμένοι γὰρ τὸν δεσποτικὸν ἀμπελῶνα, τοὺς καρποὺς ἠθέλησαν ἔχειν αὐτοί καὶ μόνοι, προσκομίζοντες τῷ δεσπότῃ τὸ σύμπαν οὐδέν.

Παιδίον δὲ λέγων γεγεννῆσθαι, διελέγχει σαφῶς τῆς τῶν Μανιχαίων δόξης τὸ ἀδρανές, οἳ παραιτοῦνται λέγειν, ὅτι γέγονε σὰρξ ὁ Λόγος, τοῦτ' ἔστι τὴν ἡμῶν πεφόρηκε σάρκα δι' ἡμᾶς οἰκονομικῶς. Ἀλλ' εἰ βούλονται φρονεῖν ὀρθῶς καὶ τῆς ἑαυτῶν δυσβουλίας καταψηφίζεσθαι, μὴ ἀτιμαζέτωσαν τὰς τοῦ προφήτου φωνάς, παιδίον ἡμῖν γεγεννῆσθαι λέγοντος Ὅπου γὰρ τόκος ἐκ γυναικὸς ἀληθῶς, ποῖον ἂν ἔχει τόπον τὸ δοκήσει καὶ σκιᾷ καὶ ὡς ἐν μόναις εἰπεῖν φαντασίαις γεγενῆσθαι τὴν ἐπιδημίαν; Πλὴν ἡμῖν δεδόσθαι, φησί, τὸν υἱόν. Γέγονε γὰρ ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος οὐ δι' ἑαυτόν, ἀνακαινιῶν δὲ μᾶλλον τὰ καθ' ἡμᾶς εἰς τὸ ἀπ' ἀρχῆς καὶ τῆς ἁπάντων ζωῆς ἀντίλυτρον τὸ ἴδιον σῶμα προσκομιῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Γεγενῆσθαι δέ φησι τὴν ἀρχὴν αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ δοκεῖ μέν τισι τοιοῦτόν τι νοεῖν.

κληρονομία του»[68]. Ὅτι λοιπόν, ἐπειδὴ εἶχαν ἀσεβῆ κι ἀνόσιο σκοπὸ σχετικὰ μ᾽ αὐτό, μὲ πάρα πολὺ εὐχαρίστηση θὰ ὑπέμεναν τὴ ζημία ὅλων ὅσα εἶχαν, παρὰ νὰ δοῦν νὰ λάμπει στὸν κόσμο ὁ Ἐμμανουήλ, τὸ ὑποδηλώνει λέγοντας· «Γιατὶ κάθε ἔνδυμα ποὺ μάζεψαν μὲ ἀπάτη καὶ κάθε φόρεμα θὰ τὸ πληρώσουν μὲ ἀντάλλαγμα, καὶ θὰ θελήσουν νὰ γίνουν μᾶλλον τροφὴ τῆς φωτιᾶς. Γιατὶ γεννήθηκε παιδὶ γιὰ μᾶς, καὶ μᾶς δόθηκε υἱός». Γιατὶ ἀπὸ δόλο καὶ ἀπάτη, λέγει, καὶ ἀπὸ τὴ μὴ ὀρθὴ κρίση τους ἔκαναν τὸ μάζεμα τῆς περιουσίας τους, ἀλλὰ ἐνῶ θὰ ἦταν εὐχάριστο κι ἀγαπητὸ σ᾽ αὐτοὺς καὶ μέχρι τὴν ἴδια ἐνδυμασία καὶ τὰ φορέματά τους μὲ ἀντάλλαγμα, δηλαδὴ μὲ ἐπαύξηση, νὰ πετάξουν καὶ ν᾽ ἀποβάλουν, αὐτοὶ μᾶλλον, λέγει, θέλησαν νὰ γίνουν τροφὴ τῆς φωτιᾶς, δυσφορώντας ὑπερβολικά, γιατὶ γεννήθηκε σὲ μᾶς παιδί, γιατὶ μᾶς δόθηκε υἱός. Γιατί, ἐνῶ τοὺς εἶχε δοθεῖ πρὸς φύλαξη ὁ δεσποτικὸς ἀμπελώνας, θέλησαν νὰ ἔχουν τοὺς καρποὺς αὐτοὶ καὶ μόνοι καὶ νὰ μὴ δώσουν στὸν ἰδιοκτήτη ἀπολύτως τίποτε.

Λέγοντας ὅμως ὅτι γεννήθηκε παιδί, ἐλέγχει μὲ σαφήνεια τὴ σαθρότητα τῆς γνώμης τῶν Μανιχαίων, οἱ ὁποῖοι ἀρνοῦνται νὰ ποῦν, ὅτι ὁ Λόγος ἔγινε σάρκα, δηλαδὴ φόρεσε κατ᾽ οἰκονομία γιὰ χάρη μας τὴ δική μας σάρκα. Ἀλλὰ ἂν θέλουν νὰ σκέπτονται ὀρθὰ καὶ νὰ καταψηφίζουν τὴν κακή τους ἀντίληψη, νὰ μὴν ἀτιμάζουν τοὺς λόγους τοῦ προφήτη, ποὺ λέγει ὅτι γεννήθηκε γιὰ μᾶς παιδί. Γιατὶ ὅπου ὑπάρχει ἀληθινὴ γέννηση ἀπὸ γυναίκα, ποιὰ θέση ἔχει τὸ φαινομενικὰ καὶ ὑπὸ μορφὴ σκιᾶς καὶ νὰ λέμε ὅτι ἡ ἐπιδημία ἔγινε μόνο κατὰ φαντασία; Ὡστόσο λέγει ὅτι γιὰ μᾶς δόθηκε ὁ υἱός. Γιατὶ ἔγινε ἄνθρωπος ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ, ὄχι γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ νὰ ἀνακαινίσει μᾶλλον τὰ σχετικὰ μὲ μᾶς καὶ νὰ τὰ ἐπαναφέρει στὴν ἀρχική τους κατάσταση καὶ ἀντύλυτρο γιὰ τὴ ζωὴ ὅλων νὰ προσφέρει τὸ ἴδιο του τὸ σῶμα ὡς ὀσμὴ εὐωδίας στὸν Θεὸ καὶ Πατέρα. Ἐπίσης λέγει ὅτι ἡ ἐξουσία του ὑπάρχει ἐπάνω στὸν ὦμο του, καὶ νομίζουν κάποιοι

68. Ματθ. 21, 38.

Ἐπειδὴ γάρ, φησίν, ἑαυτῷ τὸν σταυρὸν εἰς ὦμους ἔχων ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, πρὸς τὸ σωτήριον εἴη πάθος, ὑψώθη δὲ καὶ κεκράτηκε τῆς ὑπ' οὐρανὸν δι' αὐτοῦ, ταύτῃ τοι καὶ γενέσθαι λέγεται ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ. Ἔχει δὲ τὸ πιθανὸν ὁ λόγος, καὶ οὐκ ἀτιμαστέον τὴν ἔννοιαν ὀρθῶς ἔχουσαν, κἂν εἰ ἔλοιτό τις ἐπαινεῖν αὐτήν. Ἔοικε δὲ τὸν ὦμον ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος τὴν ἰσχὺν βούλεσθαι δηλοῦν. Πᾶσα γὰρ ἡμῶν ἰσχὺς ἐν βραχίοσί τε καὶ ὤμοις. Καὶ γοῦν εἴρηται δεξιὰ καὶ βραχίων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός. «Κύριε» γάρ, φησί, «τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;».

Ἦρξε τοίνυν τῆς ὑπ' οὐρανὸν διὰ τῆς ἑαυτοῦ δυνάμεως ὁ Χριστός· ἰσχὺς γάρ ἐστι τοῦ Θεοῦ καὶ Πατρός. Κέκληται δὲ καὶ «μεγάλης βουλῆς Ἄγγελος», δῆλον δὲ ὅτι τοῦ Θεοῦ καὶ Πατρός. Καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ· «Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεός, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ». Καὶ αὐτὸς δέ πού φησι τοῖς ἁγίοις ἀποστόλοις· «Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιήσητε ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος. Ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν». Μεγάλης οὖν ἄρα βουλῆς ἄγγελον ταύτης τε ἕνεκα τῆς αἰτίας ὀνομάζει τὸν Ἐμμανουήλ. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, αὐτός τε ἀνετίθει τῷ Θεῷ καὶ Πατρὶ τὴν ἐφ' ἅπασι τοῖς παρ' αὐτοῦ δρωμένοις ἐνέργειάν τε καὶ δύναμιν, καὶ αὐτὸς δὲ διὰ τούτων ἡμῖν ὁ Θεὸς καὶ Πατήρ, αὐτὸ δὴ τοῦτο παραδηλοῖ λέγων· «Ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγίειαν αὐτῶν». Τὴν μὲν οὖσαν εἰρήνην τοῖς ἁγίοις ἀποστόλοις ὡς ἰδίαν ἐδίδου Χρι-

69. Ἡσ. 53, 1. 70. Ἰω. 3, 33.

ὅτι ἐννοεῖ κάτι τέτοιο. Ἐπειδὴ δηλαδή, λέγει, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἔχοντας στοὺς ὤμους του τὸν σταυρό του βάδισε πρὸς τὸ σωτήριο πάθος καὶ ὑψώθηκε πάνω στὸ σταυρὸ καὶ ἔγινε κυρίαρχος τῆς ὑφηλίου μὲ αὐτόν, γι᾽ αὐτὸ λοιπὸν καὶ λέγεται ὅτι ἡ ἐξουσία του βρίσκεται ἐπάνω στὸν ὦμο του. Ἔχει τὴν πιστικότητά του ὁ λόγος καὶ δὲν πρέπει τὴν ἔννοια ποὺ εἶναι ὀρθὴ νὰ τὴν ὑποτίμησομε, ἂν θελήσει νὰ τὴν ἐπαινέσει κάποιος. Φαίνεται ὅτι ὁ προφητικὸς λόγος ἐδῶ θέλει τὸν ὦμο νὰ δηλώνει τὴ δύναμη. Γιατὶ ὅλη ἡ δύναμή μας βρίσκεται στοὺς βραχίονες καὶ στοὺς ὤμους. Γι᾽ αὐτὸ εἰπώθηκε ὁ Υἱὸς δεξιὰ καὶ βραχίων τοῦ Θεοῦ καὶ Πατέρα. Γιατὶ λέγει· «Κύριε, ποιὸς πίστεψε σ᾽ αὐτὰ ποὺ ἀκούσαμε ἀπὸ σένα καὶ ὁ βραχίονας (ἡ δύναμη) τοῦ Κυρίου σὲ ποιὸν φανερώθηκε;»[69].

Ἔγινε λοιπὸν ὁ Χριστὸς κυρίαρχος τῆς ὑφηλίου μὲ τὴ δύναμή του, γιατὶ εἶναι ἡ δύναμη τοῦ Θεοῦ καὶ Πατέρα. Ὀνομάσθηκε ὅμως καὶ «Ἀγγελιοφόρος τῆς μεγάλης βουλῆς», δηλαδὴ τοῦ Θεοῦ καὶ Πατέρα. Καὶ θὰ τὸ ἐπιβεβαιώσει αὐτὸ ὁ σοφὸς Ἰωάννης λέγοντας· «Ἐκεῖνος ποὺ δέχεται τὴ μαρτυρία του, βεβαίωσε ὅτι ὁ Θεὸς ἀληθεύει. Γιατὶ αὐτὸς ποὺ ἔστειλε ὁ Θεὸς μεταδίδει τὰ λόγια τοῦ Θεοῦ»[70]. Καὶ ὁ ἴδιος λέγει κάπου στοὺς ἁγίους ἀποστόλους· «Ἐσεῖς εἶστε φίλοι μου, ἂν κάνατε ὅσα ἐγὼ σᾶς παραγγέλλω. Δὲν σᾶς λέγω πιὰ δούλους, γιατὶ ὁ δοῦλος δὲν γνωρίζει τί κάνει ὁ κύριός του. Ἐγὼ σᾶς ὀνόμασα φίλους, γιατὶ σᾶς ἔκανα γνωστὰ ὅλα ὅσα ἄκουσα ἀπὸ τὸν Πατέρα μου»[71]. Ἄρα λοιπὸν γι᾽ αὐτὴ τὴν αἰτία ὀνομάζει τὸν Ἐμμανουήλ, «Ἀγγελιοφόρο τῆς μεγάλης βουλῆς». Ὅταν ὅμως ἔγινε ἄνθρωπος καὶ ὁ ἴδιος ἀπέδισε στὸν Θεὸ καὶ Πατέρα τὴν ἐνέργεια καὶ τὴ δύναμη γιὰ ὅλα ὅσα αὐτὸς ἔκανε, ἀλλὰ καὶ ὁ ἴδιος ὁ Θεὸς καὶ Πατέρας τὸ ἴδιο ἀκριβῶς παραδηλώνει μὲ αὐτὰ λέγοντας· «Γιατὶ ἐγὼ θὰ φέρω εἰρήνη στοὺς ἄρχοντες, εἰρήνη καὶ ὑγεία σ᾽ αὐτούς». Τὴν πραγματικὴ εἰρήνη βέβαια τὴν ἔδινε ὁ Χριστὸς ὡς δική του στοὺς ἁγίους ἀπο-

71. Ἰω. 15, 14-15.

στός. Ἔστι γὰρ αὐτοῦ πάντα τὰ τοῦ Πατρός, καὶ δὴ καὶ ἔφασκεν· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν».

Εἰ δὲ δὴ λέγοιτο καὶ αὐτὸς ὁ Ἐμμανουὴλ εἰρήνην καὶ ὑγίειαν λαβεῖν, νόει μὲν πάλιν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὐτεχνές. Ἐδέχετο γὰρ εἰρήνην τὴν ἀπὸ τοῦ κόσμου δηλονότι, προσάγοντος αὐτῷ σύμπαντας τοῦ Πατρός, καὶ εἰρηνεύειν πρὸς αὐτὸν ἀναπείθοντος, διά γε τοῦ προσκυνεῖν αὐτῷ καὶ τὸν τῆς βασιλείας αὐτοῦ δέχεσθαι ζυγόν. «Οὐ δεὶς γὰρ δύναται», φησίν, «ἐλθεῖν πρός μέ, ἐὰν μὴ ὁ Πατήρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν». Προσανακεκράγει δέ που καὶ ὁ σοφὸς Ἡσαΐας· «Ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι». Δέχεται μὲν οὖν τὴν εἰρήνην παρὰ τοῦ Πατρὸς κατὰ τόνδε τὸν τρόπον, ὡς ἔφην. Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Υἱόν· «Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας». Δέχεται δὲ καὶ ὑγίειαν, τοῦτ' ἔστι τὴν ἐκ νεκρῶν ἀναβίωσιν. Ἐπειδὴ γὰρ ἀσθενῆσαι λέγεται βραχύ, διά τοι τὸ ἐφεῖναι τῇ ἰδίᾳ σαρκὶ χάριτι Θεοῦ ὑπὲρ πάντων γεύσασθαι θανάτου, δέχεται τὴν ὑγίειαν, τοῦτ' ἔστι τὴν ἀναβίωσιν, καὶ τοῦτο πάλιν ἐνεργήσας αὐτός. Ἤγειρε γὰρ τὸν ἑαυτοῦ ναόν, αὐτὸς ὑπάρχων ἡ δύναμις τοῦ Πατρός. Εἰ γὰρ αὐτός ἐστιν ἡ ἀνάστασις καὶ ἡ ζωὴ τίνος ἂν ἐδεήθη πρὸς ζωοποίησιν ἡ ζωή; Καὶ εἰ τὰ τῶν ἑτέρων ἐγηγερκὼς ὁρᾶται σώματα δυνάμει πάλιν ἰδίᾳ, πῶς ἂν οὐκ ἀνέστησε καὶ πρό γε τῶν ἄλλων τὸ ἴδιον; Καίτοι φησὶ πρὸς Ἰουδαίους αὐτός· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν».

Ὅτι γὰρ ἀκλόνητος ἡ βασιλεία τοῦ Χριστοῦ καὶ τὸ ἐρηρεισμένον ἔχουσα διὰ παντός, διδάσκει, λέγων· «Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον».

---

72. Ἰω. 14,27. 73. Ἰω. 6,66.

στόλους. Γιατὶ ὅλα ὅσα ἀνήκουν στὸν Πατέρα εἶναι δικά του, καὶ γι᾽ αὐτὸ καὶ ἔλεγε· «Τὴν εἰρήνη τὴ δική μου σᾶς δίνω, τὴν εἰρήνη τὴ δική μου σᾶς ἀφήνω»[72].

Ἂν βέβαια λέγεται ὅτι καὶ ὁ ἴδιος ὁ Ἐμμανουὴλ ἔλαβε εἰρήνη καὶ ὑγεία, σκέψου πάλι τὴν σοφὴ ἐπινόηση τῆς ἔνσαρκης οἰκονομίας. Γιατὶ δεχόταν εἰρήνη, τὴν εἰρήνη δηλαδὴ ἀπὸ τὸν κόσμο, ὁδηγώντας ὁ Πατέρας ὅλους σ᾽ αὐτὸν καὶ πείθοντάς τους νὰ εἰρηνεύουν μαζί του μὲ τὸ νὰ τὸν προσκυνοῦν καὶ νὰ δέχονται τὸ ζυγὸ τῆς βασιλείας του. Γιατὶ λέγει· «Κανένας δὲν μπορεῖ νὰ ρθεῖ πρὸς ἐμένα, ἂν δὲν τὸν προσελκύσει ὁ Πατέρας μου ποὺ μ᾽ ἔστειλε»[73]. Φωνάζει βέβαια κάπου καὶ ὁ σοφὸς Ἡσαΐας· «Ἂς κάνομε εἰρήνη γιὰ χάρη του, ἂς κάνομε εἰρήνη ἐμεῖς οἱ προσερχόμενοι σ᾽ αὐτόν»[74]. Δέχεται λοιπὸν τὴν εἰρήνη ἀπὸ τὸν Πατέρα του μὲ τὸν τρόπο αὐτό, ὅπως εἶπα. Γιατὶ ἔχομε ἀκούσει ἀπὸ αὐτὸν νὰ λέγει πρὸς τὸν οὐράνιο Πατέρα του καὶ Θεό· «Αὐτοὺς ποὺ μοῦ ἔδωσες ἀπὸ τὸν κόσμο, ἦταν δικοί σου καὶ τοὺς ἔδωσες σ᾽ ἐμένα»[75]. Δέχεται ὅμως καὶ ὑγεία, δηλαδὴ τὴν ἀναβίωση ἀπὸ τοὺς νεκρούς. Ἐπειδὴ δηλαδὴ λέγεται ὅτι βρέθηκε γιὰ λίγο σὲ ἀδυναμία, γιὰ τὸν λόγο ὅτι ἄφησε τὴ σάρκα του μὲ τὴ χάρη τοῦ Θεοῦ νὰ γευθεῖ τὸν θάνατο γιὰ χάρη ὅλων, δέχεται τὴν ὑγεία, δηλαδὴ τὴν ἀναβίωση ἀπὸ τοὺς νεκρούς, καὶ τοῦτο πάλι τὸ ἐνέργησε ὁ ἴδιος. Γιατὶ ἀνέστησε τὸν ναό του, ἐπειδὴ αὐτὸς εἶναι ἡ δύναμη τοῦ Πατέρα. Γιατί, ἂν αὐτὸς εἶναι ἡ ἀνάσταση καὶ ἡ ζωή, ποιὸν θὰ χρειαζόταν ἡ ζωὴ γιὰ νὰ ζωοποιηθεῖ; Καὶ ἂν τὸν βλέπομε νὰ ἀναστaίνει τὰ σώματα τῶν ἄλλων μὲ τὴ δική του πάλι δύναμη, πῶς δὲν θὰ ἀνέστηνε καὶ πρὶν ἀπὸ τὰ ἄλλα τὸ δικό του; Καὶ πράγματι λέγει ὁ ἴδιος στοὺς Ἰουδαίους. «Γκρεμίστε αὐτὸν τὸν ναό, καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[76].

Ὅτι βέβαια εἶναι ἀκλόνητη ἡ βασιλεία τοῦ Χριστοῦ καὶ ἔχει αἰώνια τὴν ἑδραίωσή της, τὸ διδάσκει λέγοντας· «Ἡ ἐξουσία του εἶναι μεγάλη καὶ ἡ εἰρήνη του δὲν θὰ ἔχει ὅρια». Γιατὶ ἡ ἐξουσία

74. Ἡσ. 27, 5. 75. Ἰω. 17, 9. 76. Ἰω. 2, 19.

Ἦρξε γὰρ οὐκέτι μόνης τῆς Ἰουδαίας, ἁπάσης δὲ μᾶλλον τῆς ὑπ' οὐρανόν, καὶ τέλος οὐκ ἔσται τῆς παρ' ἡμῶν προσφερομένης αὐτῷ εἰρήνης. Εἰρηνεύομεν γὰρ πρὸς αὐτόν, αὐτῷ προσκυνοῦμεν, ὡς ἔφην, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τῷ Θεῷ καὶ Πατρί, καὶ τὴν τοῦ πολέμου πρόξενον ἁμαρτίαν ἐκ μέσου ποιεῖν, σπουδάζοντες. Ὅτι δὲ ἀφίκετο τὸ τῶν Ἰουδαίων ἐλευθερώσων ἔθνος, διδάσκει προτιθείς· «Ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον». Ἐπειδὴ δὲ ἀποχρώντως ἡμῖν τὸν περί γε τοῦ Ἐμμανουὴλ ἐποιήσατο λόγον ὁ μακάριος προφήτης τῆς ἐνανθρωπήσεως τὸν καιρὸν ἀποδίδωσι, λέγων· «Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα». Ποῖος δὲ ζῆλος καὶ ἐπὶ τίσιν ἀναγκαῖον εἰπεῖν. Ὁ μὲν γὰρ Δράκων ὁ ἀποστάτης ἥρπασε τὴν ὑπ' οὐρανὸν καὶ τοῖς ἰδίοις ὑπέθηκε σκήπτροις τὸν κατ' εἰκόνα Θεοῦ γενόμενον ἄνθρωπον. Ἦν οὖν ἄρα ζήλου παντὸς ἄξιον ἀληθῶς καὶ πλεονεξίας ἁπάσης ἀνάμεστον τὸ καθ' ἡμῶν γεγονός· ἠλευθέρωσε τοίνυν ὁ ζῆλος Κυρίου Σαβαὼθ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν. Καὶ καθ' ἕτερον δὲ τρόπον, παρεζήλωσαν αὐτὸν οἱ ἐξ Ἰσραὴλ ἐπ' οὐ θεοῖς καθὰ γέγραπται, καὶ ἐν τοῖς ματαίοις αὐτῶν, καὶ τελευτῶντες ἐσταύρωσαν τὸν Ἐμμανουήλ. Παρεζηλώθησαν ἐν τοῖς ἔθνεσι, καθά φησιν αὐτός· «Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς».

---

77. Ψαλμ. 77,58.

του δὲν περιορίσθηκε στὴν Ἰουδαία μόνο, ἀλλὰ ἁπλώθηκε σ' ὅλη τὴν ὑφήλιο, καὶ ἡ εἰρήνη ποὺ προσφέρεται ἀπὸ ἐμᾶς πρὸς αὐτὸν δὲν θὰ ἔχει τέλος. Γιατὶ ἔχομε εἰρήνη πρὸς αὐτόν, προσκυνοῦμε αὐτόν, ὅπως εἶπα, καὶ μέσω αὐτοῦ καὶ μὲ αὐτὸν τὸν ἴδιο τὸν Θεὸ καὶ Πατέρα, καὶ φροντίζομε νὰ βγάλομε ἀπὸ τὴ μέση τὴν ἁμαρτία ποὺ προκαλεῖ τὸν πόλεμο. Ὅτι πάλι ἦρθε γιὰ νὰ ἐλευθερώσει τὸ ἔθνος τῶν Ἰουδαίων τὸ διδάσκει προσθέτοντας τὰ ἑξῆς· «Καθισμένος ἐπάνω στὸν θρόνο τοῦ Δαβίδ, ὥστε νὰ ἀποκαταστήσει τὴ βασιλεία του καὶ νὰ τὴ βοηθήσει μὲ δικαιοσύνη καὶ ὀρθὲς ἀποφάσεις ἀπὸ τώρα καὶ μέχρι τὸ τέλος τῶν αἰώνων». Ἀφοῦ ὁ μακάριος προφήτης μᾶς μίλησε ἱκανοποιητικὰ γιὰ τὸν Ἐμμανουήλ, ὁμιλεῖ στὴ συνέχεια μὲ σαφήνεια γιὰ τὸν καιρὸ τῆς ἐνανθρώπησης, λέγοντας· «Αὐτὰ θὰ τὰ κάνει ὁ ζῆλος τοῦ Κυρίου τῶν δυνάμεων». Ποιὸς εἶναι ὅμως αὐτὸς ὁ ζῆλος καὶ γιὰ ποιὰ πράγματα ἀναφέρεται, εἶναι ἀνάγκη νὰ τὸ ποῦμε. Ὁ Δράκοντας δηλαδὴ ὁ ἀποστάτης ἅρπαξε τὴν ὑφήλιο καὶ ὑπέταξε κάτω ἀπὸ τὴν ἐξουσία του τὸν ἄνθρωπο ποὺ πλάσθηκε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ. Ἄρα λοιπὸν ἦταν ἄξιο ἀληθινὰ κάθε ζήλου καὶ γεμᾶτο ἀπὸ ἀπληστία τὸ εἰς βάρος μας γεγονός· ἐλευθέρωσε λοιπὸν ὁ ζῆλος τοῦ Κυρίου τῶν δυνάμεων τοὺς ἀνθρώπους ὅλης τῆς γῆς. Καὶ μὲ ἄλλο τρόπο· οἱ Ἰσραηλῖτες προκάλεσαν τὸ ζῆλο του (τὴ ζήλεια του) μὲ τὴ λατρεία ἐκ μέρους τους ἐκείνων ποὺ δὲν ἦταν θεοί, ὅπως ἔχει γραφεῖ[77], καὶ τῶν εἰδώλων τους, καὶ στὸ τέλος σταύρωσαν τὸν Ἐμμανουήλ. Ἔδειξαν τὸν ἴδιο ζῆλο μὲ τὰ ἔθνη, ὅπως λέγει ὁ ἴδιος· «Αὐτοὶ ἄναψαν τὴ ζήλεια μου μὲ τὴ λατρεία τους ἐκείνων ποὺ δὲν ἦταν θεοί, μὲ ἐξόργισαν μὲ τὰ εἴδωλά τους· θὰ τοὺς κάνω κι ἐγὼ νὰ γεμίσουν μὲ ζήλεια παραδίδοντάς τους σὲ ἔθνος εἰδωλολατρικό, θὰ τοὺς κάνω νὰ ἐξοργισθοῦν παραδίδοντάς τους σὲ ἔθνος ἀνόητο»[78].

78. Δευτ. 32, 21.

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΚΕΦ. 9, στίχ. 8-10. «Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακώβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ, καὶ γνώσεται πᾶς ὁ λαὸς τοῦ Ἐφραΐμ καὶ ἐγκαθήμενοι ἐν Σαμαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες· Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους καὶ κόψωμεν συκαμίνους καὶ κέδρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον».

Μακρὸς μὲν γέγονε τῷ προφήτῃ λόγος ὁ περί γε τοῦ Ἐμμανουήλ, ὃν διαπεράνας εὐπαλῶς, πάλιν ἐπάνεισιν ἐπὶ τὰ ἐν ἀρχαῖς· ἦσαν δὲ ταυτί· Ἐπῃτιᾶτο γὰρ λίαν τὸν Ἰσραήλ, ὡς ἀπειθοῦντά τε καὶ παροτρύνοντα τὸν ἀεὶ σεσωκότα Θεόν, ταύτης τε ἕνεκα τῆς αἰτίας, τοῖς ἐσχάτοις ἑαυτὸν ἐνιέντα κακοῖς· ἔφασκε γὰρ ὅτι «οὐκ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαώθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Καὶ ἐθυμώθη ὀργῇ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ ἐπάταξεν αὐτούς. Καὶ παρωξύνθη τὰ ὄρη καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ». Ὄρη δέ φησι τὰ παρωξυμμένα τοὺς τῶν Ἀσσυρίων βασιλέας· ὑπέροπτοι γὰρ καὶ ἀλαζόνες καὶ ὑψηλοὶ τὰς φρένας γεγόνασιν, οἳ καὶ πᾶσαν ἐκ βάθρων κατασείσαντες τὴν Σαμαρείαν, εἷλον αἰχμάλωτον τὸν Ἰσραὴλ καὶ ἀπεκόμισαν εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων.

Διαπεράνας τοίνυν, ὡς ἔφην, τὴν ἀνάρρησιν τοῦ Ἐμμανουήλ, ἕπεται δὴ πάλιν τῷ ἐν ἀρχαῖς προτεθέντι σκοπῷ, καὶ τῆς Σαμαρείας τὴν δήωσιν ἀφηγεῖται λέγων· «Θάνατον

---

79. Ἡσ. 5, 24-25.

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΚΕΦ. 9, στίχ. 8-10. «Ἔστειλε θάνατο ὁ Κύριος στοὺς ἀπογόνους τοῦ Ἰακὼβ καὶ βρῆκε καὶ τὸν Ἰσραήλ, καὶ θὰ μάθει ὅλος ὁ λαὸς τοῦ Ἐφραΐμ καὶ ὅσοι κατοικοῦν στὴ Σαμάρεια, οἱ ὁποῖοι λένε περιφρονητικὰ καὶ ἀλαζονικά· Ἔπεσαν οἱ πλίνθοι, ἀλλὰ ἐλᾶτε νὰ πελεκήσομε πέτρες, κι ἀφοῦ κόψομε συκαμινιὲς καὶ κέδρους, ἂς οἰκοδομήσομε γιὰ μᾶς πύργο».

Ὁ προφήτης ἔκανε μακρὸ λόγο γιὰ τὸν Ἐμμανουήλ, τὸν ὁποῖο ἀφοῦ ὁλοκλήρωσε ὁμαλά, ἐπανέρχεται στὰ ἀρχικὰ πάλι ποὺ ἦταν αὐτὰ ἐδῶ· Κατηγοροῦσε δηλαδὴ πολὺ τὸν Ἰσραήλ, ἐπειδὴ ἦταν ἀνυπάκουος καὶ ἐξόργιζε τὸν Θεὸ ποὺ πάντοτε τὸν εἶχε σώσει, καὶ γι᾽ αὐτὴ τὴν αἰτία τοὺς εἶχε ρίξει στὰ ἔσχατα κακά. Ἔλεγε λοιπὸν ὅτι «δὲν θέλησαν τὸ νόμο τοῦ Κυρίου τῶν δυνάμεων, ἀλλὰ περιφρόνησαν τὸν λόγο τοῦ ἁγίου τοῦ Ἰσραὴλ καὶ ἐξόργησαν αὐτόν. Καὶ κυριεύθηκε ἀπὸ μεγάλη ὀργὴ ὁ Κύριος ἐναντίον τοῦ λαοῦ του καὶ σήκωσε τὸ χέρι του ἐπάνω τους καὶ τοὺς χτύπησε. Ἐξοργίσθηκαν τὰ ὄρη καὶ τὰ πτώματα τῶν φονευθέντων ἔγιναν σὰν τὴν κοπριὰ στὴ μέση τοῦ δρόμου»[79]. Ὄρη ἐξοργισμένα ὀνομάζει τοὺς βασιλεῖς τῶν Ἀσσυρίων. Γιατὶ εἶχαν γίνει ὑπερόπτες καὶ ἀλαζόνες καὶ ὑπερήφανοι, οἱ ὁποῖοι, ἀφοῦ συγκλόνισαν ἀπὸ τὰ θεμέλια ὅλη τὴ Σαμάρεια, αἰχμαλώτισαν τοὺς Ἰσραηλῖτες καὶ τοὺς μετέφεραν στὰ ὄρη τῶν Περσῶν καὶ τῶν Μήδων.

Ἀφοῦ ὁλοκλήρωσε, ὅπως εἶπα, τὴν ἀνακήρυξη γιὰ τὸν Ἐμμανουήλ, γυρίζει πάλι στὸ σκοπὸ ποὺ ἔθεσε στὴν ἀρχὴ καὶ διηγεῖται τὴ λεηλάτηση τῆς Σαμάρειας λέγοντας· «Ἀπέστειλε ὁ

ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ καὶ ἦλθεν ἐπ' Ἰσραήλ». Ἰστέον δὲ ὅτι καὶ ἡ τῶν Ἑβραίων ἔκδοσις καὶ ἕτεροι δὲ τῶν ἑρμηνευτῶν, ἀντὶ τοῦ «θανάτου» τεθείκασι "λόγον". «Λόγον» γάρ, φησίν, «ἀπέστειλεν ὁ Κύριος ἐπὶ Ἰακὼβ καὶ ἦλθεν ἐπὶ Ἰσραήλ». Λόγον δὲ ὁποῖον; Καταδικάζοντα δηλονότι τῶν ἠσεβηκότων, καὶ ὑποτιθέντα ποιναῖς τοὺς αὐτὸν μὲν καταλελοιπότας, προσκεκυνηκότας τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Εἰτοῦν λέγοιτο, «Θάνατον ἀπέστειλε ὁ Θεός», εἰτοῦν "Ἀρὰν" ἢ "λόγον", οὐκ ἀσύμβατος ἔσται τῶν ἐννοιῶν ἡ δύναμις, βαδιεῖται δὲ μᾶλλον εἰς ἕνα τε καὶ τὸν αὐτὸν σκοπόν. Διαμέμνηταί γε μὴν ἱστορίας ἐν τούτοις, ἣν ἐρῶ διὰ βραχέων. Ἔσται γὰρ οὕτω καὶ μόλις καταφανὲς τὸ δηλούμενον. Βεβασιλεύκασι τοίνυν κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τὸν Ἰούδαν, ἤτοι τὸν Ἰακώβ, ἄνδρες ἀγαθοί τε καὶ πονηροί, οὐδὲν δὲ ἧττον καὶ ἐπὶ τὸν Ἰσραὴλ οἱ ἐκ φυλῆς Ἐφραΐμ ἐν τῇ Σαμαρείᾳ. Ἦν γὰρ ἐκ φυλῆς Ἐφραΐμ καὶ ὁ πρῶτος αὐτῶν βεβασιλευκὼς Ἱεροβοὰμ ὁ τοῦ Νάβατ, ὃς καὶ ταῖς δαμάλεσιν αὐτοῦ ταῖς χρυσαῖς ἀνέπεισε προσκυνεῖν.

Τῶν τοίνυν κατὰ καιροὺς βεβασιλευκότων ἔν τε τοῖς Ἱεροσολύμοις καὶ ἐν τῇ Σαμαρείᾳ πλεῖστοι γεγόνασιν, ὡς ἔφην, Θεῷ προσκρούοντες ἀδεῶς, βέβηλοί τε καὶ εἰδωλολάτραι, προσκυνοῦντες τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ξύλοις τε καὶ λίθοις ἀνοσίως λελατρευκότες, ὁποῖός τις ἦν καὶ οὗτος ὁ Ἄχαζ, ὃς καὶ τὰ ἴδια τέκνα διήγαγε διὰ πυρός, πλεῖστά τε ὅσα κατὰ τὴν Ἱερουσαλὴμ εἰργάσατο κακά, παρανενόμηκε δὲ καὶ εἰς αὐτὸν τὸν θεῖον νεών. Ἐπειδὴ δὲ γέγονεν ἐκ μέσου θανάτῳ κατειλημμένος, διαδέχεται τὸ σκῆπτρον Ἐζεχίας, βασιλεύοντος ἐν τῇ Σαμαρείᾳ τοῦ Ἰσραήλ, ἤτοι τῶν δέκα φυλῶν Ὡσηὲ υἱοῦ Ἠλά, οὗ διέποντος τὴν βασιλείαν κατεστράτευσε τῆς Σαμαρείας ὁ τῶν Ἀσσυρίων βασιλεύς. Συνεξεῖλε δὲ αὐτῇ καὶ πολλὰς ἑτέρας τῆς Ἰουδαίας πόλεις.

Εἶτα μετὰ τοῦτο τοῦ Σενναχειρὶμ κατατρέχοντος τὴν Ἰ-

Κύριος θάνατο στὸν Ἰακὼβ καὶ ἦρθε στὸν Ἰσραήλ». Πρέπει νὰ γνωρίζομε ὅτι καὶ τῶν Ἑβραίων ἡ ἔκδοση καὶ ἄλλοι ἀπὸ τοὺς ἑρμηνευτὲς ἀντὶ γιὰ «θάνατο», ἔγραψαν "λόγο". Γιατὶ λέγει· «Ἔστειλε ὁ Κύριος λόγο στὸν Ἰακὼβ καὶ ἦρθε στὸν Ἰσραήλ». Ποιὸν λόγο; Λόγο ποὺ καταδίκαζε ἐκείνους ποὺ ἀσέβησαν καὶ ποὺ ἐπέβαλλε ποινὲς σ' ὅσους τὸν εἶχαν ἐγκαταλείψει καὶ εἶχαν προσκυνήσει τὰ ἔργα τῶν χεριῶν τους. Εἴτε λοιπὸν λέγεται, «ἔστειλε ὁ Θεὸς θάνατο», εἴτε "ἀρὰν" ἢ "λόγο", δὲν εἶναι ἀσυμβίβαστο τὸ νόημα τῶν λέξεων, ἀλλὰ ἀποβλέπει σὲ ἕνα καὶ τὸν αὐτὸ σκοπό. Μ' αὐτὰ ἀναφέρει κάποια ἱστορία, τὴν ὁποία θὰ ἐκθέσω μὲ συντομία. Γιατὶ ἔτσι μόλις μὲ δυσκολία θὰ γίνει φανερὸ αὐτὸ ποὺ δηλώνεται. Κατὰ καιροὺς λοιπὸν βασίλευσαν στὰ Ἱεροσόλυμα, στὸ κράτος τοῦ Ἰούδα, ἤτοι τοῦ Ἰακώβ, ἄνδρες ἀγαθοὶ καὶ κακοί, τὸ ἴδιο καὶ στὸ κράτος τοῦ Ἰσραὴλ ἄνδρες ἀπὸ τὴ φυλὴ τοῦ Ἐφραΐμ στὴ Σαμάρεια. Γιατὶ ἀπὸ τὴ φυλὴ τοῦ Ἐφραΐμ ἦταν καὶ ὁ πρῶτος βασιλιάς τους Ἱεροβοάμ, ὁ υἱὸς τοῦ Νάβατ, ὁ ὁποῖος καὶ τοὺς ὑποχρέωσε νὰ προσκυνοῦν τὶς χρυσὲς δαμάλες του.

Ἀπὸ ὅσους λοιπὸν βασίλευσαν κατὰ καιροὺς τόσο στὰ Ἱεροσόλυμα ὅσο καὶ στὴ Σαμάρεια, πάρα πολλοί, ὅπως εἶπα, ἦταν ἐκεῖνοι ποὺ ἀντιτάσσονταν χωρὶς φόβο στὸ θέλημα τοῦ Θεοῦ, βέβηλοι καὶ εἰδωλολάτρες, ποὺ προσκυνοῦσαν τὴ στρατιὰ τοῦ οὐρανοῦ, καὶ ἀσεβοῦσαν λατρεύοντας ξύλα καὶ πέτρες. Ἕνας τέτοιος ἦταν κι αὐτὸς ὁ Ἄχαζ, ὁ ὁποῖος πέρασε ἀπὸ τὴ φωτιὰ καὶ τὰ ἴδια τὰ παιδιά του, προξένησε πάρα πολλὲς συμφορὲς στὴν Ἱερουσαλὴμ καὶ παρανόμησε καὶ κατὰ τοῦ ἴδιου τοῦ ναοῦ τοῦ Θεοῦ. Ὅταν ὅμως ἔφυγε ἀπὸ τὴ μέση πεθαίνοντας, τὸν διαδέχθηκε στὸ θρόνο ὁ Ἐζεκίας, ἐνῶ στὴ Σαμάρεια βασιλιὰς τοῦ Ἰσραήλ, ἤτοι τῶν δέκα φυλῶν, ἦταν ὁ Ὡσηέ, υἱὸς τοῦ Ἠλά, κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ ὁποίου ἔκανε τὴν ἐκστρατεία του ἐναντίον τῆς Σαμάρειας ὁ βασιλιὰς τῶν Ἀσσυρίων Σενναχειρίμ, καὶ μαζὶ μὲ αὐτὴν κυρίευσε καὶ πολλὲς ἄλλες πόλεις τῆς Ἰουδαίας.

Ἔπειτα ἀπὸ αὐτό, ἐνῶ ὁ Σενναχειρὶμ διέτρεχε τὴν Ἰουδαία, ὁ

ουδαίαν σέσωκε Θεὸς παραδόξως τὴν Ἱερουσαλὴμ εὐσεβοῦς ὄντος Ἐζεχίου. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεχίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ἕβδομος τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σαλμανασάρ, βασιλεὺς Ἀσσυρίων, ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκει αὐτήν. Καὶ κατελάβετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν, ἐν ἔτει ἕκτῳ τῷ Ἐζεχίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ἔνατος τῷ Ὡσηὲ βασιλεῖ Ἰσραήλ. Καὶ συνελήφθη Σαμάρεια, καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους, καὶ ἔθηκεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβιὼρ ποταμῷ Γωζᾶν, καὶ εἰς τὰ ὄρη Μήδων, ἀνθ' ὧν, ὅτι οὐκ ἤκουσαν φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν, καὶ παρέβησαν τὴν διαθήκην αὐτοῦ, πάντα ὅσα ἐνετείλατο Μωσῆς ὁ δοῦλος Κυρίου, καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἐποίησαν. Καὶ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει βασιλέως Ἐζεχίου, ἀνέβη Σενναχειρὶμ, βασιλεὺς Ἀσσυρίων, ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς καὶ συνέλαβεν αὐτάς. Καὶ ταυτὶ μὲν ἐκ τῶν ἱερῶν Γραμμάτων.

Ὅτι δὲ πεπόρθηκε τὴν Σαμάρειαν ὁ Σενναχειρὶμ ἀναβαίνων κατὰ τῶν Ἱεροσολύμων, ἐξ ὧν αὐτὸς γέγραφεν ὁ μακάριος Ἡσαΐας ὁ προφήτης ἀκονητὶ διοψόμεθα. Προσπεφώνηκε γὰρ οὕτω Ῥαψάκης τοῖς καθημένοις ἐν τῷ τείχει· «Μὴ ὑμᾶς ἀπατάτω Ἐζεχίας, λέγων· Ὁ Θεὸς ὑμῶν ῥύσεται ὑμᾶς. Μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; Ποῦ ἔστιν ὁ θεὸς Ὁμάθα καὶ Ἀρφάθ; Καὶ ποῦ ἔστιν ὁ θεὸς τῆς πόλεως Σεπφαρουείμ; Μὴ ἐδύναντο σῶσαι Σαμάρειαν ἐκ χειρός μου;». Προανῄρηκε τοίνυν τὴν Σαμάρειαν ὁ Σενναχειρὶμ ταῖς ἄλλαις ὁμοῦ πόλεσί τε καὶ χώραις, εἶτα πεπολιόρκηκε τὴν Ἱερουσαλήμ. Ἐπειδὴ γὰρ τῆς θείας κατεφλυάρησε δόξης, ἐξῆλθεν ἄγγελος παρὰ Κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς πα-

80. Δ' Βασ. 18, 9-13.

Θεὸς ἔσωσε μὲ παράδοξο τρόπο τὴν Ἱερουσαλήμ, ἐπειδὴ ὁ Ἐζεκίας ἦταν εὐσεβής. Ἔχουν γραφεῖ τὰ ἑξῆς στὴν Δ' τῶν Βασιλειῶν· «Κατὰ τὸ τέταρτο ἔτος τῆς βασιλείας τοῦ Ἐζεκία, ἕβδομος χρόνος τοῦ Ὡσηέ, υἱοῦ τοῦ Ἠλά, βασιλιᾶ τοῦ Ἰσραήλ, ἐξεστράτευσε ὁ Σαλαμανασάρ, βασιλιὰς τῶν Ἀσσυρίων, ἐναντίον τῆς Σαμάρειας, τὴν ὁποία πολιορκοῦσε, καὶ τὴν κατέλαβε σὲ τρία ἔτη, τὸν ἕκτο χρόνο τῆς βασιλείας τοῦ Ἐζεκία, ἕνατο χρόνο τῆς βασιλείας τοῦ Ὡσηὲ, βασιλιᾶ τοῦ Ἰσραήλ. Ἀφοῦ ἔγινε ἡ κατάληψη τῆς Σαμάρειας, μετέφερε τοὺς Σαμαρεῖτες ὁ βασιλιὰς τῶν Ἀσσυρίων στὴν Ἀσσυρία καὶ τοὺς ἐγκατέστησε στὴν Ἀλαὲ καὶ στὴν Ἀβιώρ, κοντὰ στὸν ποταμὸ Γωζᾶν καὶ στὰ ὄρη τῶν Μήδων. Αὐτὸ συνέβη ἐπειδὴ δὲν ἄκουσαν τὴ φωνὴ τοῦ Κυρίου τοῦ Θεοῦ τους καὶ παρέβησαν τὴ διαθήκη του, ὅλα ὅσα τοὺς παρήγγειλε ὁ Μωυσῆς, ὁ δοῦλος τοῦ Κυρίου, τὰ ὁποῖα οὔτε ἄκουσαν οὔτε καὶ ἔπραξαν. Κατὰ τὸ δέκατο τέταρτο ἔτος τῆς βασιλείας τοῦ Ἐζεκία ἐξεστράτευσε ὁ Σενναχειρίμ, βασιλιὰς τῶν Ἀσσυρίων, ἐναντίον τῶν ὀχυρῶν πόλεων τῆς Ἰουδαίας καὶ τὶς κατέλαβε». Καὶ αὐτὰ βέβαια μαθαίνομε ἀπὸ τὴν ἁγία Γραφή.

Ὅτι ὁ βασιλιὰς Σενναχειρὶμ ἐκπόρθησε τὴ Σαμάρεια βαδίζοντας ἐναντίον τῆς Ἱερουσαλὴμ θὰ τὸ διαπιστώσομε χωρὶς κόπο ἀπὸ ὅσα ἔγραψε ὁ μακάριος Ἡσαΐας. Γιατὶ ἔκανε τὴν ἑξῆς διακήρυξη ὁ Ραψάκης πρὸς ἐκείνους ποὺ φρουροῦσαν στὸ τεῖχος· «Νὰ μὴ σᾶς ἐξαπατᾶ ὁ Ἐζεκίας λέγοντάς σας, Ὁ Θεός σας θὰ σᾶς σώσει. Μήπως οἱ θεοὶ τῶν ἐθνῶν ἔσωσαν καθένας τὴ χώρα του ἀπὸ τὰ χέρια τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων; Ποῦ εἶναι ὁ θεὸς Ὁμάθα καὶ Ἀρφάθ; Ποῦ εἶναι ἐπίσης ὁ θεὸς τῆς πόλης Σεπφαρουείμ; Μήπως μπόρεσαν νὰ σώσουν τὴ Σαμάρεια ἀπὸ τὸ στρατό μου;»[81]. Κυρίευσε λοιπὸν προηγουμένως ὁ Σενναχειρὶμ τὴ Σαμάρεια μαζὶ μὲ τὶς ἄλλες πόλεις καὶ τὰ χωριά, κι ἔπειτα πολιόρκησε τὴν Ἱερουσαλὴμ. Ἐπειδὴ ὅμως ἐκτόξευσε πολλὲς φλυαρίες ἐναντίον τῆς θείας δόξας, στάλθηκε ἄγγελος ἐκ μέρους τοῦ Κυρίου καὶ σκότω-

81. Ἡσ. 36, 18.

ρεμβολῆς τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ ἑκατὸν καὶ ὀγδοήκοντα πέντε χιλιάδας Οὐκοῦν ἐπειδήπερ ἀφίκετο μὲν κατὰ τῶν Ἱεροσολύμων ὁ Σενναχειρίμ, προανεῖλε δὲ τὴν Σαμάρειαν Θεοῦ παραδόντος αὐτήν, διά τοι τὸ δρᾷν ἑλέσθαι τὰ χείρω τῶν ἐν τοῖς Ἱεροσολύμοις, ἀναγκαίως φησί· «Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ καὶ ἦλθεν ἐπὶ Ἰσραήλ». Ἀλλ' ἐμπέπρησται μὲν ἡ Σαμάρεια ἐν ᾗ κατῴκησεν ὁ Ἰσραήλ, τοῦτ' ἔστιν αἱ δέκα φυλαί, καὶ ἀπόλωλεν ὁλοτελῶς.

Ἦν δέ, οἶμαι, σοφὸν ἐννοῆσαι λοιπὸν τοὺς περιληφθέντας ἐν αὐτῇ, ὅτι τὸ προσκρούειν Θεῷ παγχάλεπον ἀληθῶς· εἶτα τοῦτο διεγνωκότας ἐκμειλίσσεσθαι τὸν λελυπημένον χρῆναι δήπου πάντως καὶ ταῖς εἰς τὸ ἄμεινον μεταβολαῖς καταμαλθάσσειν παρωτρυμένον. Οἱ δὲ τοῦτο μὲν οὐκ ἔδρων, οὐδὲ εἰς νοῦν ἐδέχοντό ποθεν, ἀπονοούμενοι δὲ καὶ ἔτι μειζόνως ἔφασκον· «Πλίνθοι πεπτώκασιν, ἀλλὰ λαξεύσωμεν λίθους καὶ κόψωμεν συκαμίνους καὶ κέδρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον». Ὦ πολλῆς ἀμαθίας. Πῶς γὰρ οὐκ ἔδει μᾶλλον εἰπεῖν, Προσκεκρούκαμεν ἐξ ἀβουλίας τῷ πάντα ἰσχύοντι Θεῷ; Ἥλωσάν τε ταύτης ἕνεκα τῆς αἰτίας αἱ παρ' ἡμῖν πόλεις τε καὶ κῶμαι. Δεῦτε, ταῖς μεταγνώσεσιν ἀποφορτισώμεθα τὴν ὀργήν. Οἱ δὲ ταυτὶ μὲν οὐκ ἔφασκον, περιυβρίζοντες δὲ μᾶλλον τῆς ἐπικουρίας τῆς παρὰ Θεοῦ τὴν ἀσφάλειαν, ἔφασκον ὅτι τὰ τῶν πόλεων τείχη τῶν κατὰ τὴν Σαμάρειαν πεποίηντο μὲν ἐκ πλίνθου σαθρᾶς, ἐὰν δὲ λίθους λαξεύσωμεν καὶ τὰ ἄσηπτα τῶν ξύλων, συκαμίνους δὲ φημὶ καὶ κέδρους, ἁρμόσωμεν αὐτοῖς καὶ ἀναστήσωμεν πύργον, ἀνάλωτοί τε ἐσόμεθα τοῖς ἐχθροῖς καὶ ἀπόρθητοι μενοῦμεν.

Οἱ τοίνυν ταῦτα, φησίν, ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες γνώσονται, τοῦτ' ἔστι μαθήσονται πάλιν, ὅποι ποτὲ βαδιεῖται τὸ σκέμμα αὐτοῖς, καὶ ὅτι πάλιν ἐκτελευτήσει πρὸς ὄλεθρον ἡ βουλὴ αὐτοῖς Ἰστέον δὲ ὅτι μετὰ τὴν πόρθησιν τοῦ Σενναχειρὶμ ἐν καιροῖς Ἱερεμίου, πεπολέμηκε

σε ἀπὸ τὸ στρατὸ τῶν Ἀσσυρίων μέσα σὲ μιὰ νύχτα ἑκατὸν ὀγδόντα πέντε χιλιάδες. Ἐπειδὴ λοιπὸν ἦρθε βέβαια ὁ Σενναχειρὶμ ἐναντίον τῶν Ἱεροσολύμων, ἀλλὰ κυρίευσε πρῶτα τὴ Σαμάρεια ποὺ τοῦ τὴν παρέδωσε ὁ Θεός, γιὰ τὸν λόγο ὅτι θέλησαν νὰ κάνουν χειρότερα ἀπὸ ἐκεῖνα ποὺ ἔκαναν οἱ κάτοικοι τῆς Ἱερουσαλήμ, κατ᾽ ἀνάγκη λέγει· «Ἔστειλε θάνατο ὁ Κύριος κατὰ τοῦ Ἰακὼβ καὶ συμπεριέλαβε καὶ τὸν Ἰσραήλ». Δηλαδὴ πυρπολήθηκε ἡ Σαμάρεια, ὅπου εἶχε ἐγκατασταθεῖ ὁ Ἰσραήλ, ἤτοι οἱ δέκα φυλές, καὶ ἀφανίσθηκε ὁλοσχερῶς.

Ἦταν, νομίζω, σοφὸ νὰ κατανοήσουν ἐκεῖνοι ποὺ εἶχαν ἀπομείνει σ᾽ αὐτήν, ὅτι εἶναι ἀληθινὰ πολὺ βαρὺ τὸ νὰ προσκρούει κανεὶς στὸν Θεό, κι ἔπειτα, ἀφοῦ τὸ κατανοοῦσαν αὐτό, ἔπρεπε νὰ ἐξευμενίσουν ὁπωσδήποτε ἐκεῖνον ποὺ λυπήθηκε καὶ νὰ καταπραΰνουν τὸ θυμό του μὲ τὴ μεταβολή τους στὸ καλύτερο. Αὐτοὶ ὅμως δὲν τὸ ἔκαναν αὐτό, οὔτε τὸ δέχονταν στὸ νοῦ τους ποτέ, ἀλλὰ κυριευόμενοι ἀπὸ ἀκόμα περισσότερη ἀνοησία ἔλεγαν· «Ἔπεσαν οἱ πλίνθοι, ἀλλὰ θὰ πελεκήσομε πέτρες, θὰ κόψομε συκαμινιὲς καὶ κέδρους καὶ θὰ οἰκοδομήσομε γιὰ μᾶς πύργο». Πὼ πὼ μέγεθος ἄγνοιας! Πῶς δηλαδὴ δὲν ἦταν καλύτερο νὰ ποῦν, Προσκρούσαμε ἀπὸ ἀνοησία στὸν παντοδύναμο Θεό; Ἀπὸ αὐτὴν τὴν αἰτία ἔπεσαν οἱ πόλεις καὶ τὰ χωριά μας στὰ χέρια τῶν ἐχθρῶν. Ἐμπρὸς μὲ τὴ μετάνοιά μας ἂς ἀποφορτίσομε τὴν ὀργή. Ἐκεῖνοι ὅμως αὐτὰ βέβαια δὲν τὰ ἔλεγαν, ἀλλὰ περιφρονώντας μᾶλλον τὴν ἀσφάλεια τῆς θείας βοήθειας, ἔλεγαν ὅτι τὰ τείχη τῶν Σαμαρειτικῶν πόλεων εἶχαν κτισθεῖ ἀπὸ σαθρὰ πλιθιά, ἂν ὅμως πελεκήσομε πέτρες καὶ τὶς συναρμόσομε μὲ ξύλα ποὺ δὲν σαπίζουν, συκαμινιὲς καὶ κέδρους, καὶ φτιάξομε πύργο ψηλό, δὲν θὰ ὑποστοῦμε ἅλωση ἀπὸ τοὺς ἐχθροὺς καὶ θὰ μείνομε ἀπόρθητοι.

Αὐτοὶ λοιπόν, λέγει, ποὺ τὰ λένε αὐτὰ μὲ τρόπο ὑβριστικὸ καὶ ἀλαζονικὸ θὰ καταλάβουν, δηλαδὴ θὰ μάθουν πάλι, ποῦ θὰ τοὺς ὁδηγήσει ἡ σκέψη τους καὶ ὅτι πάλι θὰ καταλήξει ἡ ἀπόφασή τους στὸν ὄλεθρο. Πρέπει ὅμως νὰ γνωρίζομε ὅτι μετὰ τὴν ἐκπόρθηση ἀπὸ τὸν Σενναχειρὶμ στὶς ἡμέρες τοῦ Ἱερεμία, ἐξεστράτευσε

τὴν Ἰουδαίαν ὁ Ναβουχοδονόσορ, εἶλέ τε πᾶσαν κατὰ κράτος, καὶ πεπόρθηκε τὴν Σαμάρειαν, καὶ αὐτὴν καὶ τὴν Ἱερουσαλήμ. Οὐκοῦν φησιν ὁ προφήτης Ἱερεμίας· «Ἐπικατάρατος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ». Διασώσει γὰρ οὐδεὶς τὸν ὑπὸ θείαν ὀργὴν γεγονότα. «Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει;», κατὰ τὸ γεγραμμένον.

Στίχ. 11-12. «Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπ' ὄρος Σιὼν ἐπ' αὐτούς, καὶ τοὺς ἐχθροὺς διασκεδάσει, Συρίαν ἐφ' ἡλίου ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι».

Ὅτε πλήττει Θεὸς διὰ πολλὰς ἁμαρτίας, ἐπάγει τοῖς πεπονθόσι τὴν μώτωσιν, ἵνα φαίνηται διὰ παντὸς τρόπου καλῶν εἰς μετάγνωσιν, διά τε πόνου φημὶ καὶ παρακλήσεως. Τοιοῦτόν τι καὶ νῦν τοῖς παθοῦσι τὴν δήωσιν ἐπαγγέλλεται. Ἱστορία δὲ ἀπόδοσιν ἔχει τὸ προκείμενον, ἣν ἀναγκαῖον, ὡς ἔφην, διὰ βραχέων εἰπεῖν. Τελευταῖος μὲν γὰρ κατὰ πάσης ὁμοῦ τῆς Ἰουδαίας, καὶ μέντοι καὶ τῆς Σαμαρείας, ὁ παρὰ τοῦ Ναβουχοδονόσορ πόλεμος γίνεται, καὶ ἀπεκομίσθησαν αἰχμάλωτοι καὶ δεδουλεύκασιν ἐχθροῖς ἑβδομήκοντα ἔτη. Ἐπειδὴ δὲ συμπεπέρασται τοῖς ἀπὸ τῆς ὀργῆς ὁ καιρός, κατηλέησε πάλιν ὁ τῶν ὅλων Θεός, καὶ δὴ καὶ ἀνεθῆναι παρεσκεύασεν, Κύρου τοῦ Καμβύσου νενικηκότος τοὺς Βαβυλωνίους. Ἐπειδὴ δὲ τὴν ἁγίαν ἀφίκοντο πόλιν οἱ πεπονηκότες, ἀνατειχίζειν ἤθελον αὐτήν. Καὶ δὴ καὶ πεπράχασι, καὶ τὸν θεῖον αὐτῶν ἀνεδείμαντο νεών. Ἀλλ' οὐδὲν ἧττον, καίτοι τοσαῦτα πεπονθόσι καὶ τὰς τῶν ἀρχαίων πλημμελημάτων ἐκτετικόσι δίκας, ἐπεφύοντο πάλιν ἐκ βασκανίας τὰ περίοικα τῶν ἐθνῶν. Οὐ γὰρ ἤθελον

82. Ἱερ. 17, 5.

ἐναντίον της Ἰουδαίας ὁ Ναβουχοδονόσορ, τὴν κυρίευσε ὁλόκληρη καὶ κατέστρεψε τὴ Σαμάρεια καὶ τὴν ἴδια τὴν Ἱερουσαλήμ. Λέγει λοιπὸν ὁ προφήτης Ἱερεμίας· «Εἶναι καταραμένος ὅποιος στηρίζει τὴν ἐλπίδα του σὲ ἄνθρωπο καὶ θεωρεῖ στήριγμά του τὴ δύναμη αὐτοῦ»[82]. Γιατὶ κανένας δὲν θὰ σώσει αὐτὸν ποὺ ἔπεσε στὴ θεία ὀργή. Γιατί, σύμφωνα μ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ, «Τὸ χέρι του, ποὺ ἔχει ὑψωθεῖ νὰ χτυπήσει, ποιὸς θὰ τὸ ἐμποδίσει;»[83].

Στίχ. 11-12. «Καὶ θὰ συντρίψει ὁ Κύριος ἐκείνους ποὺ ἐπιτίθενται ἐναντίον τῆς Ἱερουσαλὴμ καὶ θὰ σκορπίσει τοὺς ἐχθρούς της, δηλαδὴ τὴ Συρία πρὸς τὸ μέρος τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τοὺς Ἕλληνες (Φιλισταίους) πρὸς τὸ μέρος τῆς δύσης ποὺ κατατρώγουν τοὺς Ἰσραηλῖτες μ᾽ ὅλο τους τὸ στόμα».

Ὅταν καταφέρει ὁ Θεὸς πλῆγμα ἐξαιτίας τῶν πολλῶν ἁμαρτιῶν, ἐπιφέρει στοὺς παθόντες τὴ θεραπεία, γιὰ νὰ γίνεται φανερὸς πὼς μὲ κάθε τρόπο καλεῖ σὲ μετάνοια, ἐννοῶ μὲ πόνο καὶ παράκληση. Κάτι παρόμοιο ὑπόσχεται καὶ τώρα σ᾽ ἐκείνους ποὺ ἔπαθαν τὴ λεηλασία. Ἡ ἱστορία ἔχει ὡς διήγηση τὸ ἐξεταζόμενο χωρίο ποὺ εἶναι ἀνάγκη νὰ τὴν ἐκθέσομε, ὅπως εἶπα, μὲ συντομία. Τελευταῖος πόλεμος ποὺ ἔγινε ἐναντίον ὅλης τῆς Ἰουδαίας, καὶ βέβαια καὶ τῆς Σαμάρειας, εἶναι ὁ πόλεμος τοῦ Ναβουχοδονόσορ, ὁπότε μεταφέρθηκαν ὡς αἰχμάλωτοι καὶ ἔζησαν ὡς δοῦλοι τῶν ἐχθρῶν ἐπὶ ἑβδομήντα χρόνια. Ὅταν ὅμως συμπληρώθηκε ὁ καιρὸς τῆς δοκιμασίας ἐξαιτίας τῆς ὀργῆς, τοὺς ἔδειξε πάλι ὁ Θεὸς τῶν ὅλων τὸ ἔλεός του καὶ ἔφερε ἔτσι τὰ πράγματα, ὥστε νὰ ἐπιστρέψουν πάλι στὴν πατρίδα τους, ὅταν ὁ Κύρος, ὁ υἱὸς τοῦ Καμβύση, νίκησε τοὺς Βαβυλώνιους. Ὅταν λοιπὸν γύρισαν στὴν ἁγία πόλη οἱ ταλαιπωρημένοι, ἤθελαν νὰ ξαναχτίσουν τὰ τείχη της. Τὸ ἔπραξαν λοιπὸν καὶ ἀνοικοδόμησαν καὶ τὸν θεῖο ναό. Ἀλλὰ καθόλου λιγότερο, μολονότι εἶχαν πάθει τόσα πολλὰ καὶ εἶχαν πληρώσει καὶ γιὰ τὰ παλαιὰ πλημμελήματά τους, τοὺς ἐνοχλοῦσαν πάλι ἀπὸ φθόνο τὰ γειτονικὰ ἔθνη. Γιατὶ δὲν ἤθελαν

83. Ἡσ. 14, 27.

ἰσχῦσαι τὴν Ἱερουσαλήμ. Μάλιστα δὲ τῶν ἄλλων ἁπάντων ἐπέκειντο δρομεῖς οἱ ἀπὸ τῆς Συρίας τῆς γείτονος καὶ τῆς Δαμασκοῦ. Πλὴν νενίκηντο, Θεοῦ σώζοντός τε καὶ ἐπαμύνοντος τοῖς ἐκ τῆς αἰχμαλωσίας. Κεκρατήκασι γὰρ τῶν ἐχθρῶν.

Εἶτα χρόνου προϊόντος, Ἀντίοχος, ὁ ἐπίκλην Ἐπιφανής, βασιλεύων τῆς Ἀσίας, λελύπηται μὲν πρὸς τὸν βασιλεύοντα τὸ τηνικάδε τῆς Αἰγυπτίων γῆς Πτολεμαῖον, συγκροτήσας δὲ πόλεμον, νενίκητο μέν, διεσῴζετο δὲ μόλις Ἵνα δὲ μὴ ἄπρακτος παντελῶς δράμοι οἴκαδε, οὐδὲν ἔχων τῆς νίκης ὑπόμνημα, κατεστράτευσε τῆς Ἰουδαίας, εἶλε τὰ Ἱεροσόλυμα, καὶ ὑπὸ χεῖρα λαβών, πάντα τὰ σκεύη τὰ ἅγια διαρπάσας, Λυσίαν τινὰ στρατηγὸν ἐνίδρυσε τῇ Ἰουδαίᾳ, τηρεῖν ἐπιτάξας αὐτῷ τὴν ἀρχήν. Ἐπειδὴ δὲ ὁ μνημονευθεὶς Ἀντίοχος εἰς τὴν ἑαυτοῦ δεδράμηκε βασιλείαν, πεπολεμήκασιν οἱ Ἰουδαῖοι Λυσίᾳ τῷ στρατηγῷ, καὶ νενικήκασι. Ταῦτα δὴ μαθὼν ὁ Ἀντίοχος ἐκ λύπης τελευτᾷ. Ὑπισχνεῖται τοίνυν τὴν ἐπικουρίαν ὁ τῶν ὅλων Θεὸς τοῖς πεπορθημένοις ὑπὸ τοῦ Ναβουχοδονόσορ, διαφυγοῦσι δὲ μόλις τὴν αἰχμαλωσίαν φησίν· «Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπ᾽ ὄρος Σιὼν ἐπ᾽ αὐτούς».

Ἀκούεις ὅπως ὁ πλήξας καὶ μωτοῖ; Τίνες οὖν οἱ ἐπανιστάμενοι; Συρία ἀφ᾽ ἡλίου ἀνατολῶν, καὶ οἱ Ἕλληνες ἀφ᾽ ἡλίου δυσμῶν. Ἕλλην γὰρ ἦν τὸ γένος ὁ Ἀντίοχος, ὁ ἐκ Μακεδονίας ὁρμώμενος. Πρὸς δυσμαῖς δὲ αὕτη. Μέρος γὰρ τῆς Ἑσπέρας ἡ τῶν Μακεδόνων χώρα, μάλισθ᾽ ὅταν ὡς πρὸς σύγκρισιν νοεῖται, κατά γε τὴν θέσιν, τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν. Σύροι δὲ οὗτοι καὶ Δαμασκηνοί. Ἐπειδὴ δέ φησι περὶ τῶν Ἑλλήνων, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι, ἰστέον ὅτι ὡμῶς τε καὶ ἀπανθρώπως προσενήνεκται τοῖς Ἰουδαίοις ὁ Ἀντίοχος, καὶ ἀναριθμήτους ἀπέκτονεν οἰκτρῶς τε καὶ ἐλεεινῶς, ὅτε καὶ ἤθλησαν οἱ

νὰ γίνει ἰσχυρὴ ἡ Ἱερουσαλήμ. Περισσότερο βέβαια ἀπὸ ὅλους τοὺς ἄλλους ἐξορμοῦσαν ἐναντίον τους μὲ δριμύτητα οἱ γείτονές τους ἀπὸ τὴ Συρία καὶ τὴ Δαμασκό. Νικήθηκαν ὅμως καθὼς ὁ Θεὸς ἔσωσε καὶ προστάτευσε ἐκείνους ποὺ ἐπέστρεψαν ἀπὸ τὴν αἰχμαλωσία. Γιατὶ νίκησαν τοὺς ἐχθρούς τους.

Ἔπειτα μὲ τὸ πέρασμα τοῦ χρόνου ὁ Ἀντίοχος, ὁ λεγόμενος Ἐπιφανής, βασιλιὰς τῆς Ἀσίας, ἐπειδὴ δυσαρεστήθηκε μὲ τὸν τότε βασιλιὰ τῆς Αἰγύπτου Πτολεμαῖο, συγκρότησε πόλεμο ἐναντίον του, κατὰ τὸν ὁποῖο νικήθηκε καὶ μόλις σώθηκε. Ἀλλὰ γιὰ νὰ μὴ γυρίσει ἐντελῶς ἄπρακτος στὴ χώρα του, χωρὶς νὰ ἔχει κανένα ἐνθύμιο τῆς νίκης, εἰσέβαλε στὴν Ἰουδαία, κατέλαβε τὰ Ἱεροσόλυμα, καὶ ἀφοῦ τὰ ὑπέταξε καὶ ἅρπαξε ὅλα τὰ ἅγια σκεύη, ἐγκατέστησε κάποιον στρατηγὸ Λυσία στὴν Ἰουδαία μὲ τὴν ἐντολὴ νὰ ἐπιτηρεῖ τὴν ἐξουσία. Ὅταν ὅμως ὁ Ἀντίοχος ποὺ ἀναφέραμε ἀναχώρησε γιὰ τὸ βασίλειό του, οἱ Ἰουδαῖοι ἐπιτέθηκαν στὸν στρατηγὸ Λυσία καὶ τὸν νίκησαν. Ὅταν τὰ ἔμαθε αὐτὰ ὁ Ἀντίοχος πέθανε ἀπὸ τὴ λύπη του. Ὑπόσχεται λοιπὸν βοήθεια ὁ Θεὸς τῶν ὅλων σὲ ἐκείνους ποὺ κυρίευσε ὁ Ναβουχοδονόσορ καὶ μόλις εἶχαν διαφύγει τὴν αἰχμαλωσία· «Καὶ θὰ συντρίψει ὁ Θεὸς αὐτοὺς ποὺ ἐπιτίθενται ἐναντίον τῆς Ἱερουσαλήμ».

Ἄκοῦς πῶς αὐτὸς ποὺ ἔδωσε τὸ χτύπημα, δίνει καὶ τὴ θεραπεία; Καὶ ποιοὶ εἶναι αὐτοὶ ποὺ ἐπιτίθενται ἐναντίον τους; Ἡ Συρία ἀπὸ τὸ μέρος τῆς ἀνατολῆς τοῦ ἡλίου, καὶ οἱ Ἕλληνες (Φιλισταῖοι) ἀπὸ τὸ μέρος τῆς δύσης τοῦ ἡλίου. Ἕλληνας βέβαια στὴν καταγωγὴ ἦταν ὁ Ἀντίοχος, προερχόμενος ἀπὸ τὴ Μακεδονία, ἡ ὁποία βρίσκεται στὰ δυτικά. Γιατὶ ἡ χώρα τῶν Μακεδόνων εἶναι μέρος τῆς Ἑσπερίας, καὶ μάλιστα ὅταν συγκρίνεται ὡς πρὸς τὴ θέση μὲ τὴν ἀνατολὴ τοῦ ἡλίου, ὅπου κατοικοῦν οἱ Σύροι καὶ οἱ Δαμασκηνοί. Ἐπειδὴ ὅμως λέγει γιὰ τοὺς Ἕλληνες ποὺ κατατρώγουν τοὺ Ἰσραηλῖτες μὲ ὅλο τὸ στόμα τους, πρέπει νὰ γνωρίζομε, ὅτι ὁ Ἀντίοχος συμπεριφέρθηκε μὲ ὠμότητα καὶ ἀπανθρωπιὰ πρὸς τοὺς Ἰουδαίους καὶ θανάτωσε ἀμέτρητους κατὰ τρόπο οἰκτρὸ καὶ ἐλεεινό, τότε ποὺ ἔγινε καὶ ὁ ἀγώνας τῶν Μακ-

Μακκαβαῖοι, καὶ τὰ σεμνὰ τῶν ἀνδρῶν ἐκείνων πέπρακται νικητήρια. Ταῦτα δὲ Ἰώσηπος ἱστορεῖ ἐν τῇ περὶ αὐτῶν βίβλῳ. Κατεσθίουσί γε μὴν Ἑλλήνων παῖδες καὶ ἑτέρως τὸν Ἰσραήλ, καὶ ὅπως εἰπεῖν ἀναγκαῖον. Οἱ μὲν γὰρ παρ' αὐτοῖς ποιηταὶ καὶ λογάδες, εἰς ἄκρον ἥκοντες εὐγλωττίας καὶ τό γε ἦκον εἰς λόγους, δεινοί τε ὄντες καὶ σοφοί, συναρπάζουσιν ἔσθ' ὅτε τὸν νοητὸν Ἰσραήλ, τοῦτ' ἔστι τὸν νοῦν ὁρῶντα Θεὸν καὶ ἀπατῶσι τοὺς ἤδη πιστεύσαντας εἰς Χριστόν, ὥστε καὶ ἑλέσθαι σὺν αὐτοῖς τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνεῖν. Οὗτοι κατεσθίουσιν ὅλῳ τῷ στόματι τὸν Ἰσραήλ, οἷς οὐ προσεκτέον. Λόγου μὲν γὰρ λαμπρότης ἔργοις ἀγαθοῖς εἰ ὁρῷτο σύνδρομος, ἔσται καὶ δεκτὴ καὶ ἀνδάνουσα τῷ Θεῷ. Ψιλὴ δὲ καὶ μόνη τί ἂν ἕτερον εἴη λοιπόν, ἢ καθά φησιν ὁ σοφώτατος Παῦλος, «χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον»;

Στίχ. 12-13. «Ἐπὶ τούτοις ἅπασιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Καὶ ὁ λαὸς οὐκ ἀπεστράφη ἕως οὗ ἐπλήγη καὶ τὸν Κύριον οὐκ ἐζήτησαν».

Σέσωκε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς καὶ πλημμελοῦντα τὸν Ἰσραὴλ καὶ δεδώρηται τὴν ἐπικουρίαν, ὥστε καὶ μείζους γενέσθαι τῶν ἐκ Συρίας τῆς γείτονος, καὶ τῶν ἀφ' ἡλίου δυσμῶν, οἳ κατήσθιον αὐτὸν ὅλῳ τῷ στόματι. Πλὴν ὁ ἐπ' αὐτοῖς θυμὸς Κυρίου, φησίν, οὐκ ἀπεστράφη, τοῦτ' ἔστιν, οὐ κατέληξεν, ὑψηλὴ δὲ μᾶλλον ἀπομεμένηκεν ἡ τοῦ παίοντος χεὶρ, ἑτοίμως ἔχουσα δηλονότι πληγὰς αὐτοῖς καὶ ἑτέρας ἐπενεγκεῖν. Διὰ ποίαν αἰτίαν; Οὐ γὰρ ἀπεστράφη, φησὶν ὁ λαός, οὐδὲ τῶν ἰδίων ἀπέσχετο πλημμελῶν. Οὐκ ἐξεζήτησε τὸν Κύριον, διά γε τὸ βούλεσθαι τἀ αὐτῷ δοκοῦντα καὶ φίλα φρονεῖν τε καὶ δρᾶν, μεμενήκασι δὲ τοιαύτην ἔχοντες τὴν γνώμην, ἄχρις ἂν αὐτοῖς ἡ ὑψηλή τε καὶ παναλκὴς ἐπενήνεκται χεὶρ. Ποία δὲ πάλιν ἡ μετέκεινα πληγὴ πῶς

καβαίων καὶ σημειώθηκε ἡ σεμνὴ νίκη ἐκείνων τῶν γενναίων ἀνδρῶν. Αὐτὰ τὰ ἱστορεῖ ὁ Ἰώσηπος στὸ βιβλίο τους γι' αὐτούς. Οἱ Ἕλληνες κατατρώγουν καὶ μὲ ἄλλο τρόπο τοὺς Ἰσραηλῖτες, καὶ πῶς, εἶναι ἀνάγκη νὰ τὸ ποῦμε. Οἱ ποιητὲς δηλαδὴ καὶ οἱ ρήτορες αὐτῶν φθάνοντας στὸ ἔπακρο τῆς εὐγλωττίας καὶ ὄντας, ὅσον ἀφορᾶ στοὺς λόγους, δεινοὶ καὶ σοφοί, συναρπάζουν πολλὲς φορὲς τὸν νοητὸ Ἰσραήλ, δηλαδὴ τὸν νοῦ ποὺ βλέπει τὸν Θεό, καὶ ἐξαπατοῦν αὐτοὺς ποὺ ἤδη πίστεψαν στὸν Χριστό, ὥστε νὰ θελήσουν μαζί τους νὰ λατρεύουν τὴν κτίση ἀντὶ τὸν κτίστη. Αὐτοὶ κατατρώγουν μὲ ὅλο τὸ στόμα τους τὸν Ἰσραήλ, στοὺς ὁποίους δὲν πρέπει νὰ δίνομε προσοχή. Γιατί, ἂν ἡ λαμπρότητα τοῦ λόγου φαίνεται νὰ συμβαδίζει μὲ ἔργα ἀγαθά, εἶναι καὶ δεκτὴ καὶ εὐάρεστη στὸν Θεό. Ὅταν ὅμως εἶναι γυμνὴ ἀπὸ ἔργα καὶ μόνη της, τί ἄλλο μπορεῖ νὰ εἶναι, παρὰ αὐτὸ ποὺ λέγει ὁ σοφώτατος Παῦλος, «χάλκινο ὄργανο ποὺ ἠχεῖ, ἢ κύμβαλο ποὺ ἀλαλάζει»[84];

Στίχ. 12-13. «Παρ' ὅλα αὐτὰ ὅμως δὲν κατέπαυσε ὁ θυμός του, ἀλλ' εἶναι ἀκόμα τὸ χέρι του σηκωμένο. Καὶ ὁ λαὸς δὲν μετανόησε, παρὰ τὸ πλῆγμα, καὶ δὲν ἀναζήτησε τὸν Κύριο».

Ἔσωσε λοιπὸν ὁ Θεὸς τῶν ὅλων, καὶ παρὰ τὰ πλημμελήματά τους, τοὺς Ἰσραηλῖτες, καὶ τοὺς δώρισε τὴ βοήθειά του, ὥστε καὶ ἀνώτεροι νὰ γίνουν ἀπὸ τοὺς γείτονες κατοίκους τῆς Συρίας καὶ τοὺς ἄλλους ποὺ κατοικοῦν πρὸς τὴ δύση τοῦ ἡλίου, οἱ ὁποῖοι τοὺς κατέτρωγαν μὲ ὅλο τους τὸ στόμα. Ὡστόσο ὁ θυμὸς τοῦ Κυρίου δὲν ἀπεστράφη, δηλαδὴ δὲν κατέληξε, ἀλλὰ τὸ χέρι ἐκείνου ποὺ δίνει τὰ πλήγματα ἔμεινε ὑψωμένο, δηλαδὴ ἕτοιμο νὰ καταφέρει κι ἄλλα πλήγματα. Γιὰ ποιὰ αἰτία; Δὲν μετανόησε, λέγει, ὁ λαός, οὔτε σταμάτησε νὰ διαπράττει τὰ ἴδια πλημμελήματα. Δὲν ἀναζήτησε τὸν Κύριο θέλοντας νὰ πιστεύει καὶ νὰ πράττει ὅσα ἀρέσουν σ' αὐτόν, ἀλλὰ συνέχισαν νὰ ἔχουν αὐτὴ τὴ γνώμη, μέχρι ποὺ τὸ ὑψωμένο καὶ παντοδύναμο χέρι δώσει τὸ χτύπημά του. Ποιὸ ὅμως εἶναι πάλι τὸ μετὰ ἀπὸ ἐκεῖνο χτύπημα πῶς

84. Α΄ Κορ. 13, 1.

οὐκ ἄξιον ἰδεῖν; Τελευταῖος μὲν γάρ, ὡς ἔφην, ὁ Ναβουχοδονόσορ εἶλε τὴν Ἰουδαίαν πᾶσαν. Μετῴκησε δὲ καὶ τὸν Ἰσραὴλ εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων. Ἐπειδὴ δέ, ὡς ἔφην, ἤδη πεπερασμένων τῶν τῆς αἰχμαλωσίας καιρῶν, ἀνεκομίσθησαν εἰς τὴν Ἰουδαίαν καὶ κατῳκήκασι τὴν Ἱερουσαλήμ, οὐκέτι διῃρημένων εἰς δύο τῶν φυλῶν, ἀλλ' εἰς ἕνα λοιπὸν οἱ πάντες βασιλέα γεγενημένοι. Τοῦτο γὰρ ἦν τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον· «Καὶ ἀναβήσονται ἐκ τῆς γῆς, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν».

Μετὰ τοίνυν τὸ ἐκ τῆς αἰχμαλωσίας ὑπονοστῆσαι σύμπαντας εἰς τὴν Ἰουδαίαν, πεπολεμήκασιν αὐτοῖς οἱ ἀπὸ Συρίας, καὶ οἱ ἀφ' ἡλίου ἀνατολῶν, πλὴν ἥττηνται καὶ αὐτοὶ προασπίζοντος Θεοῦ τῶν λελυτρωμένων. Εἶτα διατετελέκασι τὸν μεταξὺ καιρὸν μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας οὐ ζῶντες αἰσίως, οὔτε μὴν εἰς ἅπαν τῶν ἀρχαίων ἐκείνων πλημμελῶν ἀποφοιτήσαντες, ἀλλὰ γὰρ ἐκτόπως καὶ παρανόμως πολιτευόμενοι καὶ λίαν ἠμεληκότως. Ἐπειδὴ δὲ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἐπέλαμψεν ὁ Χριστὸς (ἐπέφανε γὰρ ἡμῖν Θεός, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν), τετηρήκασι τὸ ἐξήνιον καὶ δεδράκασιν ἃ μὴ θέμις, οὐ προσηκάμενοι τὸν παρ' αὐτοῦ λόγον, οὐ πίστει τιμήσαντες Καὶ τί ταῦτα λέγω; Περιυβρίζοντες ἀνοσίως, καθίκοντο δὲ δυσσεβείας εἰς τοῦτο καὶ ἀνοσιότητος τρόπων, ὥστε καὶ σταυρῷ παραδοῦναι, καὶ τὸν ἅγιον καὶ δίκαιον ἀρνήσασθαι, καὶ θανάτῳ πειρᾶσθαι περιβαλεῖν τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ ταύτης ἕνεκα τῆς αἰτίας ἐπιλάμψαντα τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, ἵνα καταργήσῃ θάνατον καὶ ἀδρανὲς ἀποφήνῃ τῆς ἁμαρτίας τὸ κέντρον.

Τούτων ἕνεκα πάντων ἡ τοῦ παίοντος χεὶρ ἀπομεμένηκεν ὑψηλὴ καὶ ὁ θυμὸς οὐκ ἀπεστράφη. Δέδονται γὰρ ἐς ἐρήμωσιν, πολεμούντων αὐτοῖς Οὐεσπασιανοῦ τε καὶ Τίτου, καὶ ἁπάσης δὲ τῆς Ῥωμαίων χειρός, ὅτε καὶ ἄρδην οἱ

δὲν ἀξίζει νὰ τὸ δοῦμε. Ὅπως δηλαδὴ εἶπα, τελευταῖος ποὺ κυρίευσε ὅλη τὴν Ἰουδαία ἦταν ὁ Ναβουχοδονόσορ, ὁ ὁποῖος μετέφερε καὶ ἐγκατέστησε τοὺς Ἰσραηλῖτες στὰ ὄρη τῶν Περσῶν καὶ τῶν Μήδων. Ὅταν ὅμως, ὅπως εἶπα, πέρασαν τὰ χρόνια τῆς αἰχμαλωσίας καὶ ἐπέστρεψαν στὴν Ἰουδαία, κατοίκησαν τὴν Ἱερουσαλὴμ καὶ δὲν ἦταν πιὰ χωρισμένες οἱ δύο φυλές, ἀλλὰ καὶ οἱ δύο εἶχαν ἕνα βασιλιά. Γιατὶ αὐτὸ σημαίνει ἐκεῖνο ποὺ εἶπε κάποιος προφήτης· «Καὶ θ' ἀνεβοῦν ἀπὸ τὴ γῆ καὶ θὰ θέσουν τὸν ἑαυτό τους κάτω ἀπὸ μία ἐξουσία»[85].

Μετὰ τὴν ἐπάνοδο λοιπὸν ὅλων ἀπὸ τὴν αἰχμαλωσία στὴν Ἰουδαία τοὺς πολέμησαν οἱ ἐχθροὶ ἀπὸ τὴ Συρία καὶ ἀπὸ τὸ μέρος τῆς ἀνατολῆς, ὅμως νικήθηκαν καὶ αὐτοί, καθὼς ὑπερᾶσπιζε ὁ Θεὸς ἐκείνους ποὺ εἶχαν λυτρωθεῖ. Ἔπειτα τὸν ἐνδιάμεσο χρόνο μέχρι τὸν ἐρχομὸ τοῦ Σωτήρα ζοῦσαν συνεχῶς ἀνάρμοστα, καὶ δὲν εἶχαν σταματήσει τελείως τὰ παλαιὰ ἐκεῖνα πλημμελήματα, ἀλλὰ ζοῦσαν ἄτοπα καὶ παράνομα καὶ μὲ πολλὴ ἀδιαφορία. Ὅταν ὅμως ἔλαμψε σ' ὅλους τοὺς ἀνθρώπους ὁ Χριστὸς (γιατὶ φανερώθηκε σ' ἐμᾶς ὁ Θεός, σύμφωνα μὲ τὰ λεγόμενα τοῦ Ψαλμωδοῦ), διατήρησαν τὴν ἀποχαλίνωσή τους καὶ ἔπραξαν ὅσα δὲν ἔπρεπε· ἀρνήθηκαν νὰ δεχθοῦν τὸ λόγο του καὶ δὲν τὸν τίμησαν μὲ τὴν πίστη τους. Καὶ γιατί τὰ λέγω αὐτά; Ὑβρίζοντάς τον μὲ τρόπο ἀνόσιο, ἔφτασαν σὲ τόση δυσσέβεια καὶ ἀνόσιο τρόπο συμπεριφορᾶς, ὥστε νὰ τὸν παραδώσουν καὶ στὸν σταυρό, ν' ἀρνηθοῦν τὸν ἅγιο καὶ δίκαιο καὶ νὰ ἐπιχειρήσουν νὰ θανατώσουν τὸν ἀρχηγὸ τῆς ζωῆς, αὐτὸν ποὺ δικαιώνει τὸν ἀσεβῆ, καὶ ποὺ γι' αὐτὸ τὸ λόγο ἔλαμψε σ' ὅλους τοὺς ἀνθρώπους τῆς γῆς, γιὰ νὰ καταργήσει τὸ θάνατο καὶ νὰ δείξει ἀνίσχυρο τὸ κεντρὶ τῆς ἁμαρτίας.

Ἐξαιτίας ὅλων αὐτῶν ἔμεινε ὑψωμένο τὸ χέρι ἐκείνου ποὺ δίνει τὰ χτυπήματα καὶ δὲν κατέπαυσε ὁ θυμός του. Γιατὶ παραδόθηκαν σὲ ἐρήμωση, ὅταν τοὺς πολέμησαν ὁ Βεσπασιανὸς καὶ ὁ Τίτος καὶ ὅλη ἡ στρατιωτικὴ δύναμη τῶν Ρωμαίων, ὅταν καὶ ἀπὸ

τάλανες ἀπολώλασιν, κατεμπρησθείσης αὐτοῖς τῆς χώρας, κατασεσεισμένου δὲ αὐτοῦ τοῦ ναοῦ, καὶ πεπτωκότος εἰς ἅπαν, ὥστε λίθον ἐπὶ λίθῳ μὴ ὁρᾶσθαι κείμενον, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἀνεξικακοῦντος τοίνυν ἐπὶ τοῖς ἡμῶν πταίσμασι τοῦ φιλοικτείρμονος Θεοῦ τὸ ἀπονοεῖσθαι παγχάλεπον, χρῆναι δέ φημι διὰ παντὸς ἡμᾶς ἐκμειλίσσεσθαι τρόπου λελυπημένον. Καὶ μὴ πλημμελοῦντας εὐεργετεῖ, σώζει δὲ ἀπειθεῖν ᾑρημένους διὰ τὴν αὐτῷ πρέπουσαν ἡμερότητα. Μηδεὶς οὖν ἔστω σκληρὸς ἐν ἡμῖν, μήτε μὴν βραδὺς εἰς αἴσθησιν τῶν παρ' αὐτοῦ χαρισμάτων, ἀλλὰ δι' ὧν ἔγνω καὶ οὐκ ὄντας ἀγαθοὺς εὐεργετεῖν, διὰ τούτων αὐτῶν, ἐς ἐπίγνωσιν τῆς ἐνούσης αὐτῷ φιλανθρωπίας ἐρχόμενοι, μεταγινώσκωμεν ἐπὶ τοῖς παρῳχηκόσι. Μεταπλάττωμεν δὲ τὸ ἴδιον θέλημα πρὸς τὸ χρῆναι δουλεύειν αὐτῷ, καὶ τοὺς τῆς ἐπιεικείας ἀνθελέσθαι τρόπους.

Στίχ. 14-15. «Καὶ ἀφελεῖ Κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας· αὕτη ἡ ἀρχή· καὶ προφήτην καὶ διδάσκοντα ἄνομα· οὗτος ἡ οὐρά. Καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς».

Ὑψηλὴν ἀπομεῖναι τὴν τοῦ παίοντος χεῖρα λέγων, οὔποτε τὴν θείαν ὀργὴν καταλῆξαι τὴν ἐπ' αὐτοῖς ἀφηγεῖται λαμπρῶς, καὶ ὁποῖός τις ἔσται κατὰ καιροὺς τῆς ἐπενεχθησομένης αὐτοῖς αἰκίας ὁ τρόπος. Ἀφαιρεθήσεται γάρ, φησίν, ἀπὸ Ἰσραὴλ ἐν ἡμέρᾳ μιᾷ, τοῦτ' ἔστι καθ' ἕνα καιρόν, δῆλον δὲ ὅτι πάντως που τὸν τοῦ πολέμου τοῦ παρὰ Ῥωμαίων, κεφαλήν τε καὶ οὐράν. Καὶ τί τὸ αἴνιγμα, διερμηνεύει, λέγων, μέγαν καὶ μικρόν, τοῦτ' ἔστι περιφανῆ τε καὶ ἄσημον. Καὶ τίνες ἂν εἶεν οὗτοι, πάλιν προσαπέδειξε προστιθείς· «Πρεσβύτην, καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας». Σημαίνει

τὴ ρίζα οἱ δυστυχεῖς καταστράφηκαν, ἀφοῦ πυρπολήθηκε ἡ χώρα τους, γκρεμίσθηκε ὁ ναός τους καὶ διαλύθηκε ὁλοσχερῶς, ὥστε νὰ μὴ βλέπει κανεὶς νὰ ὑπάρχει λίθος ἐπάνω σὲ λίθο, σύμφωνα μὲ τὸν λόγο τοῦ Σωτήρα. Δείχνοντας λοιπὸν ἀνεξικακία γιὰ τὰ πταίσματά μας ὁ φιλεύσπλαχνος Θεὸς τὸ νὰ κυριευόμαστε ἀπὸ ἀπόγνωση εἶναι πολὺ βαρύ, ἀλλὰ πρέπει, νομίζω, μὲ κάθε τρόπο νὰ προσπαθοῦμε νὰ τὸν μαλακώνουμε ὅταν εἶναι θυμωμένος. Καὶ ὅταν δὲν ἁμαρτάνομε μᾶς εὐεργετεῖ καὶ ὅταν δείχνομε ἀνυπακοὴ μᾶς σώζει σύμφωνα μὲ τὴν πραότητα ποὺ τοῦ ταιριάζει. Ἂς μὴν εἶναι λοιπὸν κανένας ἀπὸ μᾶς σκληρός, οὔτε νὰ ἀργεῖ νὰ ἀντιληφθεῖ τὶς δωρεές του, ἀλλ' ἀπὸ ὅσα ἔμαθε ὅτι εὐεργετεῖ καὶ τοὺς μὴ ἀγαθούς, μὲ αὐτὰ ἀκριβῶς ἐρχόμενοι σὲ ἐπίγνωση τῆς φιλανθρωπίας ποὺ ὑπάρχει σ' αὐτόν, νὰ μετανοοῦμε γιὰ τὰ περασμένα, καὶ νὰ μεταβάλλομε τὸ θέλημά μας στὴν ἀνάγκη νὰ τὸν ὑπηρετοῦμε καὶ νὰ ἐπιλέγομε τοὺς τρόπους τῆς ἐνάρετης ζωῆς.

> Στίχ. 14-15. «Καὶ θ' ἀφαιρέσει ὁ Κύριος ἀπὸ τὸν Ἰσραὴλ τὴν κεφαλὴ καὶ τὴν οὐρά, μεγάλο καὶ μικρὸ σὲ μιὰ ἡμέρα, τὸν γέροντα καὶ ἐκείνους ποὺ θαυμάζουν τὰ πρόσωπα (αὐτὴ εἶναι ἡ ἐξουσία), καὶ τὸν προφήτη καὶ ὅποιον διδάσκει τὴν ἀνομία (αὐτὸς εἶναι ἡ οὐρά). Κι αὐτοὶ ποὺ μακαρίζουν αὐτὸν τὸ λαὸ τὸν παραπλανοῦν, καὶ τὸν παραπλανοῦν γιὰ νὰ τὸν καταπιοῦν».

Λέγοντας ὅτι θὰ μείνει ὑψωμένο τὸ χέρι ἐκείνου ποὺ δίνει τὰ πλήγματα, παρουσιάζει λαμπρὰ ὅτι ποτὲ δὲν θὰ τελειώσει ἡ ἐναντίον τους θεία ὀργή, καὶ ποιὸς θὰ εἶναι κατὰ καιροὺς ὁ τρόπος τῆς τιμωρίας ποὺ θὰ τοὺς ἐπιβληθεῖ. Θ' ἀφαιρεθεῖ, λέγει, ἀπὸ τὸν Ἰσραὴλ σὲ μιὰ ἡμέρα, δηλαδὴ σὲ κάποια χρονικὴ περίοδο, καὶ εἶναι φανερὸ ὁπωσδήποτε τὸν καιρὸ τοῦ Ρωμαϊκοῦ πολέμου, ἡ κεφαλὴ καὶ ἡ οὐρά. Καὶ ἐξηγεῖ τί θέλει νὰ πεῖ τὸ αἴνιγμα, λέγοντας «μεγάλο καὶ μικρό», δηλαδὴ ἐπιφανῆ καὶ ἄσημο. Καὶ ποιοὶ εἶναι αὐτοὶ τὸ δείχνει κι αὐτὸ προσθέτοντας· «Γέροντα καὶ ἐκείνους ποὺ θαυμάζουν τὰ πρόσωπα». Μὲ αὐτὰ δηλώνει, ὅπως ἐγὼ νομίζω, τὴ

δὲ διὰ τούτων, καθάπερ ἐγᾦμαι, τὴν ἱερᾶσθαι λαχοῦσαν φυλήν, τοῦτ' ἔστι τοὺς ἐξ αἵματος Λευΐ, οὓς καὶ πρεσβυτέρους ὠνόμαζον οἱ ὑπὸ χεῖρα λαοί. Καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ προσπεφωνήκασιν αὐτοῖς οὕτω λέγοντες· «Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι, εἰ ἡμεῖς σήμερον ἀνακρουόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω ὑμῖν καὶ παντὶ τῷ λαῷ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου». Οὗτοι γὰρ οἱ πρεσβύτεροι, τὴν τοῦ κρίνειν ἔχοντες ἐξουσίαν, οὐκ ὀρθὰς τὰς ἐφ' ἑκάστῳ τῶν παρ' αὐτοῖς κρινομένων ἐποιοῦντο ψήφους, δωροδοκοῦντες ἁπλήστως καὶ τὰ τῶν πλουσίων θαυμάζοντες πρόσωπα, καίτοι τοῦ διὰ Μωσέως κεκραγότος νόμου· «Κρῖμα δίκαιον κρίνατε», καὶ τό, «Οὐ λήψῃ πρόσωπον ἐν κρίσει», τιθέντος πανταχῇ.

Αὕτη τοίνυν, φησίν, ἡ ἀρχή· λελόγιστο δὲ καὶ εἰς κεφαλήν. Κεφαλὴ γὰρ λαῶν ἱερεύς, ὅταν ὡς ἐφ' ἑνὸς νοεῖται σώματος. Συναφαιρεθήσεσθαι δὲ τῷ πρεσβύτῃ φησὶ καὶ προφήτην καὶ διδάσκοντα ἄνομα. Καὶ τοῦτον εἶναι, φησί, τὴν οὐράν, τοῦτ' ἔστι τὸ ἑπόμενον. Ἦσαν μὲν γάρ τινες παρὰ τοῖς Ἰουδαίοις, τὸν διὰ τοῦ πανσόφου Μωσέως διερμηνεύοντες νόμον· ἔδρων δὲ τοῦτο διεστραμμένως, τοῖς διὰ Μωσέως λόγοις ἐπάγοντες οὐκ ὀρθῶς παραδόσεις ἀγράφους, ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. Οὗτοι τὸν τῶν Ἰουδαίων πεπλανήκασι δῆμον καὶ γαῦρον ἐγεῖραι κατὰ Χριστοῦ πεποιήκασι τὸν αὐχένα. Ἐπειδὴ τοίνυν εἵποντο καὶ οὗτοι ταῖς τῶν ἱερέων γνώμαις, οἳ καὶ ἐν τάξει τέθειντο τῆς κεφαλῆς, οὐρὰν ὠνόμασεν αὐτούς. Ὡς γὰρ ἔφην, ὅταν ὡς ἐφ' ἑνὸς νοῶμεν σώματος, ἕπεται πάντως ἡ οὐρὰ τῇ κεφαλῇ. Ἐπειδὴ δὲ προφήτας ὠνόμασεν αὐτούς, οὐχ ἁγίους εἶναι καὶ ἀληθεῖς λογιούμεθα. Προστέθεικε γὰρ τό, ὅτι «διδάσκουσιν ἄνομα».

Πλὴν ἐκεῖνό φαμεν· Ἦσαν μὲν γὰρ ἐν τῷ Ἰσραὴλ ψευδοπροφῆται κατὰ καιρούς, δηλονότι καθ' οὓς ἦσαν οἱ κατὰ

φυλὴ ποὺ τῆς ἔλαχε ἡ ἱερατεία, δηλαδὴ τοὺς ἐξ αἵματος Λευῖτες, τοὺς ὁποίους ὀνόμαζε καὶ πρεσβυτέρους ὁ κόσμος ποὺ ἦταν στὴ δικαιοδοσία τους. Καὶ πράγματι οἱ θεσπέσιοι μαθητὲς τοὺς προσφώνησαν ἔτσι, λέγοντας· «Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι, ἂν ἐμεῖς σήμερα ἀνακρινόμαστε γιατὶ εὐεργετήσαμε ἕναν ἀσθενῆ, πῶς αὐτὸς σώθηκε, μάθετε ἐσεῖς καὶ ὅλος ὁ λαός, ὅτι σώθηκε στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου»[86]. Γιατὶ αὐτοὶ οἱ πρεσβύτεροι, ποὺ εἶχαν τὴν ἐξουσία νὰ κρίνουν, δὲν ἔβγαζαν σωστὲς ἀποφάσεις γιὰ τὸν καθένα ἀπὸ ἐκείνους ποὺ δίκαζαν, παίρνοντας δῶρα μὲ ἁπληστία καὶ θαυμάζοντας τὰ πρόσωπα τῶν πλουσίων, μολονότι ὁ νόμος τοῦ Μωυσῆ φωνάζει καὶ ἐπαναλαμβάνει παντοῦ· «Νὰ βγάλετε δίκαια ἀπόφαση»[87], καὶ τό, «Δὲν θὰ λάβεις ὑπόψει σου πρόσωπο στὴ δίκη»[88].

Αὐτὴ λοιπόν, λέγει, εἶναι ἡ ἀρχή· μπορεῖ ὅμως νὰ θεωρηθεῖ καὶ ὡς κεφαλή. Γιατὶ κεφαλὴ τῶν λαῶν εἶναι ὁ ἱερέας, ὅταν νοεῖται ὡς κεφαλὴ ἑνὸς σώματος. Θὰ ἀφαιρεθεῖ ὅμως λέγει μαζὶ μὲ τὸν πρεσβύτερο καὶ ὁ προφήτης καὶ αὐτὸς ποὺ διδάσκει ἀνομίες. Κι αὐτός, λέγει, εἶναι ἡ οὐρά, δηλαδὴ αὐτὸ ποὺ ἀκολουθεῖ. Γιατὶ ὑπῆρχαν κάποιοι στοὺς Ἰουδαίους ποὺ ἐξηγοῦσαν τὸ νόμο τοῦ πάνσοφου Μωυσῆ, ἀλλὰ τὸ ἔκαναν αὐτὸ διαστρέφοντας τὸ νόμο καὶ εἰσάγοντας στοὺς λόγους τοῦ Μωυσῆ ὄχι ὀρθὰ ἄγραφες παραδόσεις, ἐντολὲς καὶ διδασκαλίες ἀνθρώπων. Αὐτοὶ παραπλάνησαν τὸν Ἰουδαϊκὸ λαὸ καὶ τὸν ἔκαναν νὰ ὑψώσει ἀλαζονικὰ τὸν αὐχένα κατὰ τοῦ Χριστοῦ. Ἐπειδὴ λοιπὸν ἀκολουθοῦσαν κι αὐτοὶ τὶς γνῶμες τῶν ἱερέων, ποὺ ἦταν τοποθετημένοι στὴ θέση τῆς κεφαλῆς, αὐτοὺς τοὺς ὀνόμασε οὐρά. Ὅπως δηλαδὴ εἶπα, ὅταν νοοῦμε ἕνα σῶμα, ἡ οὐρὰ ὁπωσδήποτε ἀκολουθεῖ τὴν κεφαλή. Ἐπειδὴ ὅμως τοὺς ὀνόμασε προφῆτες, δὲν θὰ σκεφθοῦμε ὅτι εἶναι ἅγιοι καὶ ἀληθεῖς. Γιατὶ πρόσθεσε τό, «διδάσκουν παρανομίες».

Πλὴν ὅμως θὰ ποῦμε ἐκεῖνο· Ὑπῆρχαν δηλαδὴ ἀνάμεσα στοὺς Ἰσραηλῖτες κατὰ καιροὺς ψευδοπροφῆτες, δηλαδὴ σὲ ἀντί-

86. Πράξ. 4, 8-10. 87. Ζαχ. 7, 9. πρβλ. Δευτ. 1, 16.. 88. Δευτ. 1, 17.

ἀλήθειαν προφῆται, μετὰ δέ γε τοὺς τῆς αἰχμαλωσίας καιροὺς ἀραρότως εἰπεῖν οὐκ ἂν δύναιτό τις, ὅτι γεγόνασι κατ' ἐκείνους ἕτεροί τινες, εἰ μὴ ἄρα τις ἐκείνους λέγοι, ὧν καὶ διαμέμνηται Γαμαλιήλ, νομοδιδάσκαλος ὢν καὶ τίμιος παντὶ τῷ λαῷ, κατά γε τὸ γεγραμμένον ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων. Προσπεφώνηκε γὰρ οὕτω περὶ τῶν ἁγίων ἀποστόλων τοῖς ἐν τῷ συνεδρίῳ, λέγων· «Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς λέγων τινὰ εἶναι ἑαυτὸν μέγαν, ᾧ προσεκλίθη ἀνδρῶν ἀριθμὸς ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι εἴποντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ὀπίσω αὐτοῦ. Κἀκεῖνος ἀπώλετο καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν».

Ἀφαιρεθήσεσθαι τοίνυν, φησί, κεφαλὴν καὶ οὐράν, κατά γε τὴν ἀρτίως ἡμῖν προαποδοθεῖσαν διάνοιαν. Πλὴν τοὺς μακαρίζοντας τὸν λαὸν τοῦτον πλανῶντας ἔσεσθαί φησι, καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς· οἱ γὰρ τῶν Ἰουδαίων καθηγηταὶ τὴν ἱεράν τε καὶ θείαν πεπιστευμένοι σκηνὴν καὶ τὰς κατὰ νόμους θυσίας ἐπιτελεῖν ἐπιτεταγμένοι, προὔτρεπον εἰς δωροφορίας τοὺς ὑπὸ χεῖρα λαούς, μακαρίους αὐτοὺς εἶναι λέγοντες, εἰ προσάγοιεν ἀμφιλαφῶς. Ἔδρων δὲ τοῦτο πικρῶς, οὐ τῆς εἰς Θεὸν αἰδοῦς μεταποιούμενοι καὶ πεφροντικότες, ἀλλ' εἰς τὰς σφῶν αὐτῶν ὁρῶντες φιλοκερδίας. Ταύτῃ τοί φησι πλανῶσιν, ὅπως καταπίωσιν αὐτούς. Ἀκόρεστοι γὰρ ὄντες, ὡς ἔφην, εἰς τὸ βούλεσθαι πλουτεῖν, οὐχ ὅτι προσήκει, διὰ τοῦ τὸν νόμον ἑλέσθαι πληροῦν, τὸν τῶν ὅλων εὐφρᾶναι Θεὸν ἐδίδασκον τοὺς λαούς, προὔτρεπον δὲ μᾶλλον καὶ ταῖς ὑπὲρ δύναμιν καταγεραίρειν προσαγωγαῖς. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας οὔτε

89. Πράξ. 5,35-37.

θεση μὲ τοὺς ἀληθινοὺς προφῆτες, μετὰ τοὺς χρόνους ὅμως τῆς αἰχμαλωσίας δὲν θὰ μποροῦσε κανεὶς νὰ ὑποστηρίξει ὀρθὰ ὅτι ἔγιναν κάποιοι ὅμοιοι μ᾽ ἐκείνους, ἐκτὸς ἂν ἐννοεῖ κανεὶς ἐκείνους ποὺ ἀναφέρει ὁ Γαμαλιὴλ ποὺ ἦταν νομοδιδάσκαλος καὶ τὸν τιμοῦσε ὁ λαὸς ὅλος, ὅπως γράφουν οἱ Πράξεις τῶν ἁγίων Ἀποστόλων. Γιατὶ κατὰ τὴν προσφώνησή του στὸ συνέδριο σχετικὰ μὲ τοὺς ἁγίους ἀποστόλους εἶπε· «Ἄνδρες Ἰσραηλῖτες, νὰ εἴσαστε προσεκτικοὶ ὡς πρὸς αὐτὸ ποὺ πρόκειται νὰ κάνετε γιὰ τοὺς ἀνθρώπους αὐτούς. Γιατὶ πρὶν ἀπὸ τὶς ἡμέρες αὐτὲς παρουσιάσθηκε ὁ Θευδᾶς λέγοντας ὅτι εἶναι κάποιος σπουδαῖος, καὶ τὸν ἀκολούθησε ἕνας ἀριθμὸς περίπου τετρακοσίων ἀνθρώπων, ὁ ὁποῖος θανατώθηκε καὶ ὅλοι ὅσοι τὸν ἀκολουθοῦσαν διαλύθηκαν καὶ ἐξαφανίσθηκαν. Μετὰ ἀπὸ αὐτὸν παρουσιάσθηκε ὁ Ἰούδας ὁ Γαλιλαῖος, κατὰ τὶς ἡμέρες τῆς ἀπογραφῆς, καὶ παρέσυρε ἀρκετὸ κόσμο πίσω του. Καὶ ἐκεῖνος χάθηκε καὶ ὅλοι ὅσοι τὸν ἀκολουθοῦσαν διασκορπίσθηκαν»[89].

Θ᾽ ἀφαιρεθοῦν λοιπόν, λέγει, ἡ κεφαλὴ καὶ ἡ οὐρὰ σύμφωνα μὲ τὴν ἐξήγηση ποὺ ἐκθέσαμε προηγουμένως. Πλὴν ὅμως ὅσοι μακαρίζουν τὸν λαὸ αὐτὸν εἶναι, λέγει, αὐτοὶ ποὺ τὸν παραπλανοῦν, καὶ τὸν παραπλανοῦν γιὰ νὰ τὸν καταπιοῦν· γιατὶ οἱ καθηγητὲς τῶν Ἰουδαίων στοὺς ὁποίους ἦταν ἐμπιστευμένη ἡ ἱερὴ καὶ θεία σκηνὴ καὶ εἶχαν ἐντολὴ νὰ τελοῦν τὶς σύμφωνες μὲ τὸ νόμο θυσίες, προέτρεπαν ἐκείνους ποὺ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τους νὰ τοὺς φέρνουν δῶρα, λέγοντάς τους ὅτι εἶναι μακάριοι ἂν ἔκαναν πλούσιες προσφορές· καὶ αὐτὸ τὸ ἔκαναν μὲ μοχθηρία, ὄχι ἀπὸ σεβασμὸ καὶ φροντίδα στὸν Θεό, ἀλλὰ ἀποβλέποντας στὰ δικά τους κέρδη. Γι᾽ αὐτὸ λέγει τοὺς παραπλανοῦν, μὲ σκοπὸ νὰ τοὺς καταπιοῦν. Γιατὶ ἔχοντας ἀχόρταγη, ὅπως εἶπα, τὴν ἐπιθυμία νὰ πλουτήσουν, δὲν δίδασκαν τὸν κόσμο, ὅτι ἔπρεπε μὲ τὴν ἐκπλήρωση τοῦ νόμου νὰ ἐπιδιώκουν νὰ εὐχαριστήσουν τὸν Θεὸ τῶν ὅλων, ἀλλὰ τὸν προέτρεπαν νὰ τὸν τιμοῦν καὶ μὲ προσφορὲς πάνω ἀπὸ τὴ δύναμή τους. Γι᾽ αὐτὸ τὸ λόγο οὔτε αὐτοὶ δέχθηκαν

αὐτοὶ προσήκαντο τὴν πίστιν τὴν εἰς Χριστόν, κλείοντες δὲ ὥσπερ τὴν βασιλείαν τῶν οὐρανῶν, οὐδ' ἑτέρους εἰσελθεῖν συγκεχωρήκασιν εἰς αὐτήν. Ἤδεσαν γὰρ ὅτι τῆς κατὰ νόμον ἀργούσης σκιᾶς καὶ τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσδεδεγμένων, πεπαύσεται πάντως ἡ ἐν τύποις καὶ δι' αἱμάτων λατρεία, ἀργήσουσι δὲ καὶ θυσίαι, τῆς ἐν πνεύματι λατρείας εἰσκεκομισμένης. Τοῦτο δὲ ἀναίρεσις παντελὴς τῆς ἐνούσης αὐτοῖς ἀκορέστου φιλοκερδίας

Στίχ. 16. «Διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται ὁ Θεός, καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει, ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ ἄδικα».

Ἀποφέρει καὶ νῦν ὁ λόγος ἡμᾶς ἐκ παραδειγμάτων ἐμφανῶν εἰς τὰ ὑπὲρ αἴσθησίν τε καὶ νοητά. Νεανίσκους γὰρ ἐνθάδε φησίν, οὐχὶ δήπου πάντως τοὺς ἐν εὐρωστίᾳ σώματος, ἤτοι τοὺς ἐν ἀκμαῖς τε καὶ ἥβῃ σαρκικῇ, σημαίνει δὲ μᾶλλον τοὺς οἵπερ ἂν ἔχοιεν εἰς νοῦν καὶ καρδίαν ἰσχὺν τὴν πνευματικήν, ὥστε δύνασθαι κατορθοῦν, καὶ μάλα νεανικῶς, τὰ δι' ὧν ἔσονται λαμπροὶ καὶ Θεῷ γνωριμώτατοι καὶ ἁπάσης ἐπιεικείας ἔμπλεοι. Τοῖς ὧδε τὴν ἕξιν διακειμένοις καὶ ὁ μακάριος Ἰωάννης προσπεφώνηκε, λέγων· «Γράφω ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ νενικήκατε τὸν πονηρόν».

Ἀλλὰ πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας γεγόνασί τινες, καὶ παρὰ τοῖς Ἰουδαίοις, καθ' ὃν ἔφην ἀρτίως τρόπον, ἀνδρίζεσθαι μεμελετηκότες, διὰ τοῦ καὶ ἀμωμήτως ἑλέσθαι πληροῦν τὴν παραδοθεῖσαν ἐντολήν, καὶ τοῖς κατὰ νόμον αὐχήμασιν διαπρέπειν δύνασθαι καὶ μάλα πλουσίως. Ἦσαν δὲ οὐκ ἀπόβλητοι παρὰ Θεῷ. Καιρὸς γὰρ ἦν ἔτι τῆς ἐν νόμῳ σκιᾶς, καὶ τῆς εὐαγγελικῆς καὶ ἐν Χριστῷ πολιτείας οὔπω πεφανερωμένης, ἐν ἐπαίνοις ἦν ἐκεῖνα πολλοῖς. Οὕτω καὶ γέγραπται περί τε Ζαχαρίου καὶ Ἐλισάβεθ·

τὴν πίστη στὸν Χριστό, κλείνοντας κατὰ κάποιο τρόπο τὴ βασιλεία τῶν οὐρανῶν, οὔτε σὲ ἄλλους ἔδωσαν τὴ δυνατότητα νὰ μποῦν σ' αὐτήν. Γιατὶ γνώριζαν ὅτι, ἂν καταργοῦνταν ἡ σκιὰ τοῦ νόμου καὶ γίνονταν δεκτὰ τὰ εὐαγγελικὰ κηρύγματα, θὰ ἔπαυε ὁπωσδήποτε ἡ λατρεία μὲ τύπους καὶ αἵματα, θὰ καταργοῦνταν καὶ οἱ θυσίες, ἀφοῦ θὰ εἰσαγόταν ἡ πνευματικὴ λατρεία. Κι αὐτὸ θὰ ἦταν πλήρης ἀναίρεση τῆς ἀγόρταγης φιλοκερδίας τους.

Στίχ. 16. «Γι' αὐτὸ δὲν θὰ εὐαρεστηθεῖ ὁ Θεὸς ἀπὸ τὰ νεαρὰ παιδιὰ τους καὶ δὲν θὰ ἐλεήσει τὰ ὀρφανὰ καὶ τὶς χῆρες τους, γιατὶ ὅλοι εἶναι πονηροὶ καὶ καθένας τους ξεστομίζει ἀδικίες».

Καὶ ἐδῶ ὁ λόγος μᾶς μεταφέρει ἀπὸ φανερὰ παραδείγματα στὰ ὑπεραισθητὰ καὶ νοητά. Γιατὶ «νεαρὰ παιδιὰ» ἐδῶ λέγει ὄχι βέβαια αὐτοὺς ποὺ ἔχουν ὁπωσδήποτε εὔρωστα σώματα, ἤτοι αὐτοὺς ποὺ βρίσκοναι σὲ ἀκμὴ καὶ νεότητα σαρκική, ἀλλὰ μᾶλλον δηλώνει αὐτοὺς ποὺ ἔχουν στὸ νοῦ καὶ τὴν ψυχή τους τὴν πνευματικὴ δύναμη, ὥστε νὰ μποροῦν νὰ κατορθώσουν, καὶ μάλιστα μὲ νεανικὴ ὁρμή, ἐκεῖνα μὲ τὰ ὁποῖα θὰ γίνουν λαμπροὶ καὶ ἀναγνωρίσιμοι ἀπὸ τὸν Θεὸ καὶ γεμᾶτοι ἀπὸ κάθε εἶδος ἀρετῆς. Σ' αὐτοὺς ποὺ βρίσκονται σ' αὐτὴ τὴν κατάσταση ἔκανε καὶ ὁ μακάριος Ἰωάννης τὴν ἑξῆς προσφώνηση· «Σᾶς γράφω, νεαροί μου, γιατὶ εἴσατε δυνατοὶ καὶ ἔχετε νικήσει τὸν πονηρό»[90].

Ἀλλὰ πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Σωτήρα μας παρουσιάσθηκαν κάποιοι καὶ μέσα στοὺς Ἰουδαίους μὲ τὸν τρόπο ποὺ εἶπε πρὶν ἀπὸ λίγο, ποὺ εἶχαν σκοπό τους τὴν ἀνδρεία, μὲ τὴν ἀπόφαση νὰ ἐκτελοῦν ἄμεμπτα τὴν ἐντολὴ ποὺ τοὺς εἶχε δοθεῖ καὶ νὰ μποροῦν νὰ διαπρέπουν μὲ πολλὴ περίσσεια στὰ σύμφωνα μὲ τὸ νόμο κατορθώματα. Καὶ δὲν ἦταν ἀπόβλητοι ἀπὸ τὸν Θεό. Γιατὶ ἦταν ἀκόμα καιρὸς τῆς σκιᾶς τοῦ νόμου, καὶ ἐπειδὴ ἡ στὸ ὄνομα τοῦ Χριστοῦ εὐαγγελικὴ πολιτεία δὲν εἶχε ἀκόμα φανερωθεῖ, αὐτὰ ἀποσποῦσαν πολλοὺς ἐπαίνους. Ἔτσι ἔχει γραφεῖ γιὰ τὸν

90. Α Ἰω. 2, 13.

«Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασιλέως τῆς Ἰουδαίας ἱερεύς τις, ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιᾶ, καὶ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλιζάβεθ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐναντίον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι». Κατὰ τοῦτον, οἶμαι, διαβιῶναι τὸν τρόπον καὶ αὐτοὺς τοὺς ἁγίους προφήτας. Καὶ μὴν καὶ ὁ θεσπέσιος Παῦλος καίτοι λέγων ἀναφανδόν, ὅτι γέγονε κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ ἄμεμπτος· «Ἀλλά τί ἦν μοι κέρδος; Ταῦτα», φησίν, «ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν».

Οὐκοῦν πρὸ μὲν τῆς ἐπιδημίας τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τοῖς κατὰ νόμον αὐχήμασιν εὐδοκιμοῦντές τινες, ἀνδρεῖοί τε ἦσαν καὶ νεανικοί, μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὸ κήρυγμα τὸ εὐαγγελικὸν πέπαυται τὰ ἐν νόμῳ, μετεφοίτησεν ἡ σκιὰ πρὸς ἀλήθειαν, εἰσκεκόμισται δὲ ἡ ἐν πνεύματί τε καὶ ἀληθὴς λατρεία. Οὐκ οὖν εὐφραίνεται Θεὸς ἐπὶ τοῖς τῶν Ἰουδαίων νεανίσκοις, τοῦτ' ἔστι τοῖς ἀνδριζομένοις ἔτι, διά γε τοῦ ζῆν ἑλέσθαι νομίμως. Ἀπαράδεκτοι δὲ αἱ δι' αἱμάτων θυσίαι καὶ σαρκὸς περιτομή, βαπτισμῶν διδαχαὶ καὶ Σαββάτων ἀργεῖαι, δεδιδάγμεθα δέ, ὡς ἔφην, τῆς ἀνδανούσης Θεῷ πολιτείας τὴν ὁδόν. Ἀπόβλητοι δὴ οὖν, καὶ μάλα εἰκότως, μετὰ τὴν κατάληξιν τῆς σκιᾶς οἱ κατ' αὐτὴν νεανίσκοι, καὶ τοῦ κατοικτείρεσθαι μακρὰν ὀρφανοί τε καὶ χῆραι. Ὀρφανοὺς δέ φησι τοὺς οἷον ἀναστροφῆς δεομένους τῆς πνευματικῆς καὶ παιδαγωγίας τῆς ἐκ διδασκάλων. Χήρας τε ὁμοίως ψυχὰς εἶναί φαμεν τὰς τοῦ δύνασθαι καρποφορεῖν ἐν ἐνδείᾳ γεγενημένας διά τε τὸ μὴ ἔχειν τὸν ἁπάντων αὐταῖς τῶν ἀγαθῶν μαθημάτων σπορέα τε καὶ χορηγόν.

Ὅτι δὲ παιδεύσεως ἀληθοῦς ἠμοιρηκότας εὑρήσομεν τοὺς ἐξ Ἰσραήλ, διά γε τὴν εἰς Χριστὸν παροινίαν, ἐπαινέ-

91. Λουκᾶ 1, 5-6.

Ζαχαρία καὶ τὴν Ἐλισάβετ· «Τὶς ἡμέρες τοῦ Ἡρώδη, τοῦ βασιλιᾶ τῆς Ἰουδαίας, ὑπῆρχε κάποιος ἱερέας, ὀνομαζόμενος Ζαχαρίας, ἀπὸ τὴν ἱερατικὴ τάξη τοῦ Ἀβιᾶ, καὶ ἡ γυναίκα του ἀπὸ τὶς θυγατέρες τοῦ Ἀαρὼν καὶ μὲ τὸ ὄνομα Ἐλισάβετ. Καὶ οἱ δύο ἦταν δίκαιοι ἐνώπιον τοῦ Θεοῦ καὶ πορεύονταν ἄμεμπτα σύμφωνα μὲ ὅλες τὶς ἐντολὲς καὶ τὰ παραγγέλματα τοῦ Κυρίου»[91]. Μὲ τὸν ἴδιο τρόπο, νομίζω, ἔζησαν καὶ αὐτοὶ οἱ ἅγιοι προφῆτες. Καὶ βέβαια καὶ ὁ θεσπέσιος Παῦλος, μολονότι λέγει ἀπερίφραστα, ὅτι ἔγινε ἄμεμπτος σύμφωνα μὲ τὴ δικαιοσύνη τοῦ νόμου, ὅμως διερωτᾶται· «Ἀλλὰ ποιὸ τὸ κέρδος μου; Γιατὶ αὐτὰ τὰ θεωρῶ ζημία ἐξαιτίας τοῦ Χριστοῦ»[92].

Πρὶν ἀπὸ τὴν ἔλευση τοῦ Σωτήρα ὅλων μας Χριστοῦ, εὐδοκιμώντας κάποιοι στὰ κατορθώματα τὰ ὁριζόμενα ἀπὸ τὸ νόμο, ἦταν ἀνδρεῖοι καὶ μὲ νεανικὸ φρόνημα, μετὰ τὴ φανέρωση ὅμως αὐτοῦ καὶ τὸ εὐαγγελικὸ κήρυγμα ὁ νόμος ἔπαυσε νὰ ἰσχύει, ἡ σκιὰ μετατράπηκε σὲ ἀλήθεια, καὶ εἰσῆλθε ἡ πνευματικὴ καὶ ἀληθινὴ λατρεία. Δὲν εὐαρεστεῖται ὁ Θεὸς μὲ τοὺς νεανίσκους τῶν Ἰουδαίων, δηλαδὴ αὐτοὺς ποὺ δείχνουν ἀνδρεία ἀκόμα μὲ τὴν ἐκλογὴ τῆς σύμφωνα μὲ τὸ νόμο ζωῆς. Εἶναι ἀπαράδεκτες πιὰ οἱ αἱματηρὲς θυσίες καὶ ἡ περιτομὴ τῆς σάρκας, καθὼς καὶ διδασκαλίες γιὰ βαπτίσματα καὶ ἀργίες Σαββάτου, γιατί, ὅπως εἶπα, διδαχθήκαμε τὴν ὁδὸ τοῦ τρόπο ζωῆς ποὺ εἶναι ἀρεστὸς στὸν Θεό. Εἶναι λοιπὸν ἀπόβλητοι, καὶ πολὺ εὔλογα, μετὰ τὸ τέλος τῆς σκιᾶς οἱ σύμφωνοι μὲ αὐτὴν νεανίσκοι, καὶ μακριὰ ἡ ἐκδήλωση εὐσπλαγχνίας γιὰ τὰ ὀρφανὰ καὶ τὶς χῆρες. «Ὀρφανοὺς» ὀνομάζει αὐτοὺς ποὺ ἔχουν ἀνάγκη ἀπὸ πνευματικὴ συναναστροφὴ καὶ παιδαγωγία ἀπὸ δασκάλους. «Χῆρες» ὅμοια, λέμε, ὅτι εἶναι οἱ ψυχὲς ποὺ μποροῦν νὰ καρποφορήσουν, ἂν καὶ βρίσκονται σὲ πτωχεία πνευματική, ἐπειδὴ δὲν ἔχουν τὸ σπορέα καὶ χορηγὸ ὅλων τῶν ἀγαθῶν μαθημάτων.

Ὅτι ὅμως θὰ βροῦμε τοὺς Ἰσραηλῖτες γυμνοὺς ἀπὸ τὴν ἀληθινὴ παίδευση ἐξαιτίας τῆς παραφροσύνης τους, δὲν θὰ μπο-

92. Φιλιπ. 3, 7.

σειεν ἂν οὐδείς. Ἐσκοτίσθησαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν, καὶ συνεκάμφθη τὰ νῶτα αὐτῶν. Καὶ τοῦτο διὰ παντός, ὡς μὴ δύνασθαι τὰ ἄνω βλέπειν, ἀλλ' οἱονεὶ κεκυφότας, τοῖς γηΐνοις ἐνεροηρεῖσθαι πράγμασι. Πείσονται δὲ τοῦτο, φησίν, οὐ μάτην, ἀλλ' ὅτι πάντες ἄνομοι γεγόνασι καὶ πονηροὶ καὶ πᾶν στόμα λαλεῖ ἄνομα. Πῶς γὰρ οὐκ ἄνομοι καὶ ἁπάσης ἔμπλεοι πονηρίας, οἱ θανάτῳ περιβαλεῖν σπουδάσαντες τὸν καλοῦντα πρὸς ζωήν, τὸν οὐκ εἰδότα τὴν ἁμαρτίαν, καίτοι τοῦ νόμου λέγοντος σαφῶς, «Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς»; Πῶς οὐ πᾶσα γλῶσσα τῶν Ἰουδαίων λελάληκεν ἄδικα; Κατεκεκράγεσαν γὰρ τοῦ Χριστοῦ Πιλάτῳ λέγοντες· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν», καί, «Ἐὰν μὴ τοῦτον ἀποκτείνῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος».

Στίχ. 16-20. «Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός, καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα. Διὰ θυμὸν ὀργῆς Κυρίου συγκέκαυσται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κεκαυμένος, ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, ἀλλ' ἐκκλινεῖ εἰς τὰ δεξιά, ὅτι πεινάσει καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραΐμ καὶ Ἐφραΐμ τοῦ Μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν».

Ἀχμαζούσης ἔτι τῆς θείας ὀργῆς, ἐπηρτημένης δὲ καὶ αὐτῆς τῆς χειρὸς τῆς ἐπαγούσης τὴν μάστιγα καὶ τὰς αἰκίας αὐτοῖς, ἕκαστα σαφῶς τῶν συμβησομένων προαναγορεύειν πειρᾶται, σωφρονεστέρους τοῖς δείμασι τοὺς ἀκρο-

93. Ψαλμ. 68, 24.
94. Ἔξ. 23, 7.

ροῦσε νὰ τὸ ἐπαινέσει κανείς. Γιατί, σύμφωνα μὲ τὸ λόγο τοῦ Ψαλμωδοῦ, «σκοτίσθηκαν τὰ μάτια τους γιὰ νὰ μὴ βλέπουν, καὶ ἡ πλάτη τους κυρτώθηκε»[93]. Καὶ αὐτὸ γιὰ πάντα, ὥστε νὰ μὴν μποροῦν νὰ βλέπουν τὰ οὐράνια, ἀλλὰ κυρτωμένοι κατὰ κάποιο τρόπο, εἶναι προσηλωμένοι στὰ γήινα πράγματα. Αὐτό, λέγει, θὰ τὸ πάθουν ὄχι ἄδικα, ἀλλ' ἐπειδὴ ὅλοι ἔγιναν ἄνομοι καὶ πονηροὶ καὶ καθένας ἐκστομίζει παρανομίες. Γιατὶ πῶς δὲν εἶναι ἄνομοι καὶ γεμᾶτοι ἀπὸ κάθε κακία, αὐτοὶ ποὺ φρόντισαν νὰ θανατώσουν αὐτὸν ποὺ καλεῖ στὴ ζωή, ποὺ δὲν γνωρίζει τὴν ἁμαρτία, μολονότι ὁ νόμος λέγει ρητά, «Δὲν θὰ θανατώσεις τὸν ἀθῶο καὶ τὸν δίκαιο»[94]. Πῶς κάθε Ἰουδαϊκὴ γλώσσα δὲν εἶπε ἀδικία; Γιατὶ κατακραύγαζαν ἐναντίον τοῦ Χριστοῦ στὸν Πιλᾶτο λέγοντας· «Πάρε τον, πάρε τον, σταύρωσέ τον»[95], καί, «Ἂν δὲν τὸν θανατώσεις δὲν εἶσαι φίλος τοῦ Καίσαρα»[96].

Στίχ. 16-20. «Παρ' ὅλα αὐτὰ ὅμως δὲν ἔπαυσε ὁ θυμὸς τοῦ Κυρίου, ἀλλ' ἀκόμα τὸ χέρι του εἶναι ὑψωμένο. Ἡ παρανομία θὰ φουντώσει σὰν φωτιὰ καὶ σὰν ἀγριάδα ξηρὴ θὰ κατα-φαγωθεῖ ἀπὸ τὴ φωτιά· θ' ἀνάψει πυρκαγιὰ στὰ δένδρα τοῦ δάσους καὶ θὰ καταφάγει ὁλόγυρα ὅλα τὰ βουνά. Ἀπὸ τὸ ξέσπασμα τῆς ὀργῆς τοῦ Κυρίου πῆρε φωτιὰ καὶ κατακάηκε ὅλη ἡ γῆ καὶ ὁ λαὸς κατακάηκε ἀπὸ τὴ φωτιά. Ὁ ἄνθρωπος δὲν θὰ λυπηθεῖ τὸν ἀδελφό του, ἀλλὰ θὰ στραφεῖ στὰ δεξιά, ἐπειδὴ θὰ πεινάσει καὶ θὰ θελήσει νὰ φάει ἀπὸ τὰ ἀριστερά, καὶ δὲν θὰ χορτάσει τὴν πεῖνα του τρώγοντας τὴν σάρκα τοῦ βραχιονά του. Ἡ φυλὴ τοῦ Μανασσῆ θὰ φάει τὶς σάρκες τῆς φυλῆς τοῦ Ἐφραΐμ καὶ ἡ φυλὴ τοῦ Ἐφραΐμ τοῦ Μανασσῆ, γιατὶ καὶ οἱ δύο μαζὶ θὰ πολιορκήσουν τὴ φυλὴ τοῦ Ἰούδα».

Ἐνῶ ἀκόμα ἦταν στὴν ἀκμή της ἡ θεία ὀργὴ κι ἐνῶ ἦταν ὑψωμένο τὸ χέρι ποὺ καταφέρει τὴ μάστιγα καὶ τὰ κακοπαθήματα σ' αὐτούς, ἐπιχειρεῖ νὰ προεξαγγείλει μὲ σαφήνεια καθένα ἀπὸ ὅσα ἔμελλαν νὰ συμβοῦν, κάνοντας φρονιμότερους μέσω τοῦ φό-

95. Ἰω. 19,15.

96. Ἰω. 19,12.

ωμένους ἀποτελῶν. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας προαναρρήσεις τῶν δεινῶν ἐποιεῖτο Θεός, ἵνα, δεδιότες τὸ προσκρούειν αὐτῷ, μὴ τοῖς ἐξ ὀργῆς ὑπενεχθεῖεν κακοῖς, ἔξω δὲ μᾶλλον ἀποφέροιντο τῶν δεινῶν. Καυθήσεσθαι τοίνυν τὴν ἀνομίαν ὡς πῦρ. «Ἀνομίαν» δέ φησιν οὐκ αὐτό που τὸ πρᾶγμα (τοῦτο γὰρ εὔηθες ἢ νοεῖν ἢ λέγειν), ἀλλὰ τοὺς ταῖς ἀνομίαις κατηχθησμένους, ἥκοντάς τε ἤδη πρὸς τοῦτο σκαιότητος τρόπων, ὡς μηκέτι μὲν ἀνόμους, ἀνομίαν δὲ μᾶλλον ὀνομάζεσθαι δεῖν. Οὗτοι τοιγαροῦν ὡς πῦρ καυθήσονται, φησί, τοῦτ' ἔστιν, αὐτοὶ καθ' ἑαυτῶν γενήσονται πῦρ. Οὐ γὰρ ἕτερός τις ἐποίσει τὴν φλόγα αὐτοῖς, ἀλλ' ἀρκέσουσιν ἀλλήλοις εἰς τοῦτο αὐτοί. Καυθήσονται δὲ ὡς ἄγρωστις ξηρά, καὶ ὡς δάση δρυμῶν. Μαίνονται γὰρ ἀεί πως αἱ φλόγες εἰς ὕλην πεσοῦσαι τὴν εὐκατάπρηστον· ἄγρωστιν δέ φημι τὴν ξηρὰν καὶ τὰ ἐν δρυμοῖς ξύλα.

Οἶμαι δὲ ἔγωγε τὸν προφητικὸν ἡμῖν λόγον ἐκεῖνα βούλεσθαι δηλοῦν ἐν τούτοις· Οὐεσπασιανοῦ γὰρ καὶ Τίτου, καθάπερ ἤδη προεῖπον, καταδηούντων τὴν Ἰουδαίαν καὶ τὰς ἐν αὐτῇ πολιορκούντων πόλεις, πλεῖστος ἦν ὁ ἐν ἑκάστῳ θόρυβος. Τοῦτο μὲν λιμοῦ κατατήκοντος, τοῦτο δὲ τῶν ἐν ἑκάστῃ στασιαστῶν οἴκους τε διαρπαζόντων, ἐπιφυομένων δὲ τοῖς δοκοῦσιν εἶναι διαφανεστέροις, ὡς γενέσθαι φορτικώτερον τὸν ἔξωθεν μάχης τὰ ἐκ τῶν ἐνοικούντων τολμήματα. Ταῦτα δὲ σαφῶς Ἰώσηπος ἱστορεῖ. Οὐκοῦν καυθήσεσθαί φησιν ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, ἄγρωστιν οἶμαι ξηράν, καὶ δάση δρυμοῦ τὴν ἀγελαίαν πληθὺν ὀνομάζων. Ἐμερίζοντο γὰρ κατ' ἀλλήλων εἰς διχονοίας καὶ στάσεις οἱ δῆμοι. Ὅτι δὲ καὶ τῶν εἶναί τι δοκούντων ἅψεται τὸ κακόν, προσαποφαίνει λέγων· «Καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα»· βουνούς, οἶμαι, λέγων τοὺς τῶν ἄλλων ὑπερκειμένους καὶ ἀνεστηκότας, ἢ κατὰ τὴν δόξαν ἢ κατὰ τὸν πλοῦτον ἢ καθ' ἕτερόν τινα τρόπον. Ἔφην δὲ

βου τοὺς ἀκροατές. Γι' αὐτὴ τὴν αἰτία λοιπὸν ἔκανε ὁ Θεὸς προεξαγγελίες τῶν δεινῶν, ὥστε, φοβούμενοι τὴν πρόσκρουση σ' αὐτόν, μήπως ὑποστοῦν τὶς συμφορὲς ἀπὸ τὴν ὀργή του, νὰ ἀποφύγουν μᾶλλον τὰ δεινά. Γιατὶ ἡ ἀνομία θ' ἀνάψει σὰν πυρκαγιά. «Ἀνομία» βέβαια λέγει ὄχι αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα (γιατὶ αὐτὸ εἶναι ἀνοησία νὰ τὸ σκέπτεται ἢ νὰ τὸ λέγει κανείς), ἀλλὰ ἐκείνους ποὺ ἔχουν ἐμπλακεῖ στὶς ἀνομίες κι ἔφτασαν σὲ τέτοιο βαθμὸ κακότητας, ὥστε δὲν πρέπει νὰ λέγονται ἄνομοι, ἀλλὰ μᾶλλον ἀνομία. Αὐτοὶ λοιπὸν θὰ ἀνάψουν σὰν φωτιά, λέγει, δηλαδὴ αὐτοὶ οἱ ἴδιοι θὰ γίνουν φωτιὰ ἐναντίον τοῦ ἑαυτοῦ τους. Γιατὶ δὲν θὰ βάλει τὴ φλόγα σ' αὐτοὺς κάποιος ἄλλος, ἀλλὰ θὰ τὸ κάνουν αὐτοὶ μεταξύ τους. Θὰ καοῦν σὰν ξηραμένη ἀγριάδα καὶ σὰν δένδρα στὸ δάσος. Γιατὶ οἱ φλόγες κάνουν πάντοτε σὰν μανιακὲς ὅταν πέσουν σὲ εὔφλεκτα ὑλικά, καὶ ἐννοῶ τὴν ξηρὴ ἀγριάδα καὶ τὰ ξερὰ δέντρα τοῦ δάσους.

Ἐγὼ βέβαια νομίζω ὅτι μ' αὐτὰ θέλει ὁ προφητικὸς λόγος νὰ δηλώσει ἐκεῖνα. Ὅταν δηλαδὴ ὁ Βεσπασιανὸς καὶ ὁ Τίτος, ὅπως ἤδη ἔχω πεῖ, λεηλατοῦσαν τὴν Ἰουδαία καὶ πολιορκοῦσαν τὶς πόλεις της, ἦταν μεγάλη ἡ ἀνησυχία στὸ καθένα. Ἀπὸ τὴ μιὰ τοὺς ἔλειωνε ἡ πεῖνα, κι ἀπὸ τὴν ἄλλη οἱ στασιαστὲς σὲ κάθε μία λεηλατοῦσαν τὰ σπίτια καὶ ὁρμοῦσαν σὲ ἐκείνους ποὺ φαίνονταν πιὸ ἐπιφανεῖς, ὥστε νὰ γίνονται οἱ πράξεις βίας τῶν κατοίκων πιὸ ἀνυπόφορες ἀπὸ τὸν ἔξω πόλεμο. Αὐτὰ τὰ διηγεῖται μὲ σαφήνεια ὁ Ἰώσηπος. Θ' ἀνάψει λοιπὸν πυρκαγιὰ στὰ δένδρα τοῦ δάσους, ὀνομάζοντας, νομίζω, ξηρὴ ἀγριάδα καὶ δένδρα τοῦ δάσους τὸ κοπάδι τοῦ πλήθους. Γιατὶ ὁ κόσμος εἶχε διαιρεθεῖ καὶ ὑπῆρχαν διχόνοιες καὶ στάσεις. Ὅτι ὅμως ἡ συμφορὰ θ' ἄγγιζε καὶ ἐκείνους ποὺ φαίνονταν σημαντικοί, τὸ προδηλώνει λέγοντας· «Καὶ θὰ καταφάει ὅλα τὰ γύρω βουνά». «Βουνὰ» βέβαια, νομίζω, λέγει τοὺς ἀνώτερους ἀπὸ τοὺς ἄλλους καὶ ποὺ βρίσκονται πιὸ ψηλά, εἴτε ὡς πρὸς τὴ δόξα, εἴτε ὡς πρὸς τὸν πλοῦτο, εἴτε ὡς πρὸς κάποιο ἄλλο. Εἶπα προηγουμένως, ὅτι σ' ἐκείνους ποὺ φαίνονταν

ἀρτίως, ὅτι τοῖς εἶναι δοκοῦσι λαμπροῖς ἐπεφύετο δεινῶς τὸ ἐν ἑκάστῃ πόλει στασιάζειν εἰωθός, ὡς ἐν ἀπογνώσει δρᾶν, ἃ μηδ' ἂν αὐτὴ δέδρακεν ἔσθ' ὅτε τῶν πολεμίων ἡ χείρ. Καὶ ταῦτα, φησί, «διὰ θυμὸν ὀργῆς Κυρίου». Συγκέκαυσται γὰρ οὕτως ἡ σύμπασα τῶν Ἰουδαίων γῆ.

Ἃ δὲ εἴρηκεν αἰνιγματωδῶς, ταῦτα τοῖς ἀκροωμένοις σαφῆ καθιστάς, προσεπάγει παραχρῆμα· «Καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος· ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει». Ὥσπερ γὰρ οἱ μόσχοις ἐπάγοντες πῦρ παραθήγουσιν εἰς ὀργὰς καὶ τὰς καθ' ὧν ἂν ἴοιεν ἐφόδους ἀδρωτέρας ποιεῖσθαι παρασκευάζουσιν, οὕτω, φησί, καὶ ἕκαστος ἔσται τῶν λαῶν ὡς ὑπὸ πυρὸς κατακεκαυμένος. Ὁρμηταί τε γὰρ καὶ ἀφιλοικτείρμονες καὶ ἀδελφοὺς οὐκ εἰδότες, δεινοί τε καὶ ἀγριόθυμοι πάντες ἔσονται κατ' ἀλλήλων, καὶ θηρίων δίκην λιμῷ τεθηγμένων εἰς ἀγριότητα τὴν κατά τινων· «ἐκκλινοῦσιν εἰς τὰ δεξιά, καὶ φάγονται ἐκ τῶν ἀριστερῶν»· τοῦτ' ἔστιν τῇδε κἀκεῖσε περιστραφήσονται, καταδακόντες τοὺς ἐκ δεξιῶν, τοὺς ἐξ εὐωνύμων, φειδόμενοί τε μηδαμῶς οὐδενός, καὶ ἀκόρεστον ἔχοντες τῆς κατ' ἀλλήλων ἐφόδου τὸν πόθον. «Οὐ γὰρ μὴ ἐμπλησθῇ», φησίν, «ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ». Ὦ παραδόξου πράγματος! Οὐδὲ ἑαυτῶν φείσονται, φησίν, ὡς ἐξ ἀκράτου μανίας. Ἀπεγνωκότες γὰρ ἅπαξ, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτοπωτάτων βαδιοῦνται νεανικῶς.

Εἶτά φησιν, ὅτι «Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραΐμ, καὶ Ἐφραΐμ τοῦ Μανασσῆ». Ἐφραΐμ δὲ καὶ Μανασσῆς δύο γεγόνασιν ἀδελφοί, καὶ Ἰωσὴφ υἱοί. Ἀλλ' οὐδὲ τοῖς ἐξ αἵματος, φησίν, εἰς διάθεσιν συνημμένοις βραβεύσει τότε τὴν εἰρήνην ἡ φύσις, ἀργήσουσι τῆς συγγενείας οἱ νόμοι. Κατεξαναστήσονται γὰρ ἀλλήλων ἀδελφοὶ καὶ ὁμόσποροι, εἴς τε καθ' ἑνός, καὶ καθ' ἑτέρου δύο. «Φάγεται» γάρ, φησί, Μανασσῆς τοῦ Ἐφραΐμ, καὶ Ἐφραΐμ τοῦ Μανασσῆ, ὅτι

λαμπροὶ ὁρμοῦσαν ἀσυγκράτητοι οἱ συνήθεις στασιαστὲς σὲ κάθε πόλη, πράττοντας μὲ ἀπόγνωση αὐτὰ ποὺ δὲν ἔκανε πολλὲς φορὲς οὔτε τὸ χέρι τῶν ἐχθρῶν. Κι ὅλα αὐτά, λέγει, θὰ συμβοῦν ἐξαιτίας τῆς μεγάλης ὀργῆς τοῦ Κυρίου. Γιατὶ ἔτσι κάηκε ὁλόκληρη ἡ γῆ τῶν Ἰουδαίων.

Ὅσα ὅμως εἶπε μὲ τρόπο αἰνιγματικό, διασαφηνίζοντας αὐτὰ στοὺς ἀκροατές του, προσθέτει ἀμέσως· «Καὶ θὰ γίνει ὁ λαὸς σὰν κατακαμένος ἀπὸ φωτιά. Ὁ ἀδελφὸς δὲν θὰ δείξει ἔλεος στὸν ἀδελφό του». Ὅπως δηλαδὴ αὐτοὶ ποὺ πλησιάζουν φωτιὰ στὰ μοσχάρια τὰ ἐρεθίζουν καὶ τὰ θυμώνουν καὶ τὰ κάνουν νὰ ἐπιτίθενται μὲ πιὸ πολλὴ σφοδρότητα σ' αὐτοὺς ποὺ ὁρμοῦν, ἔτσι, λέγει, θὰ εἶναι καὶ κάθε λαὸς πυρπολημένος σὰν ἀπὸ φωτιά. Θὰ ὁρμοῦν ἐναντίον ὅλων, θὰ εἶναι ἄσπλαχνοι, δὲν θὰ γνωρίζουν ἀδελφούς, θὰ εἶναι ὅλοι φοβεροὶ καὶ μὲ ἄγριο θυμὸ ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, καὶ σὰν θηρία ἐξαγριωμένα ἀπὸ τὴν πεῖνα τους ἐναντίον κάποιων, «Θὰ στραφοῦν στὰ δεξιὰ καὶ θὰ φᾶνε ἀπὸ τὰ ἀριστερά»· δηλαδὴ θὰ στραφοῦν πρὸς ὅλες τὶς κατευθύνσεις, δαγκώνοντας τοὺς ἀπὸ τὰ δεξιά τους καὶ τοὺς ἀπὸ τὰ ἀριστερά τους, χωρὶς νὰ λυπηθοῦν καθόλου κανένα καὶ ἔχοντας ἀχόρταγη τὴν ἐπιθυμία νὰ ὁρμοῦν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Γιατὶ λέγει· «Δὲν θὰ χορτάσει ὁ ἄνθρωπος τρώγοντας τὴ σάρκα τοῦ βραχίονα του». Πόσο παράδοξο πρᾶγμα! Οὔτε τὸν ἑαυτό τους δὲν θὰ λυπηθοῦν, λέγει, ἀπὸ τὴν ἀσυγκράτητη μανία τους. Γιατὶ μιὰ καὶ ἔχουν κυριευθεῖ ἀπὸ ἀπόγνωση, θὰ βαδίσουν μὲ ὁρμὴ σὲ κάθετι ἀπὸ τὰ παράλογα.

Ἔπειτα λέγει· «Θὰ φάγει ὁ Μανασσῆς τὸν Ἐφραΐμ καὶ ὁ Ἐφραΐμ τὸν Μανασσῆ». Ὁ Ἐφραΐμ καὶ ὁ Μανασσῆς ἦταν δύο ἀδέλφια καὶ παιδιὰ τοῦ Ἰωσήφ. Ἀλλά, λέγει, οὔτε σ' αὐτοὺς ποὺ εἶναι δεμένοι μὲ συγγένεια ἐξ αἵματος θὰ παραχωρήσει τότε ἡ φύση τὴν εἰρήνη, οἱ νόμοι τῆς συγγένειας θὰ καταργηθοῦν. Γιατὶ θὰ ἐξεγερθοῦν ἀδέλφια καὶ ἄνθρωποι ἀπὸ τοὺς ἴδιους γονεῖς, ὁ ἕνας ἐναντίον ἄλλου, καὶ δύο ἐναντίον ἑνὸς ἄλλου. Γιατὶ λέγει· «Θὰ καταφάγει ὁ Μανασσῆς τὸν Ἐφραΐμ καὶ ὁ Ἐφραΐμ τὸν

ἅμα πολιορκήσουσι τὸν Ἰούδαν». Συγχύσεως οὖν ἄρα τὰ πάντα μεμέστωτο, καὶ ἀδιάκριτα πᾶσι τὰ ἐξ ὀργῆς, καὶ καθ' ὧν οὐ θέμις, καὶ παρ' ὧν οὐ θέμις. Καὶ ταυτὶ μέν, ὡς ἔφην, ἱστορικῶς ταῖς τῶν Ἰουδαίων ἀγέλαις συνέβη παθεῖν. Παραφυλακτέον δὲ καὶ ἡμῖν αὐτοῖς. Κολάζεται γὰρ τὸ δυσήκοον, καὶ εἴ τις εἰς τοῦτο πέσοι, ὡς ὑπὸ πυρὸς καυθήσεται, καταφλεγούσης αὐτὸν καὶ σαρκικῆς ἡδονῆς καὶ θερμῆς ἐπιθυμίας. Ἕξει δὲ καὶ εἰς νοῦν καὶ καρδίαν ἀφόρητον μάχην· κατεξαναστήσεται γὰρ τοῦ πνεύματος ἡ σὰρξ καὶ ἐν θορύβοις ἔσται πολλοῖς. Διό, καθά φησιν ὁ θεσπέσιος Παῦλος· «Ἐν πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε». Ὑποταττόμενοι γὰρ τῷ Θεῷ περιπατήσομεν ἐν πνεύματι, καὶ κρείττους ἐσόμεθα σαρκικῶν ἐπιθυμιῶν, καὶ τὰς εἰς νοῦν ἔσω νικήσομεν φλόγας, καὶ ἀστασίαστον τηρήσομεν τὴν καρδίαν. «Ἡ γὰρ εἰρήνη τοῦ Θεοῦ», καθά γέγραπται, «ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ἡμῶν καὶ τὰ νοήματα ἡμῶν».

Στίχ. 20, κεφ. 10, στίχ. 1-4. «Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι χεὶρ ὑψηλή. Οὐαὶ τοῖς γράφουσι πονηρίαν. Γράφοντες γὰρ πονηρίαν γράφουσιν, ἐκκλίνοντες κρίσιν πτωχῶν, καὶ ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγήν, καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τί ποιήσωσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; Ἡ γὰρ θλῖψις ὑμῖν πόρρωθεν ἥξει, καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; Καὶ ποῦ καταλήψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν;».

Ὅτε τὰς τῶν Ἰουδαίων συμφορὰς καὶ τὰ ἐσόμενα βλάβη διὰ τῆς τῶν πολεμίων χειρὸς πλατύτερον ἡμῖν ὁ προφη-

97. Γαλ. 5, 16.
98. Φιλ. 4, 7.

Μανασσῆ, γιατὶ μαζὶ θὰ πολιορκήσουν τὸν Ἰούδα. Ἦταν λοιπὸν γεμᾶτα τὰ πάντα ἀπὸ σύγχυση καὶ δὲν μποροῦσε νὰ διακρίνει κανεὶς τὰ ὅσα συνέβαιναν ἐξαιτίας τῆς ὀργῆς, καὶ ἐναντίον ἐκείνων ποὺ δὲν ἦταν δίκαιο νὰ συμβαίνουν, καὶ ἀπὸ ἐκείνους ποὺ δὲν ἔπρεπε νὰ συμβαίνουν. Κι αὐτὰ βέβαια, ὅπως εἶπα, λέγει ἡ ἱστορία ὅτι συνέβη νὰ πάθουν τὰ πλήθη τῶν Ἑβραίων, πρέπει ὅμως κι ἐμεῖς οἱ ἴδιοι νὰ προφυλαχθοῦμε. Γιατὶ ἡ ἀνυπακοὴ τιμωρεῖται, καὶ ἂν κάποιος περιπέσει σ' αὐτήν, θὰ καεῖ σὰν ἀπὸ φωτιά, καταφλέγοντας αὐτὸν ἡ σαρκικὴ ἡδονὴ καὶ ἡ θερμὴ ἐπιθυμία. Θὰ ἔχει ὅμως καὶ στὸ νοῦ καὶ τὴν καρδιὰ του μάχη ἀφόρητη· γιατὶ θὰ ἐπαναστατήσει ἡ σάρκα ἐναντίον τοῦ πνεύματος καὶ θὰ βρεθεῖ σὲ μεγάλη ταραχή. Γι' αὐτό, ὅπως λέγει ὁ θεσπέσιος Παῦλος· «Νὰ ζεῖτε καθοδηγούμενοι ἀπὸ τὸ πνεῦμα, καὶ ἔτσι δὲν θὰ τελεῖτε τὴν ἐπιθυμία τῆς σάρκας»[97]. Γιατί, ὑποτασσόμενοι στὸν Θεό, θὰ ζήσομε καθοδηγούμενοι ἀπὸ τὸ Πνεῦμα, ὁπότε καὶ πάνω ἀπὸ τὶς σαρκικὲς ἐπιθυμίες θὰ βρεθοῦμε, καὶ θὰ νικήσομε τὶς φλόγες μέσα στὸ νοῦ, καὶ θὰ διατηρήσομε εἰρηνικὴ τὴν καρδιά. Γιατί, ὅπως ἔχει γραφεῖ, «Ἡ εἰρήνη τοῦ Θεοῦ, ποὺ βρίσκεται πάνω ἀπὸ κάθε νοῦ, θὰ φρουρήσει τὶς καρδιές μας καὶ τὶς σκέψεις μας»[98].

Στίχ. 20, ΚΕΦ. 10, στίχ. 1-4. «Παρ' ὅλα αὐτὰ ὅμως δὲν κατέπαυσε ὁ θυμός, ἀλλὰ εἶναι ἀκόμα ὑψωμένο τὸ χέρι. Ἀλλοίμονο σ' αὐτοὺς ποὺ νομοθετοῦν πονηροὺς νόμους. Γιατὶ νομοθετώντας, νομοθετοῦν νόμους πονηρούς, διαστρέφουν τὴ δικαιοσύνη εἰς βάρος τῶν πτωχῶν, ἁρπάζουν τὸ δίκαιο τῶν πτωχῶν τοῦ λαοῦ μου, ὥστε ἡ χήρα νὰ εἶναι θῦμα διαρπαγῆς καὶ τὸ ὀρφανὸ ἀντικείμενο λεηλασίας. Καὶ τί θὰ κάνουν τὴν ἡμέρα ποὺ θὰ τοὺς ἐπισκεφθῶ; Γιατὶ ἡ θλίψη ἀπὸ τὴν τιμωρία θὰ ρθεῖ ἀπὸ μακριά, καὶ σὲ ποιὸν θὰ καταφύγετε γιὰ νὰ σᾶς βοηθήσει; Καὶ ποῦ θὰ ἀφήσετε τὴ δόξα σας, ὥστε νὰ μὴν περιπέσετε σὲ αἰχμαλωσία καὶ ἀπαγωγή;».

Ὅταν ὁ προφητικὸς λόγος ἐξηγεῖ πιὸ πλατιὰ τὶς συμφορὲς τῶν Ἰουδαίων καὶ τὶς βλάβες ποὺ πρόκειται νὰ συμβοῦν ἀπὸ τὰ

τικὸς ἐξηγεῖται λόγος, τότε δὴ λίαν σοφῶς τε καὶ οἰκονομικῶς ἐπιφέρει τὰς αἰτίας, ἐφ' αἷς ὁ τῶν ὅλων λελύπηται Θεός, καὶ πειρᾶται διδάσκειν, ὅτι ψῆφος ἐπ' αὐτοῖς ὁσία γέγονε καλοῦσα πρὸς δίκην. «Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς», κατὰ τὸ γεγραμμένον. «Οὐαί» τοίνυν, φησί, «τοῖς γράφουσι πονηρίαν Γράφοντες γάρ, πονηρίαν γράφουσιν, ἐκκλίνοντες κρίσιν πτωχῶν, καὶ ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου». Ἦσαν μὲν γὰρ παρὰ τοῖς Ἰουδαίοις οἱ καλούμενοι γραμματεῖς Ἔργον δὲ ἦν αὐτοῖς τὸν ἐφ' ἑκάστῳ πράγματι τοῦ νόμου σκοπὸν τοῖς ἐθέλουσι μαθεῖν σαφῆ τε ποιεῖν, καὶ τοῖς τὸ διακρίνειν λαοὺς ἐγκεχειρισμένοις τὰ τοιάδε προσβαλεῖν. Γέγραπται δέ, ὅτι «Χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ». Ἡττώμενοι τοίνυν αἰσχρῶν λημματίων, ἀδίκους ἐποιοῦντο τὰς συγγραφάς, τὸ τῷ θείῳ νόμῳ δοκοῦν ἀνοσίως ἐκκαπηλεύοντες, καὶ οἱονεὶ μίσγοντες τὸν οἶνον ὕδατι, καὶ τὸ καθαρὸν ἀργύριον ἀδόκιμον ἀποφαίνοντες, ἵνα χήραν ἀδικῶσι, καὶ ἁρπάζωσι κρίματα πενήτων, καὶ τοῖς ἐκ πλεονεξίας κακοῖς ὑπάγωσιν ὀρφανόν, καθάπερ τινὰ προνομὴν τοῖς ἐθέλουσι πλουτεῖν ἑτοίμως παρερριμμένην.

Ἀλλ' οὗτοι, φησί, «τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς;». «Ἐπισκοπῆς» δέ φησιν «ἡμέραν» τὸν τοῦ πολέμου καιρόν, καθ' ὃν ἐπεσκέψατο Θεὸς τοὺς γράφοντας πονηρίαν καὶ τὰ ὀρθὰ τοῦ νόμου κρίματα διαστρέφοντας Ποῖος γὰρ ὑμῖν πλοῦτος βοηθήσει, φησίν; Ὀνήσει δὲ κατά τινα τρόπον τῶν ἐκ πλεονεξίας ὑμῖν συνειλεγμένων ἡ ἄθροισις; Ἠδικήσατε, κατεφθείρατε νόμον, πεπατήκατε τὸν τοῦ νομοθέτου σκοπόν. Εἶτα ὅποι ποτὲ βαδιεῖσθε; τί δὲ καὶ δρῶντες ἢ λέγοντες, διαφεύξεσθε τὴν ἡμέραν τῆς ἐπισκοπῆς; Ἡ γὰρ

99. Παροιμ. 1, 17. 100. Μαλαχ. 2, 7.

χέρια τῶν ἐχθρῶν, τότε λοιπὸν μὲ πολλὴ σοφία καὶ οἰκονομία ἀναφέρει καὶ τὶς αἰτίες, ἐξαιτίας τῶν ὁποίων ἔχει ὀργισθεῖ ὁ Θεὸς τῶν ὅλων, καὶ ἐπιχειρεῖ νὰ διδάξει, ὅτι εἶναι ἀγαθὴ ἡ ἀπόφασή του γι' αὐτοὺς καλώντας τους πρὸς τιμωρία. Γιατί, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Δὲν ἁπλώνονται ἄδικα τὰ δίχτυα γιὰ τὰ πουλιά»[99]. 'Αλλοίμονο» λοιπόν, λέγει, «σ' αὐτοὺς ποὺ νομοθετοῦν νόμους ἄδικους. Γιατί, νομοθετώντας, θεσπίζουν νόμους ἄδικους, διαστρέφοντας τὴ δικαιοσύνη εἰς βάρος τῶν πτωχῶν καὶ ἁρπάζοντας τὸ δίκαιο τῶν πτωχῶν τοῦ λαοῦ μου». Ὑπῆρχαν δηλαδὴ μεταξὺ τῶν Ἰουδαίων οἱ λεγόμενοι γραμματεῖς, ἔργο τῶν ὁποίων ἦταν νὰ διασαφηνίζουν τὸ σκοπὸ τοῦ νόμου γιὰ κάθε πρᾶγμα σὲ ἐκείνους ποὺ ἤθελαν νὰ μάθουν, καὶ νὰ ἐξηγοῦν αὐτὰ σὲ ἐκείνους ποὺ τοὺς εἶχε ἀνατεθεῖ νὰ κρίνουν τοὺς ἀνθρώπους. Ἔχει βέβαια γραφεῖ ὅτι, «Τὰ χείλη τοῦ ἱερέα πρέπει νὰ φυλάσσουν τὴ δικαιοσύνη, καὶ νὰ ἀναζητοῦν ἀπὸ τὸ στόμα του νὰ μάθουν τὸ νόμο»[100]. Ὑποδουλωμένοι λοιπὸν σὲ αἰσχρὲς δωροδοκίες, θέσπιζαν ἄδικους νόμους καπηλευόμενοι μὲ τρόπο ἀσεβῆ αὐτὸ ποὺ ἔλεγε ὁ νόμος καὶ κατὰ κάποιο τρόπο ἀναμιγνύοντας τὸ κρασὶ μὲ νερό, καὶ παρουσιάζοντας νοθευμένο τὸν καθαρὸ ἄργυρο, μὲ σκοπὸ νὰ ἀδικοῦν τὴ χήρα, νὰ ἁρπάζουν τὸ δίκαιο τῶν πτωχῶν καὶ νὰ καταπιέζουν τὰ ὀρφανὰ μὲ τὰ κακὰ τῆς πλεονεξίας, σὰν κάποιο προϊὸν διαρπαγῆς πεταγμένο μπροστὰ σ' αὐτοὺς ποὺ θέλουν νὰ πλουτοῦν γρήγορα.

'Αλλ' αὐτοί, λέγει, «τί θὰ κάνουν τὴν ἡμέρα τῆς ἐπίσκεψής;». «Ἡμέρα ἐπίσκεψης» ὀνομάζει τὸν καιρὸ τοῦ πολέμου, κατὰ τὸν ὁποῖο ὁ Θεὸς ἐπισκέφθηκε ἐκείνους ποὺ νομοθετοῦσαν τοὺς ἄδικους νόμους καὶ διέστρεφαν τὰ ὀρθὰ παραγγέλματα τοῦ νόμου. Γιατὶ λέγει· Ποιὰ πλούτη θὰ σᾶς βοηθήσουν; Καὶ μὲ ποιὸν τρόπο θὰ σᾶς βοηθήσουν τὰ ὅσα συσσωρεύσατε μὲ τὴν πλεονεξία σας; 'Αδικήσατε, διαφθείρατε τὸν νόμο, καταπατήσατε τὸν σκοπὸ τοῦ νομοθέτη. Κι ἔπειτα ποῦ τέλος πάντων θὰ πορευθεῖτε; Καὶ τί θὰ μπορέσετε νὰ κάνετε ἢ νὰ πεῖτε γιὰ νὰ διαφύγετε τὴν ἡμέρα τῆς

θλῖψις ὑμῖν πόρρωθεν ἥξει. Ἐμάχοντο μὲν γὰρ Ἰουδαῖοι πλειστάκις πρὸς τὰ περίοικα τῶν ἐθνῶν, Ἰδουμαίους τέ φημι καὶ Ἐλαμίτας, Μωαβίτας καὶ Σύρους καὶ τοὺς καλουμένους Φιλιστιείμ, συνέβαινε δὲ καὶ ἀμείνους ὁρᾶσθαι πολλῶν κρατοῦντας ἐν μάχαις. Ἀλλὰ νῦν, φησίν, ἡ θλῖψις ὑμῖν πόρρωθεν ἥξει· τοῦτ' ἔστιν, Οὐ πρὸς Ἰδουμαίους ὑμῖν ἡ μάχη, οὐ πρὸς Μωαβίτας ὁ πόλεμος, ἀλλ' οὐδὲ πρός τινας τῶν ὁμόρων, ὧν ἔσθ' ὅτε καὶ κεκρατήκατε καὶ τὴν ἀμείνω λαχόντες ψῆφον ἐν μάχῃ τὸν τῆς εὐκλείας ἀνεδήσασθε στέφανον, ἀλλὰ νῦν ὑμῖν ἡ θλῖψις πόρρωθεν ἥξει. Ἔοικε δὲ διὰ τούτων ἢ τῶν Ἀσσυρίων τὴν ἔφοδον, ἢ γουν τὴν τῶν Ῥωμαίων ὑποδηλοῦν. Πόρρωθεν γὰρ οὗτοί τε κἀκεῖνοι. Ἐπενηνεγμένης δὲ τῆς θλίψεως, «ποῦ καταλήψετε τὴν ἑαυτῶν δόξαν, τοῦ μὴ ἐμπεσεῖν εἰς τὴν ἐπαγωγήν;».

Κατηνδρίσασθε μὲν γὰρ πολλάκις, φησί, τῶν ἐχθρῶν, καὶ τοῖς ἐπιοῦσιν ἀντανιστάμενοι σεσώκατε τὰς παρ' ὑμῖν πόλεις τε καὶ χώρας. Νυνὶ δὲ τὴν ἐπὶ τούτῳ δόξαν ποῦ καταλήψετε; Πεσεῖσθε γὰρ πάντες, κατ' οὐδένα τρόπον ὠφελούσης ὑμᾶς τῆς κατὰ τῶν ἑτέρων εὐανδρίας. Τί γὰρ ποιήσετε τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν; «Ἐπαγωγὴν» δέ φησι τὴν ἐπενεχθεῖσαν αὐτοῖς ὡς ἀπό γε τῆς θείας ὀργῆς καὶ τὴν ἐκ τοῦ πολέμου συμφοράν. Θεοῦ γὰρ ἐπάγοντος τοῖς πλημμελοῦσι τὰς δίκας τίς ὁ ἀποστρέψων; ἢ ποῖος ἂν τοῖς ὑπὸ ποινὴν καὶ κόλασιν ἐπικουρήσει τρόπος; Οὐκ ἔστιν οὐδείς. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ ψάλλει καί φησιν· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με». Καὶ πάλιν· «Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τότε ἡ ὀργή σου;». Ἀποστρέψει μὲν οὖν οὐδεὶς τὴν θείαν ὀργήν, καταμαλάσσει δὲ ὥσπερ αὐτὴν ἡ μετάγνωσις· μᾶλλον δὲ οὐδ' ἂν ὅλως σαλεύοιτο τὴν ἀρχήν, εἰ

101. Ψαλμ. 6, 1. 102. Ψαλμ. 85, 8.

ἐπίσκεψης; Γιατὶ «ἡ θλίψη ἀπὸ τὴν τιμωρία σας θὰ ἔρθει ἀπὸ μακριά». Πολεμοῦσαν δηλαδὴ οἱ Ἰουδαῖοι συχνὰ μὲ τὰ γύρω τους ἔθνη, ἐννοῶ τοὺς Ἰδουμαίους καὶ τοὺς Ἐλαμῖτες, τοὺς Μωαβῖτες καὶ τοὺς Σύρους, καὶ τοὺς λεγόμενους Φιλισταίους, συνέβαινε ὅμως νὰ ἀποδεικνύονται ἀνώτεροι ἀπὸ πολλοὺς νικώντας στὶς μάχες. Ἀλλὰ τώρα, λέγει, ἡ θλίψη σας θὰ ἔρθει ἀπὸ μακριά, δηλαδὴ δὲν θὰ δώσετε μάχες μὲ τοὺς Ἰδουμαίους, οὔτε θὰ πολεμήσετε μὲ τοὺς Μωαβῖτες, ἀλλ' οὔτε μὲ κάποιους γείτονές σας, ποὺ τοὺς νικήσατε κάποιες φορὲς κι ἀφοῦ φανήκατε ἀνώτεροι στὶς μάχες, φορέσατε τὸ στεφάνι τῆς δόξας, ἀλλὰ τώρα ἡ θλίψη θὰ σᾶς ἔρθει ἀπὸ μακριά. Μὲ αὐτὰ φαίνεται νὰ ὑποδηλώνεται ἢ ἡ ἐκστρατεία τῶν Ἀσσυρίων, ἢ τῶν Ρωμαίων. Γιατὶ ἀπὸ μακριὰ ἦρθαν καὶ οἱ πρῶτοι καὶ οἱ δεύτεροι. Καὶ ὅταν θὰ σᾶς ἔρθει ἡ θλίψη «ποῦ θ' ἀφήσετε τὴ δόξα σας; γιὰ νὰ μὴν περιπέσετε σὲ αἰχμαλωσία;».

Πολεμήσατε πολλὲς φορὲς μὲ ἀνδρεία ἐναντίον τῶν ἐχθρῶν καὶ μὲ τὴν ἀντίστασή σας ἐναντίον τους σώσατε τὶς πόλεις καὶ τὰ χωριά σας. Τώρα ὅμως ποῦ θ' ἀφήσετε τὴ δόξα σας ἀπὸ αὐτὲς τὶς νίκες; Γιατὶ θὰ πέσετε ὅλοι καὶ δὲν θὰ σᾶς ὠφελήσει καθόλου ἡ ἀνδρεία σας ἐναντίον τῶν ἄλλων. Τί θὰ κάνετε δηλαδὴ γιὰ νὰ μὴν πέσετε σὲ αἰχμαλωσία; «Αἰχμαλωσία» βέβαια ἐννοεῖ τὴ συμφορὰ ποὺ τοὺς βρῆκε ἀπὸ τὴ θεία ὀργὴ καὶ τὴ συμφορὰ τοῦ πολέμου. Γιατὶ ὅταν ὁ Θεὸς ἐπιβάλλει τὶς τιμωρίες σὲ ἐκείνους ποὺ κάνουν παραβάσεις, ποιὸς θὰ τὶς ἀποτρέψει; Ἢ μὲ ποιὸν τρόπο θὰ λάβουν βοήθεια ὅσοι ἀντιμετωπίζουν ποινὴ καὶ τιμωρία; Δὲν ὑπάρχει κανένας τρόπος. Γι' αὐτὸ καὶ ὁ θεσπέσιος Δαβὶδ ψάλλει καὶ λέγει· «Κύριε, μὴ μὲ ἐλέγξεις πάνω στὸ θυμό σου, οὔτε πάνω στὴν ὀργή σου νὰ μὲ τιμωρήσεις»[101]. Καὶ πάλι· «Ἐσὺ εἶσαι φοβερὸς καὶ ποιὸς θὰ ἀντισταθεῖ σὲ σένα ὅταν ἐκραγεῖ ἡ ὀργή σου;»[102]. Κανένας λοιπὸν δὲν μπορεῖ νὰ ἀποτρέψει τὴ θεία ὀργή, τὴ μαλακώνει ὅμως κατὰ κάποιο τρόπο ἡ μετάνοια· μᾶλλον ὅμως οὔτε κατὰ τὸ παραμικρὸ θὰ σαλευόταν ἀπὸ τὴν ἀρχή,

δὴ βιοῦν ἐθέλοι τις ὀρθῶς καὶ ἐννόμως καὶ κατά γε τὸ δοκοῦν τοῖς παρ' αὐτοῦ θεσπίσμασιν.

Στίχ. 4-10. «Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ἡ ὀργή ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ ἐμῷ λαῷ συντάξω τοῦ ποιῆσαι σκύλα καὶ προνομήν, καὶ καταπατεῖν τὰς πόλεις καὶ θεῖναι αὐτὰς ὡς κονιορτόν. Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ ἐξολοθρεῦσαι ἔθνη οὐκ ὀλίγα. Καὶ ἐὰν εἴπωσιν αὐτῷ, Σὺ μόνος εἶ ἄρχων, καὶ ἐρεῖ· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνη, οὗ ὁ πύργος ᾠκοδομήθη. Ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμαρείαν; Ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς χώρας λήψομαι».

Πανταχοῦ τῆς οἰκείας δόξης πεφροντικότα Θεὸν εὑρήσομεν. Χαλεπαίνειν μὲν γὰρ εἰ δή τινας βλέποι καταφρονεῖν ἠρημένους, καὶ παρ' οὐδὲν ποιεῖσθαι σπουδάζοντας τὸ αὐτῷ δοκοῦν, πάντα δὲ ὥσπερ σείοντας κάλον, εἴς γε τὸ δεῖν ἀπονεῦσαι πρὸς τὰ ἐκτοπώτατα. Περιτρέπει δὲ τοὺς τοιούτους μονονουχὶ καὶ ἀνασειράζων εὐσθενῶς, εἰς τὸ ὅτι μάλιστα τελοῦν εἰς ὄνησιν αὐτοῖς. Οὕτω γάρ πού φησι καὶ ὁ μακάριος Δαβίδ· «Ἐν χαλινῷ καὶ ἐν κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρός σέ. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ». Ἐπιφέρει δὲ τοῖς πλημμελοῦσι τὴν κόλασιν, οἷόν τινα ῥάβδον εἰς χεῖρας ἐπιδιδοὺς τὴν ἰδίαν ὀργὴν ἀνδράσιν οὐκ ἀγαθοῖς, ἵν' αὐτοὶ γένοιντο κολασταὶ τῶν ἠσεβηκότων. Συμβαίνει δὲ τοὺς εἰς τοῦτο παρειλημμένους φρονῆσαί τι μέγα κατὰ τῶν κεκολασμένων, μᾶλλον δὲ κατὰ τοῦ παραδόντος αὐτούς. Οὐ γὰρ ἐννοοῦσιν ὅτι κεκρά-

103. Ψαλμ. 31, 9-10.

ἂν ἤθελε κάποιος νὰ ζεῖ ὀρθὰ καὶ σύμφωνα μὲ τὸ νόμο καὶ σύμφωνα μὲ τὰ παραγγέλματα τὰ εὐάρεστα σ' αὐτόν.

Στίχ. 4-10. «Παρ' ὅλα αὐτὰ δὲν ἔπαυσε ὁ θυμός του, ἀλλὰ τὸ χέρι του εἶναι ἀκόμα ὑψωμένο. Ἀλλοίμονο στοὺς Ἀσσυρίους. Ἡ ράβδος τοῦ θυμοῦ μου καὶ ἡ ὀργή μου (κατὰ τοῦ λαοῦ μου) εἶναι στὰ χέρια τους. Θὰ στείλω τὴν ὀργή μου μέσω αὐτῶν σὲ ἕνα ἔθνος ἄνομο καὶ θὰ διατάξω νὰ ἀπογυμνώσουν τὸν λαό μου καὶ νὰ τὸν λεηλατήσουν, νὰ ἰσοπεδώσουν τὶς πόλεις τους καὶ νὰ τὶς κάνουν κονιορτό. Αὐτὸς ὅμως (ὁ Ἀσσύριος) δὲν σκέφθηκε καὶ δὲν θέλησε ἔτσι, ἀλλὰ ἔκανε διαφορετικὴ σκέψη, νὰ ἐξολοθρεύσει δηλαδὴ πολλὰ ἔθνη. Καὶ ἂν ποῦν στὸν Ἀσσύριο, Ἐσὺ εἶσαι ὁ μόνος ἄρχοντας, κι αὐτὸς ἀλαζονευθεῖ καὶ πεῖ, Δὲν κατέλαβα τὴ χώρα ποὺ εἶναι πάνω ἀπὸ τὴ Βαβλώνα καὶ τὴ Χαλάνη ὅπου χτίσθηκε ὁ πύργος; Δὲν κυρίευσα τὴν Ἀραβία καὶ τὴ Δαμασκὸ καὶ τὴ Σαμάρεια; Μὲ τὸν τρόπο ποὺ κυρίευσα αὐτές, θὰ κυριεύσω ὅλες τὶς χῶρες».

Θὰ βροῦμε παντοῦ τὸν Θεὸ νὰ ἔχει φροντίσει γιὰ τὴ δόξα του. Ὀργίζεται δηλαδὴ ὅταν βλέπει κάποιους νὰ θέλουν νὰ τὸν περιφρονοῦν καὶ νὰ μὴ λαμβάνουν καθόλου ὑπόψη τὸ θέλημά του, ἀλλὰ νὰ λύνουν κατὰ κάποιο τρόπο ὅλα τὰ σχοινιὰ γιὰ νὰ παραδοθοῦν στὰ πλέον παράνομα. Τοὺς ἀνθρώπους αὐτοὺς τοὺς μεταστρέφει καὶ τοὺς σύρει κατὰ κάποιο τρόπο μὲ δύναμη σ' αὐτὸ ποὺ θὰ τοὺς ὠφελήσει περισσότερο. Αὐτὸ λέγει κάπου καὶ ὁ μακάριος Δαβίδ· «Μὲ χαλινάρια καὶ φίμωτρο θὰ σφίξεις τὰ σαγόνια αὐτῶν ποὺ δὲν σὲ πλησιάζουν. Εἶναι πολλὰ τὰ μαστιγώματα ἐναντίον τοῦ ἁμαρτωλοῦ»[103]. Ἐπιβάλλει βέβαια στοὺς παραβάτες τὴν τιμωρία, βάζοντας σὰν ἕνα ραβδὶ τὴν ὀργή του στὰ χέρια μὴ ἀγαθῶν ἀνθρώπων γιὰ νὰ γίνουν αὐτοὶ τιμωροὶ αὐτῶν ποὺ ἔχουν ἀσεβήσει. Συμβαίνει ὅμως αὐτοὶ ποὺ παραλήφθηκαν σ' αὐτὸ τὸ ἔργο νὰ κυριευθοῦν ἀπὸ ἀλαζονεία ἐναντίον τῶν τιμωρημένων, ἢ μᾶλλον ἐναντίον ἐκείνου ποὺ τοὺς παρέδωσε αὐτούς. Γιατὶ δὲν

τήκασιν αὐτῶν ἐφέντος Θεοῦ, καὶ ψῆφον ἐπάγοντος τὴν τοῦ χρῆναι παθεῖν αὐτούς, οἴονται δὲ ὅτι καὶ σώζειν ἐθέλοντος κεκρατήκασι. Μεθίστησι τοίνυν ἐπ' αὐτοὺς τὴν ὀργήν, καὶ σφόδρα εἰκότως· Ἐπειδὴ δὲ τοῖς ὑπερηφάνοις ἀντιτάττεται, κατασείει μὲν αὐτῶν τὴν ὀφρύν, ποιναῖς δὲ ὑποτιθεὶς ταῖς αὐτοῖς πρεπούσαις, πειρᾶται πληροφορεῖν, ὅτι μὴ τῆς ἰσχύος ἐκείνων ἔργον ἦν, ἀλλὰ τῶν παρ' αὐτοῦ νευμάτων τὸ κρατῆσαι τῶν κεκολασμένων.

Πέπονθέ τι τοιοῦτον ὁ τῶν Ἀσσυρίων βασιλεύς. Ἐπειδὴ γὰρ εἶλε τὴν Ἰουδαίαν καὶ πεπόρθηκε τὰς πόλεις, μέγα πεφρόνηκεν ἐφ' ἑαυτῷ, καὶ δὴ καὶ ᾤετο τῆς ἁγίας κρατῆσαι γῆς, καὶ παρὰ βούλησιν Θεοῦ τοῦ προεστηκότος αὐτῆς, καὶ σώζειν ὑπισχνουμένου. Ταύτης ἕνεκα τῆς αἰτίας φησίν, οὕπω μὲν ἀπεστράφθαι τὸν θυμόν, ἐπενεχθήσεσθαι δὲ καὶ Ἀσσυρίοις τό, «οὐαί». Καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις; Ἡ μὲν γὰρ ῥάβδος, φησί, τῆς ἐμῆς ὀργῆς ἐν ταῖς αὐτῶν δέδοται χερσίν, παρ' ἐμοῦ δηλονότι, ὥστε καταπαίειν ἐν αὐτῇ τοὺς εἰς ἐμὲ δεδυσσεβηκότας. «Ἐγὼ συνέταξα αὐτοῖς, ὥστε ποιῆσαι σκύλα καὶ προνομὴν τὸν ἐμὸν λαόν, καὶ καταπατεῖν τὰς πόλεις καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν». Εἰ μὴ γὰρ τὴν σώζουσαν ἀπέστησα χεῖρα καὶ γυμνοὺς ἀπέφηνα τῆς ἀεὶ καὶ συνήθους αὐτοῖς, καὶ παρ' ἐμοῦ δοθείσης ἐπικουρίας, οὐδ' ἂν ἥλωσάν ποτε, κρείττους ἀεὶ γεγονότες δι' ἐμοῦ τῶν ἐχθρῶν. Αὐτός γε μὴν ὁ Ἀσσύριος οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτω λελόγισται, ἀλλ' ὅσον ἦκεν εἰς τὸν αὐτοῦ νοῦν, ἀπαλλάξει· τοῦτ' ἔστιν ὀλοθρεύσει ἔθνη οὐκ ὀλίγα. Οἴεται γὰρ ὅτι ταῖς αὐτοῦ δυνάμεσιν ἀνταναστήσεται μὲν οὐδείς, κρατήσει γε πάντως ἀμογητί, καὶ παντὸς ἔθνους ἔσται δεσπότης, ἀντεξάγοντος οὐδενός. Ἄπληστον δὲ οὕτως ἔχοντι τὴν ψυχὴν καὶ ἀεὶ τῶν ὅλων κρατεῖν ἐθέλοντι, κἂν εἰ προσίοι τις λέγων· Σὺ μόνος

104. Ἰακ. 4, 6.

ἐννοοῦν ὅτι ὑπέταξαν αὐτοὺς μὲ τὴν ἄδεια τοῦ Θεοῦ κι ἔδωσε τὴ συγκατάθεσή του ὅτι πρέπει νὰ τιμωρηθοῦν, ἀλλὰ νομίζουν ὅτι τοὺς ὑπέταξαν, ἂν καὶ ἤθελε νὰ τοὺς σώσει. Μεταφέρει λοιπὸν σ' αὐτοὺς τὴν ὀργή του καὶ πολὺ εὔλογα. Ἐπειδὴ ὅμως εἶναι ἀντίθετος στοὺς ὑπερήφανους[104], συγκλονίζει τὴν ἀλαζονεία τους κι ἐπιβάλλοντας τὶς ποινὲς ποὺ τοὺς ταιριάζουν, ἐπιχειρεῖ νὰ τοὺς πληροφορήσει, ὅτι δὲν ἦταν ἔργο τῆς δικῆς τους δύναμης, ἀλλὰ τῆς δικῆς του θέλησης νὰ νικήσουν τοὺς τιμωρημένους.

Κάτι παρόμοιο ἔπαθε ὁ βασιλιὰς τῶν Ἀσσυρίων. Ἐπειδὴ δηλαδὴ κυρίευσε τὴν Ἰουδαία καὶ κατέστρεψε τὶς πόλεις κυριεύθηκε ὁ ἑαυτός του ἀπὸ ἀλαζονεία, καὶ μάλιστα καὶ νόμιζε ὅτι ἔγινε κυρίαρχος τῆς ἁγίας γῆς παρὰ τὴ θέληση τοῦ Θεοῦ τοῦ προστάτη της καὶ ποὺ ὑποσχόταν νὰ τὴ σώσει. Γι' αὐτὴ τὴν αἰτία λέγει ὅτι δὲν κόπασε ὁ θυμός του, ἀλλὰ θὰ εἰπωθεῖ καὶ στοὺς Ἀσσυρίους τὸ «Ἀλλοίμονο». Καὶ ποιὰ εἶναι ἡ πρόφαση γι' αὐτό; Ἡ ράβδος, λέγει, τῆς ὀργῆς μου δόθηκε στὰ χέρια τους, δηλαδὴ ἀπὸ ἐμένα, ὥστε νὰ χτυποῦν μέ αὐτὴν ἐκείνους ποὺ δείχνουν ἀσέβεια σ' ἐμένα. «Ἐγὼ ἔδωσα τὴ συγκατάθεσή μου σ' αὐτοὺς νὰ σκυλεύσουν καὶ νὰ λαφυραγωγήσουν τὸ λαό μου, νὰ ἰσοπεδώσουν τὶς πόλεις καὶ νὰ τὶς μεταβάλουν σὲ κονιορτό. Ἂν δηλαδὴ δὲν ἀπομάκρυνα τὸ σωτήριο χέρι μου καὶ δὲν τοὺς παρουσίαζα γυμνοὺς ἀπὸ τὴ συνεχῆ καὶ συνήθη σ' αὐτοὺς καὶ ἀπὸ ἐμένα δοσμένη βοήθεια, δὲν θὰ τοὺς κυρίευαν ποτέ, ἀφοῦ πάντοτε νικοῦσαν μὲ τὴ βοήθειά μου τοὺς ἐχθρούς τους. Καὶ ὁ ἴδιος ὁ Ἀσσύριος δὲν σκέφθηκε ἔτσι, οὔτε ἔκανε αὐτὸν τὸν συλλογισμὸ μέσα στὴν ψυχή του, ἀλλά, ἂν καὶ σκέφθηκε ὅσο μποροῦσε νὰ σκεφθεῖ ὁ νοῦς του, θὰ ἀπαλλάξει, δηλαδὴ θὰ ἐξολοθρεύσει ἔθνη πολλά. Γιατὶ νομίζει ὅτι στὶς δικές του δυνάμεις δὲν θ' ἀντισταθεῖ κανένας, ἀλλὰ θὰ νικήσει χωρὶς κόπο καὶ θὰ γίνει κύριος ὅλων τῶν ἐθνῶν, χωρὶς νὰ τοῦ ἀντισταθεῖ κανένας. Κι ἐπειδὴ ἔχει τόσο ἄπληστη τὴν ψυχή του καὶ πάντα θέλει νὰ εἶναι κύριος ὅλων, κι ἂν ἀκόμα προσέλθει κάποιος λέγοντάς του, «Ἐσὺ εἶσαι ὁ μόνος

εἰ ἄεχων, τοῦτ' ἔστιν, ἆρα δυνήσῃ μόνος ἁπάσης κατάρξαι τῆς ὑπ' οὐρανόν; Πρὸς τοῦτο, φησίν, ὑπέροπτον ἀφήσει φωνήν, ἐκεῖνο λέγων· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος, καὶ Χαλάννη, οὗ ὁ πύργος ᾠκοδομήθη; Ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν, ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς χώρας λήψομαι. Χαλάννη, οὗ ὁ πύργος ᾠκοδομήθη παρὰ τῶν ἀρχαιοτέρων, κεῖται μὲν ἐν ἐσχάτοις τρόπον τινὰ τῆς ἑῴας μέρεσιν, ἐπέκεινα δὲ τῆς Βαβυλωνίων χώρας τε καὶ γῆς.

Ὥσπερ οὖν, φησίν, ἐξ αὐτῶν τερμάτων τῆς ἑῴας γῆς τῆς ἐμαυτοῦ βασιλείας τέθεικα τοὺς ὅρους, εἷλον δὲ Δαμασκὸν καὶ Σαμάρειαν, ὠφελημένας οὐδὲν ἀπό γε τῶν ἐν αὐταῖς θεῶν, οὕτω καταλήψομαι καὶ τὰς ἔξω χώρας. Μεμνῆσθαι δὲ ἀναγκαῖον ὅτι καὶ Ῥαψάκης, τὰς παρὰ τοῦ βασιλέως Ἀσσυρίων ἀναγγέλλων φωνάς, προσπεφώνηκε τοῖς ἐν τῷ τείχει καθημένοις· «Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων. Μὴ ἀπατάτω ὑμᾶς ὁ βασιλεὺς Ἐζεκίας λόγοις, οἳ οὐ δυνήσονται ῥύσασθαι ὑμᾶς, καὶ μὴ λεγέτω ὑμῖν Ἐζεκίας, ὅτι Ῥύσεται ἡμᾶς ὁ Θεός»· καὶ μεθ' ἕτερα πάλιν· «Μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; Ποῦ ἐστιν ὁ θεὸς Ἐμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς πόλεως Σεπφαρουείμ; Μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός μου; Τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ἐρρύσατο τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται Ἰσραὴλ ἐκ χειρός μου;». Μεγάλα τοίνυν πεφρονηκότα τὸν Ἀσσύριον, καὶ τῆς θείας ὀργῆς καταμειδιᾷν ἠρημένον ὑποθήσειν ἐπαγγέλλεται ταῖς δίκαις. Ἀπηχθημένον μὲν γὰρ καὶ παρ' ἡμῖν αὐτοῖς τῆς ἀλαζονείας τὸ πάθος, ὅταν δὲ δὴ καὶ αὐτῆς τῆς θείας καταθρασύνηται δόξης, τότε δή, τότε τὸ οὐαὶ καὶ σφόδρα δικαίως τοῖς τοῦτο δρᾷν ἐθέλουσι ἐποισθήσεται.

ἄρχοντας, δηλαδή, ἄραγε θὰ μπορέσεις μόνος νὰ κυριαρχήσεις σ' ὅλη τὴν ὑφήλιο; Σ' αὐτὴ τὴν ἐρώτηση, λέγει, θὰ ἐκστομίσει ὑπεροπτικὸ λόγο καὶ θὰ πεῖ ἐκεῖνο· Δὲν κυρίευσα τὴ χώρα πέρα ἀπὸ τὴ Βαβυλώνα καὶ τὴ Χαλάννη, ὅπου ἔχτισαν τὸν πύργο; Κυρίευσα τὴν Ἀραβία, καὶ τὴ Δαμασκὸ καὶ τὴ Σαμάρεια, καὶ μὲ τὸν τρόπο ποὺ κυρίευσα αὐτὲς τὶς χῶρες, θὰ κυριεύσω καὶ ὅλες τὶς ἄλλες. Ἡ Χαλάννη, ὅπου χτίσθηκε ὁ πύργος ἀπὸ τοὺς παλαιοτέρους, βρίσκεται στὸ πλέον ἀπόμακρο κατὰ κάποιο τρόπο μέρος τῆς ἀνατολῆς, πιὸ πέρα ἀπὸ τὴ χώρα καὶ τὴν περιοχὴ τῶν Βαβυλωνίων.

Ὅπως λοιπόν, λέγει, ἀπὸ αὐτὰ τὰ πέρατα τῆς ἀνατολῆς ἔβαλα τὰ ὅρια τῆς βασιλείας μου καὶ κυρίευσα τὴ Δαμασκὸ καὶ τὴ Σαμάρεια, ποὺ δὲν ὠφελήθηκαν καθόλου ἀπὸ τοὺς θεούς τους, ἔτσι θὰ κυριεύσω καὶ τὶς ἔξω ἀπὸ τὴν περιοχὴ αὐτὴ χῶρες. Εἶναι ἀνάγκη νὰ ἀναφέρομε, ὅτι καὶ ὁ Ραψάκης, ἀναγγέλλοντας τοὺς λόγους τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων φώναζε πρὸς ἐκείνους ποὺ ἦταν πάνω στὰ τείχη· «Αὐτὰ λέγει ὁ βασιλιὰς τῶν Ἀσσυρίων· Νὰ μὴ σᾶς ἀπατᾶ ὁ βασιλιὰς Ἐζεκίας μὲ τὰ λόγια του, τὰ ὁποῖα δὲν θὰ μπορέσουν νὰ σᾶς σώσουν, καὶ νὰ μὴ σᾶς λέγει ὁ Ἐζεκίας, ὅτι θὰ σᾶς σώσει ὁ Θεός». Καὶ ἔπειτα ἀπὸ ἄλλα λέγει πάλι· «Μήπως καθένας ἀπὸ τοὺς θεοὺς τῶν ἐθνῶν ἔσωσε τὴ χώρα του ἀπὸ τὰ χέρια τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων; Ποῦ εἶναι ὁ θεὸς Ἐμὰθ καὶ ὁ θεὸς Ἀρφάθ; Καὶ ποῦ εἶναι ὁ θεὸς τῆς πόλης Σεπφαρουείμ; Μήπως μποροῦσαν νὰ σώσουν τὴ Σαμάρεια ἀπὸ τὸ στρατό μου; Ποιὸς ἀπὸ τοὺς θεοὺς ὅλων αὐτῶν τῶν ἐθνῶν ἔσωσε τὴ γῆ του ἀπὸ τὴ δύναμή μου, γιὰ νὰ σώσει καὶ τὸν Ἰσραὴλ ἀπὸ τὰ χέρια μου;». Εἶχε ὑπερηφανευθεῖ λοιπὸν πολὺ ὁ Ἀσσύριος καὶ θέλοντας νὰ περιγελάσει τὴ θεία ὀργή, ὑπόσχεται ὅτι θὰ τὸν ὑποβάλει σὲ τιμωρία. Ἀπεχθανόμαστε βέβαια καὶ ἐμεῖς τὸ πάθος τῆς ἀλαζονείας, ὅταν ὅμως δείχνει κανεὶς θρασύτητα καὶ κατὰ τῆς ἴδιας τῆς θείας δόξας, τότε πιὰ τὸ ἀλλοίμονο, καὶ πάρα πολὺ δίκαια, θὰ ἀποδοθεῖ σ' αὐτοὺς ποὺ θέλουν νὰ τὸ κάνουν αὐτό.

Στίχ. 10-11. «Ὀλολύξατε τὰ γλυπτὰ ἐν Ἰερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ. Ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ ἐν Ἰερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐτῆς».

Εἰσκεκόμικεν ἀρτίως ὑψηλὰ καὶ ὑπέρογκα πεφρονηκότα τὸν Ἀσσύριον. Ἐπειδὴ γὰρ τὰς τῆς Σαμαρείας ὠλόθρευσε πόλεις οὐκ ἐπικουρούντων αὐταῖς τῶν ψευδωνύμων θεῶν, κατεμπρησθέντων δὲ πάλιν αὐτοῖς τεμένεσι καὶ βωμοῖς. Διατεθειμένου δὲ ὅτι καὶ αὐτὴν ὑπὸ χεῖρα ποιῆσαι τὴν Ἰερουσαλήμ, ἤτοι τὴν Ἰουδαίαν, καὶ εἰ μὴ βούλοιτο τυχὸν ὁ προασπίζων αὐτῆς ἀεί τε σώζων Χριστός, τὰς αἰτίας εὐθὺς ὁ προφητικὸς ἡμῖν παρατίθησι λόγος τοῦ καὶ αὐτὴν ἁλῶναι τὴν Σαμάρειαν, πλείστας δὲ ὅσας καὶ τῆς Ἰουδαίας πόλεις. Ταύτῃ τοι καὶ μάλα εἰκότως τῶν τῆς δυσσεβείας τρόπων εἰς ἀνάμνησιν ἀποφέρει, ὀλολύζειν τε αὐτοὺς καὶ κατοιμώζειν κελεύει. Μόνον δὲ οὐχὶ κατατεθηπὼς τὴν ἀπόστασιν ἐκ φιλοθεΐας τῆς ἄγαν ἀναφωνεῖ· «Ὀλολύξατε, γλυπτὰ ἐν Ἰερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ». Ὅπου γὰρ ἔδει ταῖς καθηκούσαις τιμαῖς τὸν τῶν ὅλων καταγεραίρεσθαι Θεόν, ἐκεῖ παροράται καὶ τῆς αὐτῷ πρεπούσης τε καὶ ὀφειλομένης τιμῆς ἐστέρηται. Γλυπτοῖς γὰρ τὸ σέβας ἀναθέντες οἱ δείλαιοι, τετολμήκασιν εἰπεῖν τῷ ξύλῳ· «Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με». Οὐκοῦν μετ' ἐκπλήξεως οἱονεὶ τῷ προφήτῃ γέγονεν ἀναφώνημα τὸ εἰρημένον· τοῦτ' ἔστιν «γλυπτὰ ἐν Ἰερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ».

Τοιοῦτόν τι καὶ διὰ φωνῆς Ἱερεμίου φησὶ περὶ τῆς Ἰερουσαλήμ. «Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα;». Ἔφη δέ που καὶ δι' ἑνὸς προφήτου· «Σκοπὸς Ἐφραΐμ μετὰ Θεοῦ, προφήτης παγὶς σκολιά, ἐπὶ πάσας ὁδοὺς αὐτοῦ, μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν». Ἰδρυσά-

105. Ἱερ. 2, 27.
106. Ἱερ. 11, 15.

Στίχ. 10-11. «Θρηνῆστε τὰ γλυπτὰ στὴν Ἱερουσαλὴμ καὶ στὴ Σαμάρεια. Γιατὶ ἐκεῖνο ποὺ ἔκανα στὴ Σαμάρεια καὶ στοὺς χειροποίητους θεούς της, αὐτὸ θὰ κάνω καὶ στὴν Ἱερουσαλὴμ καὶ στὰ εἴδωλά της».

Μᾶς παρουσίασε πρὶν ἀπὸ λίγο τὸν Ἀσσύριο μὲ τὰ ὑψηλὰ καὶ ὑπέρογκα φρονήματά του. Ἐπειδὴ δηλαδὴ ἐξολόθρευσε τὶς πόλεις τῆς Σαμάρειας χωρὶς νὰ βοηθήσουν οἱ ψευδώνυμοι θεοί της καὶ πυρπολήθηκαν πάλι μαζὶ μὲ τὰ ἴδια τὰ τεμένη καὶ τοὺς βωμούς, ἔχοντας τὴν πρόθεση νὰ κάνει ὑποχείριά του καὶ τὴν ἴδια τὴν Ἱερουσαλήμ, ἤτοι τὴν Ἰουδαία, κι ἂν ἀκόμα δὲν ἤθελε τυχὸν ὁ πρόμαχός της καὶ παντοτινὸς σωτήρας της Χριστός, ἀμέσως ὁ προφητικὸς λόγος μᾶς παραθέτει τὶς αἰτίες τῆς ἅλωσης καὶ αὐτῆς τῆς Σαμάρειας καὶ πολλῶν ἄλλων πόλεων τῆς Ἰουδαίας. Γι' αὐτό, καὶ πολὺ εὔλογα, τοὺς μεταφέρει στὴν ἀνάμνηση τῶν ἐκδηλώσεων τῆς ἀσέβειας καὶ τοὺς προτρέπει νὰ ξεσπάσουν σὲ ὁλολυγμοὺς καὶ θρήνους, καὶ μένοντας κατὰ κάποιο τρόπο κατάπληκτος γιὰ τὴν ἀποστασία ἀπὸ ὑπερβολικὴ ἀγάπη τοῦ Θεοῦ ἀναφωνεῖ· «Θρηνῆστε τὰ γλυπτὰ στὴν Ἱερουσαλὴμ καὶ τὴ Σαμάρεια». Ἐκεῖ δηλαδὴ ποὺ ἔπρεπε νὰ δοξάζεται μὲ τὶς ἀνάλογες τιμὲς ὁ Θεὸς τῶν ὅλων, ἐκεῖ περιφρονεῖται καὶ στερεῖται τὴν τιμὴ ποὺ τοῦ πρέπει καὶ τοῦ ὀφείλεται. Γιατί, ἀφιερώνοντας οἱ δυστυχεῖς τὸ σεβασμό τους στὰ ἀγάλματα, τόλμησαν νὰ ποῦν στὸ ξύλο· «Ἐσὺ εἶσαι ὁ θεός μου, καὶ στὸν λίθο, Ἐσὺ μὲ γέννησες»[105]. Γεμᾶτος λοιπὸν κατὰ κάποιο τρόπο ἀπὸ ἔκπληξη ὁ προφήτης ἔκανε τὴν ἀναφώνηση αὐτὴ ποὺ ἀναφέρθηκε, δηλαδή, «γλυπτὰ στὴν Ἱερουσαλὴμ καὶ στὴ Σαμάρεια».

Κάτι παρόμοιο λέγει καὶ μὲ τὴ φωνὴ τοῦ Ἱερεμία γιὰ τὴν Ἱερουσαλήμ· «Γιατί ἡ ἀγαπημένη μου ἐγκατέστησε τὸ βδέλυγμα στὸν οἶκο μου;»[106]. Εἶπε ἐπίσης κάπου καὶ μέσω ἑνὸς προφήτη· «Ἄλλοτε ὁ προφήτης, ὁ φρουρὸς καὶ σκοπὸς τοῦ Ἐφραΐμ ἦταν μὲ τὸν Θεό, τώρα ὅμως εἶναι παγίδα δόλια σὲ ὅλους τοὺς δρόμους τοῦ λαοῦ, γιατὶ ἐγκατέστησαν τὴν ἀφροσύνη στὸν οἶκο τοῦ Κυ-

μενοι γὰρ ἐν τοῖς Ἱεροσολύμοις βωμοὺς καὶ χειρόκμητα, τε θύκασι τῇ Βάαλ καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Δεδράκασι δὲ ταυτὶ καὶ οἱ ἐν τῇ Σαμαρείᾳ. «Ὃν τρόπον» τοίνυν, φησίν, «ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐτῆς». Οἷς γὰρ ἀδελφὰ τὰ τολμήματα, τούτοις ἔποιτο ἂν εἰκότως καὶ ἰσοπαλὴς ἡ δίκη. Οὐκοῦν ἔλαβε μὲν ὁ Ἀσσύριος καὶ Δαμασκὸν καὶ Σαμάρειαν. Ὁδὸς δὲ τοῦ πράγματος αὐτῷ καὶ τοῦ κατισχῦσαι πρόφασις ἡ τῶν εἰδώλων ποίησις ἦν, ἡ ἔν τε τῇ Σαμαρείᾳ καὶ τοῖς Ἱεροσολύμοις Ταύτητοι καὶ τοῖς τὰ τοιάδε δρᾶν εἰωθόσιν τὰς πρεπωδεστάτας ἐξήτηνται δίκας Χαλεπὸν οὖν ἄρα καὶ ὀργῆς ἡμῖν τῆς παρὰ Θεοῦ πρόξενον ἡ τῶν εἰδώλων ποίησις πανταχοῦ, κἂν εἴ τις εἰς νοῦν καὶ καρδίαν τοῦτο δρᾷη τυχόν. Ἀποφέρει γὰρ κἀκεῖνα τῆς εἰς Θεὸν ἀγάπης, καταγοητεύοντα τὴν καρδίαν καὶ ἐφ' ἃ μὴ προσῆκεν ἐξέλκοντα.

Στίχ. 12-14. «Καὶ ἔσται ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλήμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπε γάρ· Τῇ ἰσχύϊ ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι».

Οὐκ ἔξω κοινῆς γενήσεσθαι τὸν Ἀσσύριον τὰ οὕτως ὑπέρογκα πεφρονηκότα φησί. «Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται», κατὰ τὸ γεγραμμένον, καὶ τῶν τῆς ἀλαζονείας αἰτιαμάτων τοὺς ταύτην νενοσηκότας πράττεται μὲν ἀεὶ

107. Ὡσηὲ 9, 8. 108. Ἰακ. 4, 6.

ρίου»[107]. Ἀφοῦ δηλαδὴ ἐγκατέστησαν στὰ Ἱεροσόλυμα βωμοὺς καὶ ἀγάλματα, τ' ἀφιέρωσαν στὸν Βάαλ καὶ τὴ στρατιὰ τοῦ οὐρανοῦ. Τὰ ἴδια ἔκαναν καὶ οἱ Σαμαρεῖτες. «Ἐκεῖνο ποὺ ἔκανα», λέγει, «στὴ Σαμάρεια καὶ στὰ ἀγάλματά τους, αὐτὸ θὰ κάνω καὶ στὴν Ἱεροσαλὴμ καὶ στὰ εἴδωλά της». Γιατὶ σὲ ὅποιους τὰ τολμήματα εἶναι ἀδελφικά, εὔλογα σ' αὐτοὺς ἀκολουθεῖ καὶ ἴση τιμωρία. Κυρίευσε λοιπὸν ὁ Ἀσσύριος καὶ τὴ Δαμασκὸ καὶ τὴ Σαμάρεια. Ὁδὸς βέβαια τοῦ ἐγχειρήματος καὶ πρόφαση γιὰ νὰ ὑπερισχύσει ἦταν ἡ κατασκευὴ τῶν εἰδώλων τόσο στὴ Σαμάρεια ὅσο καὶ στὰ Ἱεροσόλυμα. Γι' αὐτὸ καὶ σ' αὐτοὺς ποὺ συνηθίζουν νὰ πράττουν αὐτὰ ἐπιβάλλονται οἱ ποινὲς ποὺ τοὺς ἀξίζουν. Εἶναι βαρὺ λοιπὸν καὶ προξενεῖ τὴν ὀργὴ τοῦ Θεοῦ ἡ κατασκευὴ τῶν εἰδώλων, ἀκόμα κι ἂν κάποιος τὸ κάνει αὐτὸ μέσα στὸ νοῦ καὶ τὴν καρδιά του. Γιατὶ ἀπομακρύνουν καὶ ἐκεῖνα ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, καταγοητεύοντας τὴν καρδιὰ καὶ σύροντάς την σ' αὐτὰ ποὺ δὲν πρέπει.

Στίχ. 12-14. «Καὶ ὅταν ὁλοκληρώσει ὁ Κύριος καὶ κάνει ὅλα ὅσα θέλει στὸ ὄρος Σιὼν καὶ στὴν Ἱερουσαλήμ, θὰ καταφέρει χτύπημα στὸν μεγάλο αὐτὸν καὶ ἀλαζονικὸ νοῦ, τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ στὴ μεγάλη δόξα του ποὺ βλέπουν τὰ ἀλαζονικὰ μάτια του. Γιατὶ εἶπε· Μὲ τὴ δύναμή μου θὰ τὰ κάνω αὐτὰ καὶ μὲ τὴ σοφία καὶ τὴ σύνεσή μου θὰ ἐξαλείψω τὰ ὅρια τῶν ἐθνῶν καὶ θὰ λεηλατήσω τὴ δύναμή τους, θὰ συγκλονίσω πολυάνθρωπες πόλεις, καὶ ὅλη τὴν οἰκουμένη θὰ τὴ βάλω μέσα στὸ χέρι μου σὰν τὴ φωλιὰ τῶν πουλιῶν καὶ θά τὴν σηκώσω σὰν τὰ παρατημένα αὐγά της, καὶ δὲν θὰ ὑπάρξει κανένας ποὺ νὰ μοῦ διαφύγει ἢ νὰ προβάλει ἀντιλογία σὲ μένα».

Δὲν θὰ μείνει, λέγει, ἀτιμώρητος ὁ Ἀσσύριος μὲ τὰ τόσο ἀλαζονικὰ φρονήματά του, γιατί, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «ὁ Κύριος ἀντιτάσσεται στοὺς ὑπερήφανους»[108] καὶ ἀπαιτεῖ πάντα τοὺς λόγους τῆς ἀλαζονείας ἀπὸ αὐτοὺς ποὺ ἔχουν αὐτὴ τὴ

τοὺς λόγους, ἀποφαίνει δὲ αὐτοὺς οἰκτροὺς καὶ κατερραμμένους, ὡς ἂν εἰδεῖεν μὴ ἐπαίρειν εἰς ὕψος τὸ κέρας, κατὰ τὸ γεγραμμένον, εἶεν δὲ μᾶλλον ἐπιγνώμονες τῆς ἑαυτῶν φύσεώς τε καὶ ἀσθενείας «Ὅταν» γάρ, φησί, «συντελέσῃ πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἰερουσαλήμ», τοῦτ' ἔστιν, ὅταν εἰς τέλος ἔρχηται τὰ τῆς ἐπ' αὐτοῖς ὀργῆς, ἐπάξει τότε τὴν χεῖρα καὶ τὴν καταπαίουσαν ῥάβδον ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τῶν Ἀσσυρίων. Νοῦν δὲ αὐτὸν ἀπεκάλεσε μέγαν, οὐ πρὸς ἔπαινον τὸ χρῆμα τιθεὶς αὐτῷ, καταψέγων δὲ μᾶλλον, ὡς οὐδὲν ἕτερον ὄντα, πλὴν ὅτι μόνον ὑπεροψίαν τὴν θεομισῆ. Πεφρόνηκε γὰρ ἀνθρώπινον μὲν οὐδέν, ὅσα δὲ καὶ τάχα καὶ πᾶσαν τὴν γενητὴν ὑπερνήχεται φύσιν. Ἐπάξει τοίνυν ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ· ὀφθαλμῶν δέ φησιν ἐν τούτοις, ἀντὶ τοῦ τῶν ἐννοιῶν, ἤτοι τῶν ἐνθυμημάτων. Ὑψηλὰ γάρ, ὡς ἔφην, καὶ ὑπέρογκα ταυτί. Θεὸς δὲ ὑπάρχων καὶ εἰς καρδίαν ὁρῶν καὶ νεφρούς, εἰδώς τε τὰ κεκρυμμένα, καὶ ἡμῖν αὐτὰ καθίστησιν ἐναργῆ, καί φησιν. Εἶπε γάρ· «Τῇ ἰσχύϊ ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας».

Ἄθρει δὴ οὖν ὅπως, ὡς τῆς ἄνωθεν ἐπικουρίας οὐ δεδεημένος, ταῖς ἑαυτοῦ δυνάμεσιν ἀνάπτει μόναις τὸ πάντα δύνασθαι δρᾶν, ὅσα περ ἂν βούλοιτο· οἴεται δὲ ὅτι καὶ σοφὸς οὕτως ἐστίν, καὶ στρατηγικός, ὡς καὶ μάλα ῥᾳδίως ἐφ' ἑαυτόν, δύνασθαι μεθιστᾶν τὰ ὅρια τῶν ἐθνῶν, διαρρηγνῦναί τε αὐτῶν τὴν ἰσχὺν καὶ ἐν προνομῇ ποιεῖσθαι, καὶ κατασείειν πόλεις, οὐκ ἀνάνδρους καὶ ἠρημωμένας, ἀλλ' εἰ καὶ πλείστους ὅσους καὶ ἀναριθμήτους ἔχοιεν τοὺς κατοικοῦντας ἐν αὐταῖς. Καὶ οὐ μέχρι τούτων τὰ τῆς ἀλαζονείας αὐτῷ. Περιαντίζεται γὰρ καὶ ἁπάσης ὅτι καταδράξηται τῆς ὑπ' οὐρανόν, καὶ λίαν εὐκόλως, ἑτοίμως τε καὶ ἁμαχεὶ διατέθειται

109. Ψαλμ. 74, 5. 110. Ψαλμ. 7, 9. Ἱερ. 17, 10.

νόσο καὶ τοὺς ἴδιους τοὺς παρουσιάζει οἰκτροὺς καὶ καταφρονημένους, γιὰ νὰ μάθουν, σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει γραφεῖ, νὰ μὴν εἶναι τόσο ἀλαζονικοὶ γιὰ τὴ δύναμή τους[109], ἀλλὰ νὰ ἔχουν μᾶλλον ἐπίγνωση τῆς φύσεως καὶ τῆς ἀδυναμίας τους. Γιατὶ λέγει, «Ὅταν πραγματοποιήσει κάποιος τὰ πάντα στὸ ὄρος Σιὼν καὶ τὴν Ἰερουσαλήμ», δηλαδὴ ὅταν φτάσουν στὸ τέλος τὰ ξεσπάσματα τῆς ὀργῆς του πρὸς αὐτούς, τότε θὰ καταφέρει τὸ χέρι του καὶ τὴ ράβδο ποὺ δίνει τὰ πλήγματα στὸ μεγάλο νοῦ καὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων. Τὸν ἀποκάλεσε μεγάλο νοῦ, χρησιμοποιώντας τὴ λέξη ὄχι πρὸς ἔπαινο, ἀλλὰ μᾶλλον πρὸς ἐπίπληξη, γιατὶ δὲν ἔχει τίποτε ἄλλο, παρὰ μόνο τὴ θεομίσητη ὑπεροψία. Γιατὶ τὸ φρόνημά του δὲν περιλάμβανε τίποτε τὸ ἀνθρώπινο, ἀλλ' ὅσα ὑπερβαίνουν ἴσως καὶ ὅλη τὴ δημιουργημένη κτίση. «Θὰ ἐπιφέρει τὸ πλῆγμα στὸ ὕψος τῆς δόξας τῶν ὀφθαλμῶν του». Τὸ «ὀφθαλμοὺς» ἐδῶ τὸ λέγει ἀντὶ τῶν ἐννοιῶν ἢ εὐθυμημάτων. Γιατί, ὅπως εἶπα, αὐτὰ εἶναι ὑψηλὰ καὶ ὑπέρογκα. Ὄντας ὅμως Θεὸς καὶ «βλέποντας τὴν καρδιὰ καὶ τοὺς νεφροὺς»[110], καὶ γνωρίζοντας τὰ κρυμμένα, τὰ κάνει αὐτὰ καὶ σὲ μᾶς φανερά, καὶ λέγει· Γιατὶ εἶπε· «Θὰ τὰ κάνω αὐτὰ μὲ τὴ δύναμή μου καὶ μὲ τὴ σοφία μου θὰ καταλύσω τὰ σύνορα τῶν ἐθνῶν, θὰ κατασυντρίψω καὶ θὰ λεηλατησω τὴ δύναμή τους καὶ θὰ συγκλονίσω πόλεις πολυάνθρωπες».

Πρόσεξε λοιπὸν πῶς, μὴ ἔχοντας ἀνάγκη τῆς οὐράνιας βοήθειας, ἀποδίδει στὶς δικές του μόνο δυνάμεις τὸ ὅτι μπορεῖ νά κάνει τὰ πάντα, ὅσα θέλει, καὶ φαντάζεται ὅτι εἶναι τόσο καὶ σοφὸς καὶ ἱκανὸς στρατηγός, ὥστε πολὺ εὔκολα νὰ μπορεῖ νὰ ἀλλάξει μόνος του τὰ σύνορα τῶν ἐθνῶν, νὰ συντρίψει τὴ δύναμή τους καὶ νὰ τὴν παραδώσει σὲ λεηλασία, νὰ κατακλονίσει πόλεις, ὄχι χωρὶς ἀνθρώπους καὶ ἔρημες, ἀλλὰ ἀκόμα κι ἂν πάρα πολλοὶ καὶ ἀναρίθμητοι ἄνθρωποι κατοικοῦν σ' αὐτές. Καὶ δὲν σταματοῦν μέχρις ἐδῶ τὰ ἐπακόλουθα τῆς ἀλαζονείας. Γιατὶ καυχολογεῖ ὅτι θ' ἁρπάξει καὶ ὅλη τὴν ὑφήλιο, πολὺ εὔκολα μάλιστα, καὶ σύμφωνα μὲ τὰ μυαλά του ἔχει τὴ γνώμη καὶ πιστεύει πὼς θὰ τὸ

καὶ φρονεῖ κατά γε τὸ εἰς νοῦν ἦκον αὐτῷ. «Καταλήψομαι», γάρ, φησί, «τὴν οἰκουμένην ὅλην ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι». Ὦ δεινῆς ὑπεροψίας, ὦ λογισμῶν ἀσυνέτων. Ὡς ἑνὸς στρουθίου καλιὰν τὴν σύμπασαν βλέπει, ὠοῖς καταλελειμμένοις ὑπὸ τῆς θαλπούσης ὄρνιθος παρεικάζει τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, ἵν' ὡς δράκων ἐπελθὼν καταπίῃ. Μισεῖ δὲ τοὺς ἀντιλέγοντας, καὶ οὐδ' ὅσον εἰπεῖν εἰς λόγους ἦξειν αὐτῷ προσδοκᾷ τοὺς πολιορκουμένους. Ταυτὶ πρέποι ἂν καὶ εἰς τὸ αὐτοῦ πρόσωπον ἀναφέρειν τοῦ Σατανᾶ. Καὶ γάρ ἐστιν αὐτὸς ὁ τῆς ὑπερηφανίας πατήρ. Ὡήθη δὲ ὅτι καταλήψεται τὴν οἰκουμένην ἀντιπράττοντος οὐδενός. Ἀλλ' οὐχ οὕτω ποθέν· ἐκβέβηκε δὲ μᾶλλον αὐτῷ πρὸς πᾶν τοὐναντίον τῶν πραγμάτων τὸ πέρας. Ἀντείρηκε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστός, καὶ οὐκ ἀντείρηκε μόνον, ἀλλὰ καὶ ὑπερήθλησε τῆς ἁπάντων ζωῆς, νενίκηκε τὸν ἀλιτήριον καὶ τοῖς τῶν ἁγίων ὑπέστρωσε ποσίν. Ἔφη γὰρ αὐτοῖς· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ».

Στίχ. 15-16. «Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ, ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; Ὡσαύτως ἐάν τις ἄρῃ ῥάβδον ἢ ξύλον· οὐχ οὕτως, ἀλλ' ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται».

Διελέγχει σαφῶς τὸν Ἀσσύριον, εἰκῇ τε ἀναφυσῶμενον καὶ ἠγνοηκότα παντελῶς, ὡς ἥκιστα μὲν τῆς αὐτοῦ χειρὸς ἔργον γέγονε τὸ ἀπολέσαι τὴν Σαμάρειαν, ἑλεῖν δὲ σὺν αὐτῇ καὶ τὰς ἑτέρας πόλεις, ψήφου δὲ μᾶλλον τῆς ἄνωθεν ἐπιφερούσης αὐτῶν τοῖς ἀφόρητα δεδυσσεβηκόσι, καθά-

111. Λουκᾶ 10, 19.

πετύχει σύντομα καὶ χωρὶς μάχη. Γιατὶ λέγει, «Θὰ κυριεύσω ὅλη τὴν οἰκουμένη σὰν φωλιὰ πουλιοῦ καὶ θὰ ἁρπάξω τὰ ὑπάρχοντά τους σὰν αὐγὰ ἐγκαταλελειμένα, καὶ δὲν ὑπάρχει κανένας ποὺ θὰ μοῦ διαφύγει ἢ θὰ προβάλει ἀντίρρηση. Πόσο φοβερὴ ἀλήθεια ὑπεροψία, πόσο ἀστόχαστοι λογισμοί. Βλέπει τὴν οἰκουμένη ὅλη σὰν φωλιὰ ἑνὸς σπουργίτη, παρομοιάζοντας τοὺς ἀνθρώπους ὅλης τῆς γῆς μὲ αὐγὰ ποὺ ἔχουν ἐγκαταλειφθεῖ ἀπὸ τὴν ὄρνιθα ποὺ τὰ ζέσταινε, ὥστε σὰν φίδι νὰ ὁρμήσει καὶ νὰ τὰ καταπιεῖ. Ἐκείνους ποὺ ἀντιλέγουν τοὺς μισεῖ καὶ προσδοκᾶ ὅτι οἱ πολιορκούμενοι δὲν θὰ προλάβουν κὰν νὰ συνομιλήσουν μαζί του. Αὐτὰ πρέπει νὰ ἀναφέρονται στὸ πρόσωπο τοῦ ἴδιου τοῦ Σατανᾶ. Γιατὶ αὐτὸς εἶναι ὁ πατέρας τῆς ὑπερηφάνειας. Φαντάσθηκε ἀκόμα ὅτι θὰ κυριεύσει τὴν οἰκουμένη χωρὶς νὰ τοῦ ἀντισταθεῖ κανένας. Ὅμως δὲν ἔγινε ἀσφαλῶς ἔτσι, ἀλλὰ ἡ ἔκβαση τῶν πραγμάτων ἦταν τελείως ἀντίθετη γι' αὐτόν. Γιατὶ πρόβαλε πρὸς χάρη μας ἀντίρρηση ὁ Χριστός, καὶ δὲν πρόβαλε μόνο τὴν ἀντίρρησή του, ἀλλὰ καὶ ἀγωνίσθηκε νικητήρια γιὰ τὴ ζωὴ ὅλων, νίκησε τὸν ἀσεβέστατο καὶ τὸν ἔστρωσε πάτημα γιὰ τὰ πόδια τῶν ἁγίων. Γιατὶ εἶπε πρὸς αὐτούς· «Νά, σᾶς ἔδωσα ἐξουσία νὰ πατᾶτε πάνω σὲ φίδια καὶ σκορπιοὺς καὶ σ' ὅλη τὴ δύναμη τοῦ ἐχθροῦ»[111].

Στίχ. 15-16. «Μήπως θὰ δοξασθεῖ ἡ ἀξίνη χωρὶς τὴ χρησιμοποίησή της ἀπὸ τὸν ξυλοκόπο, ἢ θὰ ὑψωθεῖ τὸ πριόνι χωρὶς ἐκεῖνον ποὺ τὸ σύρει; Τὸ ἴδιο κι ἂν κάποιος σηκώσει ράβδο ἢ ξύλο. Δὲν θὰ συμβεῖ αὐτό, ἀλλὰ ὁ Κύριος τῶν δυνάμεων θὰ παραδώσει τὴν τιμή σου σὲ ἐξευτελισμὸ καὶ τὴ λαμπρότητα τῆς δόξας σου θὰ τὴν καταφάγει ἡ φλόγα τῆς φωτιᾶς».

Ἐλέγχει μὲ σαφήνεια τὸν Ἀσσύριο ποὺ μάταια φουσκώνει ἀπὸ ἀλαζονεία καὶ ἀγνοεῖ ἐντελῶς ὅτι ἡ καταστροφὴ τῆς Σαμάρειας δὲν ἦταν καθόλου ἔργο δικό του, καὶ ὅτι κυρίευσε μαζὶ μ' αὐτὴν καὶ τὶς ἄλλες πόλεις, ἀλλὰ μᾶλλον ἦταν ἔργο τῆς οὐράνιας ἀπόφασης ποὺ καταφέρει τὰ πλήγματα σὰν μὲ τσεκούρι ἢ

περ τινὰ πέλεκυν ἢ ῥάβδον ἢ ξύλον. Εἰπέ γάρ μοι, φησίν, ὦ πάντων ἀνούστατε, «μὴ ἀξίνη δοξασθήσεται ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ». Πέλεκυς μὲν γὰρ ἄριστα τεθηγμένος καὶ τομὸς ἐπιτηδείως ἂν ἔχοι πρὸς τὸ ἀποκείρειν δύνασθαι τὰ ἐν ἀγροῖς ξύλα. Ἆρ' οὖν ἐπαινέσαι τις τὴν ἀξίνην, ὡς τοῦτο δρᾶν δυναμένην, δίχα τοῦ κόπτοντος ἐν αὐτῇ; Ἐνεργήσει δὲ τί καθ' ἑαυτὸν ὁ πρίων, εἰ μή τις ἕλκοιτό τε αὐτὸν καὶ κατωθήσειε πάλιν; Εἰ δὲ δή τις καθ' ὁτιοῦν ἢ ῥάβδον ἢ ξύλον· ἆρ' οὐχ οὕτως ἔσται πάλιν; Κείσεται μὲν γὰρ ἡ ῥάβδος εἰς γῆν, ἔρριπται δὲ καὶ τὸ ξύλον, ἀλλ' εἴ τις λαβὼν ἐπάγοι τισί, τότε δὴ πάντως εἰς ἔργον ἥξει τἄ δι' αὐτῶν.

Τί τοίνυν, φησί, πεφρόνηκας ὑψηλά; Τί δὲ τὴν ὀφρὺν ἀνασπᾷς; Οἴει ὅτι ἰδίᾳ δυνάμει κατώρθωκας αὐτὸς τὸ ἑλεῖν τὰς πόλεις, ἐν οὐρανοῦ τάξει παραληφθεὶς παρὰ τῆς ἐκεῖνα ποιούσης χειρός, δηλονότι τῆς θείας; Οὐ σὴ τοιγαροῦν ἡ δόξα, Θεοῦ δὲ μᾶλλον τοῦ καθάπερ τινὰ πέλεκυν, ἢ ῥάβδον ἢ ξύλον τὴν σὴν ἐπάγοντος ὠμότητα τοῖς αὐτῷ προσκεκρουκόσιν. Ἔσῃ τοίνυν οὐχ οὕτω, φησίν, ὡς ᾠήθης αὐτός, οὔτε μὴν ἐν ταυτότητι δόξης διαμενεῖς, ἀλλ' οὐδὲ ταῖς οὕτως ἀβραῖς ἐνσπαταλήσεις τιμαῖς. Οὐ τῇ ἰσχύϊ ποιήσεις, οὐδὲ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελεῖς ὅρια ἐθνῶν. Οὐ καταλήψῃ τὴν οἰκουμένην ὡς ὠὰ καταλελειμμένα. «Ἀλλ' ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται». Τιμὴν δὲ αὐτοῦ φησι τὴν ὑπ' αὐτῷ πράττουσάν τε καὶ ὑποκειμένην στρατιάν. Ἐπ' αὐτῇ γὰρ δεδόξαστο. Πῦρ οὖν ἥξει κατ' αὐτῆς, φησί, καὶ καταφλέξει τὴν σὴν τιμήν. Τίνα δὲ τρόπον καὶ τοῦτο γέγονε, διατρανοῖ πάλιν, καὶ οὐκ εἰς μακράν.

ράβδο ἢ ξύλο σ' αὐτοὺς ποὺ ἔδειξαν ἀνυπόφορη ἀσέβεια. Γιατὶ πές μου, λέγει, σὺ ὁ πιὸ ἀνόητος ἀπὸ ὅλους, μήπως ἡ ἀξίνη θὰ δοξασθεῖ χωρὶς τὸν ξυλοκόπο; Γιατὶ τὸ τσεκούρι ποὺ εἶναι ἀκονημένο ἄριστα καὶ κοφτερὸ εἶναι κατάλληλο νὰ κόβει τά ξύλα στοὺς ἀγρούς. Ἄρα λοιπὸν θὰ ἐπαινέσει κανεὶς τὴν ἀξίνη, ὅτι μπορεῖ νὰ κάνει τὸ ἔργο της χωρὶς τὸν ξυλοκόπο; Καὶ τί θὰ κάνει τὸ πριόνι μόνο του, ἂν δὲν τὸ τραβήξει κάποιος πρὸς τὰ ἐμπρὸς καὶ τὸ σμπρώξει πάλι πίσω; Ἂν κάποιος δὲν κάνει τὸ ἴδιο σὲ ὁποιοδήποτε ἢ ράβδο ἢ ξύλο, ἄραγε δὲν θὰ συμβεῖ πάλι τὸ ἴδιο; Γιατὶ θὰ βρίσκεται τὸ ραβδὶ κάτω στὴ γῆ καὶ τὸ ξύλο πεταγμένο σ' αὐτή, ἀλλὰ ἂν τὰ σηκώσει κανεὶς καὶ τὰ καταφέρει ἐναντίον κάποιων, τότε ὁπωσδήποτε θὰ ἐπιτευχεῖ τὸ προβλεπόμενο ἀπὸ αὐτὰ ἔργο.

Γιατί λοιπόν, λέγει, δείχνεις τόσο μεγάλη ἀλαζονεία; Γιατί σηκώνεις τὰ φρύδια ἀπὸ ἔπαρση; Νομίζεις ὅτι μὲ τὴ δική σου δύναμη πέτυχες σὺ νὰ κυριεύσεις τὶς πόλεις, τὴ στιγμὴ ποὺ παραλήφθηκες στὴν οὐράνια τάξη ἀπὸ τὸ χέρι ἐκεῖνο ποὺ τὰ κάνει αὐτά, δηλαδὴ τὸ θεῖο; Δὲν εἶναι λοιπὸν ἡ δόξα δική σου, ἀλλὰ μᾶλλον εἶναι τοῦ Θεοῦ, ποὺ σὰν τσεκούρι ἢ ραβδὶ ἢ ξύλο καταφέρει τὴν ὠμότητά σου σ' αὐτοὺς ποὺ προσκρούουν στὸ θέλημά του. Δὲν θά εἶσαι λοιπόν, λέγει, ἔτσι, ὅπως ὁ ἴδιος φαντάσθηκες, οὔτε θὰ παραμείνεις στὴν ἴδια δόξα, ἀλλ' οὔτε θὰ ἀπολαύσεις τὶς τόσο λεπτὲς τιμές. Δὲν θὰ τὸ κάνεις αὐτὸ μὲ τὴ δύναμή σου, οὔτε μὲ τὴ σοφία καὶ τὴ γνώση σου θὰ ἐξαλείψεις τὰ σύνορα τῶν ἐθνῶν. Δὲν θὰ κυριεύσεις τὴν οἰκουμένη σὰν ἐγκαταλελειμένα αὐγά, ἀλλὰ θὰ παραδώσει ὁ Κύριος τῶν δυνάμεων τὴν τιμή σου σὲ ἐξευτελισμὸ καὶ ἡ δόξα σου θὰ καεῖ σὰν ἀπὸ φλόγα φωτιᾶς. Τιμὴ βέβαια αὐτοῦ ὀνομάζει τὸν στρατὸ ποὺ δρᾶ καὶ βρίσκεται κάτω ἀπὸ τὴ διαταγή του· γιατὶ μὲ τὸν στρατὸ αὐτὸ δοξάσθηκε. Θὰ πέσει λοιπὸν φωτιὰ πάνω σ' αὐτόν, λέγει, καὶ θὰ κατακάψει μὲ τὶς φλόγες της τὴν τιμή σου. Μὲ ποιὸ τρόπο ὅμως ἔγινε κι αὐτό, καὶ ὄχι πολὺ ἀργά, τὸ διασαφηνίζει πάλι.

Στίχ. 17-19. «Καὶ ἔσται τὸ φῶς τῷ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡς χόρτον τὴν ὕλην. Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Καὶ ἔσται ὁ φεύγων ὡς φεύγων ἀπὸ φλογὸς καιομένης, καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμός, καὶ παιδίον γράψει αὐτούς».

Δυσέφικτον σφόδρα τὸ εἰρημένον, καὶ ἡ τῆς λέξεως συνθήκη τὴν ἀπόδοσιν ἔχει δυσχερεστάτην. Σαφηνιοῦμεν δὲ πάλιν τὸν ἔν γε τοῖς προκειμένοις κρυπτόμενον νοῦν, ἐκεῖνα προειρηκότες Εἶλε μὲν γὰρ τὴν Σαμάρειαν ὁ Σαλαμανασὰρ ὁ τῶν Ἀσσυρίων βασιλεύς, ἀπέστειλε δὲ Ῥαψάκην ἐκ Λαχεῖς εἰς Ἱερουσαλήμ, ὃς ἐλθὼν καὶ πολιορκήσας αὐτήν, προσλελάληκε τοῖς ἐν τῷ τείχει τὰ παρὰ τοῦ πεπομφότος αὐτόν, προσετίθει δὲ τούτοις τὰς κατὰ τοῦ Θεοῦ δυσφημίας λέγων, ὅτι «Οὐ μὴ ῥύσεται ὁ Θεὸς τὴν Ἱερουσαλὴμ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων». Πρὸς δὴ τὰ τοιάδε δεδυσφορηκὼς ὁ βασιλεὺς Ἐζεκίας τὰς πρὸς Θεὸν ἐποιεῖτο λιτὰς λέγων· «Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Ῥαψάκου, οὓς ἐξαπέστειλε βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα». Ἐπηγγέλλετο δὲ Θεὸς τὴν σωτηρίαν αὐτοῖς Καὶ δὴ καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐν μιᾷ νυκτὶ ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας,, οὗ δὴ γεγονότος, ἐβάλλετο μὲν ὁ Ἀσσύριος ἀφορήτῳ δείματι. Ἀκούσας δὲ ἀγγελίαν ὅτι Σαρσαθά, βασιλεὺς Αἰθιόπων, ἐξῆλθε κατὰ τῆς γῆς αὐτοῦ σὺν ὀλίγοις παντελῶς τοῖς περιλελειμμένοις, ᾤχετο φυγάς Τοῦτο καὶ νῦν ὁ προφητικὸς ἡμῖν αἰνιγματωδῶς διερμηνεύει λόγος Φῶς μὲν γὰρ γέγονε τῷ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς τὸν καταφωτίζειν ἰσχύοντα διορισάμενος νόμον. Ἀλλὰ τοῦτο, φησί, τὸ φῶς τὸ ὑπάρξαν τῷ Ἰσραήλ, οὐ

Στίχ. 17-19. «Καὶ αὐτὸ ποὺ εἶναι φῶς γιὰ τοὺς Ἰσραηλῖτες θὰ γίνει φωτιὰ γιὰ τοὺς Ἀσσυρίους, καὶ μὲ τὴ φωτιὰ τῶν θλίψεων θὰ ἐξαγνίσει τοὺς Ἰσραηλῖτες, ἐνῶ τοὺς Ἀσσυρίους θὰ τοὺς καταφάει σὰν ξερόχορτα καὶ σὰν δένδρα τοῦ δάσους. Τὴν ἡμέρα ἐκείνη οἱ Ἀσσύριοι θὰ σβησθοῦν σὰν τὰ ὄρη καὶ τὰ βουνὰ καὶ τὰ δάση, καὶ ἡ φωτιὰ θὰ καταφάει τὶς ψυχὲς καὶ τὶς σάρκες τους, καὶ αὐτὸς ποὺ θὰ φεύγει θὰ εἶναι σὰν ἐκεῖνον ποὺ φεύγει ἀπὸ φοβερὴ πυρκαγιά, καὶ αὐτοὶ ποὺ θ' ἀπομείνουν θὰ μπορεῖ νὰ γράψει τὸν ἀριθμό τους κι ἕνα παιδί».

Εἶναι παρα πολὺ δυσκολονόητο τὸ χωρίο καὶ ἡ σύνθεση τῶν λέξεών του ἔχει πάρα πολὺ δύσκολη ἀπόδοση. Θὰ διασαφηνίσομε ὅμως πάλι τὸ νόημα ποὺ κρύβουν οἱ ἐξεταζόμενοι λόγοι λέγοντας πρῶτα ἐκεῖνα. Κυρίευσε δηλαδὴ τὴ Σαμάρεια ὁ Σαλαμανασάρ, ὁ βασιλιὰς τῶν Ἀσσυρίων, καὶ ἔστειλε τὸν Ραψάκη ἀπὸ τὶς Λαχεῖς στὰ Ἱεροσόλυμα, ὁ ὁποῖος φτάνοντας ἐκεῖ τὰ πολιόρκησε καὶ μίλησε σ' αὐτοὺς ποὺ ἦταν στὰ τείχη ἀπὸ μέρος ἐκείνου ποὺ τὸν ἔστειλε, ἀλλὰ πρόσθεσε σ' αὐτὰ καὶ τὶς βλασφημίες ἐναντίον τοῦ Θεοῦ, λέγοντας· «Δὲν θὰ σώσει ὁ Θεὸς τὴν Ἱερουσαλὴμ ἀπὸ τὰ χέρια τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων». Στενοχωρήθηκε βέβαια μ' αὐτὰ ὁ βασιλεὺς Ἐζεκίας καὶ προσευχήθηκε στὸν Θεὸ λέγοντας· «Εἰσάκουσέ μας, Κύριε, κοίταξε, Κύριε, καὶ πρόσεξε τοὺς λόγους τοῦ Ραψάκη, τοὺς ὁποίους μᾶς ἔστειλε ὁ βασιλιὰς τῶν Ἀσσυρίων γιὰ νὰ χλευάσει τὸν Θεὸ τὸν ζώντα. Καὶ ὁ Θεὸς ὑποσχέθηκε τὴ σωτηρία τους. Καὶ μάλιστα βγῆκε ἄγγελος Κυρίου καὶ σὲ μιὰ νύχτα σκότωσε ἀπὸ τὸ στρατόπεδο ἑκατὸν ὀγδόντα πέντε χιλιάδες, καὶ ὅταν ἔγινε αὐτὸ ἔπιασε τὸν Ἀσσύριο μεγάλος φόβος. Ὅταν ὅμως ἄκουσε τὴν εἴδηση ὅτι ὁ Σαρσαθά, ὁ βασιλιὰς τῶν Αἰθιόπων, ἐξστρατεύει ἐναντίον τῆς χώρας του μὲ τοὺς ἐντελῶς λίγους ποὺ τοῦ εἶχαν μείνει, ἔφυγε βιαστικά. Αὐτὸ καὶ τώρα μᾶς ἐξηγεῖ μ' αἰνίγματα ὁ προφητικὸς λόγος. Ἔγινε φῶς γιὰ τοὺς Ἰσραηλῖτες ὁ Θεὸς τῶν ὅλων ποὺ ἐγκατέστησε τὸ νόμο μὲ τὴν ἰσχύ του νὰ καταφωτίζει. Ἀλλὰ αὐτὸ τὸ φῶς, λέγει,

φῶς ἔσται τοῖς Ἀσσυρίων στρατεύμασιν, ἀλλ' εἰς πῦρ ὀλοθρεῦον.

Ὅτι δὲ οἰκεῖον αὐτῷ καὶ ἀνατεθειμένον ἡγεῖται λαὸν ὁ τῶν ὅλων Θεὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις διὰ τοῦ πυρὸς τοῦ ἐκκαυθέντος ἐν τοῖς Ἀσσυρίοις διδάξει τοὺς ἁπαντα-χῆ. Καὶ τοῦτό ἐστι τό, «Ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ». Τὸ γὰρ ἁγιάζεσθαι λεγόμενον, οὐχὶ παντὸς ἁγιασμοῦ μετέχον ἔσται, σημαίνει δὲ μᾶλλον καὶ τὸ εἰς δόξαν ἀνατεθειμένον τῷ Θεῷ. Οἷόν τί φησι πρὸς Μωσέα· «Ἁγίασόν μοι πᾶν πρωτότοκον διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ Κυρίῳ». Καὶ τό, «ἁγίασον», ἐν τούτοις, ἀντὶ τοῦ, "ἀνάθες", φησίν. Ἁγιάσει τοίνυν, φησί, τὸν Ἰσραὴλ ὁ τῶν ὅλων Θεός, τοῦτ' ἔστιν, ἀνατεθειμένον αὐτῷ καὶ ἀπόλεκτον ἀποφανεῖ ἐν πυρὶ καιομένῳ· διὰ τοῦ πυρὸς τοῦ ἐκκεκαυμένου κατὰ τῶν Ἀσσυρίων. Πῦρ δέ φησιν ἐν τούτοις τὸν ἀδόκητον ὄλεθρον. Εἰ μὴ γὰρ ἴδιον ἡγεῖτο λαόν, οὐκ ἂν ἐξέκαυσε κατὰ τῶν ἐναντίων τὸ πῦρ, ὃ καὶ δεδαπάνηκε καθάπερ χόρτον ἢ ὕλην τὴν τῶν Ἀσσυρίων πληθύν. «Κατ' ἐκείνην δὴ οὖν τὴν ἡμέραν», φησί, τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ, «ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν». Βουνοῖς καὶ δρυμοῖς καὶ ὄρεσι παρεικάζει καλῶς αὐτήν τε τὴν τῶν Ἀσσυρίων πληθὺν καὶ τοὺς ἡγουμένους αὐτῆς καὶ τῶν ἄλλων ὑπερανέχοντας καθάπερ βουνοὺς ἢ ὄρη. Ἀλλ' οὗτοι μὲν ἀποσβεσθήσονται· τοῦτ' ἔστιν οἱ πάλαι θερμοὶ καὶ δεινοὶ καὶ οὐχ ἑκόντες ἀποψυχθήσονται. Τοῦτο γὰρ τὸ «ἀποσβεσθήσονται», δηλοῖ. Καταφάγεται γὰρ αὐτοὺς ὁ θάνατος, μονονουχὶ καὶ ψυχὰς δαπανῶν καὶ σώματα.

Ὅτι μὲν γὰρ οὐ συνανήρηνται τοῖς σώμασιν αἱ ψυχαὶ παντί τῳ σαφές Ὑπεμφαίνει δὲ διὰ τούτων τὸ τῆς ὀργῆς εὐσθενές Ἀλλ' «ἔσται», φησίν, «ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης, καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν

ποὺ ἔγινε γιὰ τὸν Ἰσραήλ, δὲν θὰ εἶναι φῶς γιὰ τὰ Ἀσσυριακὰ στρατεύματα, ἀλλὰ φωτιὰ ὀλέθρου.

Ὅτι πάλι θεωρεῖ δικό του καὶ σ᾽ αὐτὸν ἀφιερωμένο λαὸ ὁ Θεὸς τῶν ὅλων τοὺς κατοίκους τῶν Ἱεροσολύμων, θὰ τὸ διδάξει σ᾽ ὅλους τοὺς λαοὺς μὲ τὴ φωτιὰ ποὺ ἄναψε στοὺς Ἀσσυρίους. Καὶ αὐτὸ σημαίνει τό, «Θὰ τὸν ἁγιάσει μὲ φωτιὰ φουντωμένη». Γιατὶ τὸ «ἁγιάζεται» λεγόμενο δὲν σημαίνει ὅτι μετέχει σὲ κάθε ἁγιασμό, ἀλλὰ σημαίνει μᾶλλον καὶ τὸ ἀφιερωμένο στὴ δόξα τοῦ Θεοῦ. Κάτι παρόμοιο μ᾽ αὐτὸ λέγει στὸν Μωυσῆ· «Ἀφιέρωσέ μου κάθε πρωτότοκο ποὺ γεννιέται· τὰ ἀρσενικὰ ἀφιέρωσέ τα στὸν Κύριο»[112]. Καὶ τὸ «ἁγίασε» ἐδῶ τὸ λέγει ἀντὶ τοῦ, "ἀφιέρωσε". Θ᾽ ἁγιάσει, λοιπόν, λέγει, τοὺς Ἰσραηλῖτες ὁ Θεὸς τῶν ὅλων, δηλαδὴ θὰ τοὺς ἀναδείξει ἀφιερωμένους σ᾽ αὐτὸν καὶ δοκιμασμένους μὲ φωτιὰ φουντωμένη, μὲ φωτιὰ φουντωμένη ἐναντίον τῶν Ἀσσυρίων. Φωτιὰ ὀνομάζει ἐδῶ τὸν ἀπροσδόκητο ὄλεθρο. Γιατί, ἂν δὲν τὸν θεωροῦσε δικό του λαό, δὲν θ᾽ ἄναβε τὴ φωτιὰ ἐναντίον τῶν ἐχθρῶν του, ἡ ὁποία καὶ κατέφαγε σὰν ξερόχορτα ἢ δένδρα τοῦ δάσους τὰ πλήθη τῶν Ἀσσυρίων. «Ἐκείνη λοιπὸν τὴν ἡμέρα», λέγει, δηλαδὴ ἐκεῖνον τὸν καιρό, «θὰ σβησθοῦν τὰ ὄρη, τὰ βουνὰ καὶ τὰ δάση, καὶ θὰ καταφάγει αὐτὰ ἀπὸ τὴν ψυχὴ ὡς τὴ σάρκα». Μὲ βουνὰ καὶ δάση καὶ ὄρη παροιμοιάζει πολὺ ὀρθὰ τὸ ἴδιο τὸ πλῆθος τῶν Ἀσσυρίων καὶ τοὺς ἡγέτες τους ποὺ ὑπερέχουν ἀπὸ τοὺς ἄλλους σὰν βουνὰ καὶ ὄρη. Ἀλλὰ αὐτοὶ θὰ σβησθοῦν· δηλαδὴ οἱ παλαιοὶ θερμοὶ καὶ φοβεροί, καὶ χωρὶς νὰ τὸ θέλουν θὰ γίνουν ψυχροί. Γιατὶ αὐτὸ σημαίνει τὸ «θὰ σβησθοῦν». Θὰ τοὺς καταφάγει δηλαδὴ ὁ θάνατος, ὁ ὁποῖος κατατρώγει ψυχὲς καὶ σώματα μαζί.

Ὅτι βέβαια δὲν ἐξολοθρεύονται μαζὶ μὲ τὰ σώματα καὶ οἱ ψυχὲς εἶναι φανερὸ στὸν καθένα. Ἁπλῶς ὑποδηλώνει μὲ αὐτὰ τὸ μέγεθος τῆς ὀργῆς του. Ἀλλά, λέγει, «αὐτὸς ποὺ θὰ φεύγει θὰ εἶναι σὰν ἐκεῖνον ποὺ φεύγει ἀπὸ τὶς φλόγες τῆς δυνατῆς φωτιᾶς

112. Ἐξ. 13, 2 καὶ 15

ἔσονται ἀριθμός, καὶ παιδίον γράψει αὐτούς». Ὀλίγοι γὰρ παντελῶς, ὡς ἔφην, ὡσεὶ φλογὸς καιομένης ἀποπηδήσαντες μόλις συναπέδραμον τῷ βασιλεῖ. Τοσούτους δὲ εἶναί φησι τὸν ἀριθμὸν αὐτούς, ὡς μὴ ὑπερκεῖσθαι καὶ τὴν παιδὸς ἔτι νηπίου φρένα, τὸ δύνασθαι γράφειν ἢ ἀπομετρεῖν αὐτούς. Ἔχει γὰρ ἡ Ἑβραίων παράδοσις, ὅτι μόνοι περιελείφθησαν δέκα τὸν ἀριθμόν, οἱ μετὰ Ῥαψάκου τὸ συμβὰν ἀπαγγείλαντες τῷ τῶν Ἀσσυρίων βασιλεῖ. Ταῦτα τῆς ὑπεροψίας τῆς ἐκείνου τὰ ὀψώνια. Χρήσιμος δὲ καὶ εἰς ἡμᾶς ὁ τύπος. Εἰ γὰρ δή βούλοιτό τις ἔξω τε εἶναι τῆς θείας ὀργῆς, καὶ μὴ τοῖς θείοις ἀναλῶναι κακοῖς, παραιτεῖσθαι λίαν τὸ νοσεῖν ἐθέλειν τῆς ἐκείνων δυστροπίας τὰ συγγενῆ τε καὶ ἴσα.

Στίχ. 20-21. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραήλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα».

Ἐκκεκαυμένου τοῦ πυρὸς κατὰ τῆς Ἀσσυρίων στρατιᾶς, δύο ταῦτα κατορθωθήσεται καὶ ὑπάρξει, φησίν· ὁ μὲν γὰρ ἀλαζών τε καὶ ἀλιτήριος καταλήξει καὶ οὐχ ἑκὼν τῆς οὕτω δεινῆς καὶ ἀπηχθημένης ὀφρύος. Οἰχήσεται γὰρ δεδιὼς καὶ ἀδοκήτως κατησχυμμένος. Εἴσεται δι' αὐτοῦ τοῦ πράγματος, καὶ εἰ μὴ βούλοιτο τυχόν, ὅτι τῆς θείας ὀργῆς κατὰ τῶν ἡμαρτηκότων γέγονεν ὄργανον, καὶ οὐκ αὐτός που πάντως ὡς ἐξ ἰδίας ἰσχύος πεπλεονέκτηκεν αὐτούς. Καὶ ταυτὶ μὲν τῷ Βαρβάρῳ συμβήσεται. Τοῖς γε μὴν ἐξ Ἰσραὴλ πρὸς ὠφελείας ἔσται τὸ θαῦμα, καὶ οἱ κατάλοιποι

καὶ ὅσοι ἀπόμειναν ἀπὸ αὐτοὺς θὰ εἶναι τόσοι λίγοι στὸν ἀριθμό, ποὺ θὰ μπορεῖ νὰ τοὺς γράψει κι ἕνα παιδί». Ἐντελῶς λίγοι δηλαδή, ὅπως εἶπα, ποὺ πηδώντας, σὰν ἐκείνους ποὺ τρέχουν ν' ἀποφύγουν τὴ φωτιά, μόλις ξέφυγαν τρέχοντας μαζὶ μὲ τὸν βασιλιά. Τόσοι λίγοι ἦταν στὸν ἀριθμὸ αὐτοί, ὥστε νὰ μὴ ξεπερνᾶ τὴ διανοητικὴ δύναμη ἑνὸς παιδιοῦ ἀκόμα νηπίου, τὸ νὰ μπορέσει νὰ τοὺς γράψει ἢ νὰ τοὺς μετρήσει. Ἡ Ἑβραϊκὴ βέβαια παράδοση λέγει ὅτι ἀπόμειναν μόνο δέκα τὸν ἀριθμό, οἱ ὁποῖοι μαζὶ μὲ τὸν Ραψάκη ἀνέφεραν τὸ συμβὰν στὸν βασιλιὰ τῶν Ἀσσυρίων. Αὐτὴ εἶναι ἡ ἀμοιβὴ τῆς ὑπεροψίας ἐκείνου. Εἶναι ὅμως χρήσιμος καὶ γιὰ μᾶς ὁ συμβολισμός. Γιατί, ἂν θέλει κάποιος νὰ μείνει ἔξω ἀπὸ τὴν ὀργὴ τοῦ θείου καὶ νὰ μὴν ἐξολοθρευθεῖ ἀπὸ τὰ δεινὰ ποὺ στέλνει ὁ Θεός, νὰ ἀποφεύγει πάρα πολὺ τὸ νὰ θέλει νὰ προσβληθεῖ ἀπὸ τὴ νόσο αὐτὴ καὶ νὰ ὑποστεῖ τὰ συγγενῆ καὶ ἴσα τῆς διαστροφῆς ἐκείνων.

Στίχ. 20-21. «Καὶ θὰ συμβεῖ τὴν ἡμέρα ἐκείνη τὸ μέρος τῶν Ἰσραηλιτῶν ποὺ ἀπόμεινε δὲν θὰ στηρίξει τὴν πεποίθησή του σὲ ἄνθρωπο, καὶ ὅσοι σώθηκαν ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἰακὼβ δὲν θὰ στηρίζουν πιὰ τὴν πεποίθησή τους σ' ἐκείνους ποὺ τοὺς ἔβλαψαν, ἀλλὰ θὰ στηρίζουν τὴν πεποίθησή τους στὸν Θεό, τὸν ἀληθινὰ ἅγιο τοῦ Ἰσραήλ, καὶ ὅσοι ἀπὸ τοὺς Ἰσραηλῖτες ἀπέμειναν θὰ ἐπιστρέψουν στὸν παντοδύναμο Θεό».

Ὅταν θὰ ἀνάψει ἡ φωτιὰ ἐναντίον τῆς στρατιᾶς τῶν Ἀσσυρίων, δύο, λέγει, θὰ εἶναι τὰ κατορθώματα ποὺ θὰ ὑπάρξουν· ὁ ἀλαζόνας δηλαδὴ καὶ ἀσεβέστατος θὰ βάλει τέλος, καὶ χωρὶς νὰ τὸ θέλει, στὴν τόσο φοβερὴ καὶ μισητὴ ἀλαζονεία του, γιατὶ θὰ φύγει γεμᾶτος ἀπὸ φόβο καὶ ντροπὴ ἀπρόσμενη. Θὰ μάθει ἀπὸ αὐτὸ τὸ πρᾶγμα, κι ἂν τυχὸν δὲν τὸ θέλει, ὅτι ἔγινε ὄργανο τῆς θείας ὀργῆς ἐναντίον ἐκείνων ποὺ ἁμάρτησαν, καὶ ὅτι δὲν τοὺς νίκησε ὁπωσδήποτε αὐτὸς μὲ τὴν δική του δύναμη. Καὶ αὐτὰ βέβαια θὰ συμβοῦν στὸν Βάρβαρο. Ὅσο γιὰ τοὺς Ἰσραηλῖτες ὅμως τὸ θαῦμα θὰ εἶναι πρὸς ὠφέλειά τους, καὶ ὅσοι ἀπέμειναν ἀπὸ

τῶν ἐν Σαμαρείᾳ, τοῦτ' ἔστι τοῦ Ἰσραήλ, καὶ μέντοι τοῦ Ἰακώβ, τοῦτ' ἔστι πάλιν τῶν δύο φυλῶν τῶν οὐσῶν ἐν τοῖς Ἱεροσολύμοις, τῆς ἀρχαίας ἀποπεπαύσονται πλάνης, καὶ ψυχρῶν καὶ ἀνονήτων ἐννοιῶν. Οὐ γὰρ ἔσονται πεποιθότες ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς. Ἐπειδὴ γὰρ πέπτωκεν ὁ πολέμιος ἀγγέλου χειρὶ δαπανώμενος, ἐγνώκασιν ἀκριβῶς τὴν πάντα ἰσχύουσαν τοῦ σώζοντος δεξιάν, αὐτὸν δὲ ποιήσονται σωτῆρα καὶ λυτρωτήν, καὶ ἐπ' αὐτῷ πᾶσαν ἕξουσι τὴν ἐλπίδα, περιπτύσαντες τοὺς ἠδικηκότας αὐτούς.

Τίνες δὲ οὗτοι καὶ τίνα τρόπον ἠδικήκασιν εἰπεῖν ἀναγκαῖον. Σέσωκε μὲν γὰρ τοὺς ἐξ αἵματος Ἰσραὴλ ὁ τῶν ὅλων Θεός, προεστηκώς τε καὶ προασπίζων καὶ ἀποφαίνων κρείττονας τῶν ἀνθεστηκότων. Ἐπειδὴ δὲ ἐτράποντο πρὸς ἀντίστασιν, καὶ οἱ μὲν δαμάλεις ἐτεκτήναντο χρυσᾶς, οἱ δὲ τὸν Χαμὼς καὶ Βεελφεγὼρ καὶ αὐτοῖς ἀνῆπτον τὸ σέβας, προσκεκυνήκασι δὲ καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, παρεδίδου κατὰ καιροὺς ὁ τῶν ὅλων Θεὸς τοὺς ἀνθεστηκότας ποτὲ μὲν τοῖς κύκλῳ καὶ περιοικοῦσι τὴν Ἰουδαίαν ἔθνεσιν, Ἰδουμαίοις τέ φημι καὶ Μωαβίταις καὶ τοῖς ἐξ Ἐλάμ, ποτὲ δὲ τοῖς μακράν, Ἀσσυρίοις τέ φημι καὶ Αἰγυπτίοις. Πολέμου τοιγαροῦν κατασκήπτοντος καὶ περιηγγελμένου τοῖς ἀνὰ πᾶσαν τὴν χώραν, πῶς οὐκ ἄμεινον τοὺς ἐξ Ἰσραὴλ ἀπολογεῖσθαι λελυπημένῳ τῷ πάντα ἰσχύοντι Θεῷ καὶ ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς ἀποσκευάζεσθαι τὴν ὀργήν; Ἔδει γὰρ ἐκ μέσου τὴν βέβηλον τῶν εἰδώλων ποιεῖσθαι πληθὺν καὶ αὐτὸν ἐπιγράφεσθαι σωτῆρα καὶ λυτρωτήν.

Ἀλλὰ τούτων μὲν ὀλίγος ἦν παντελῶς ὁ λόγος αὐτοῖς Ἐπρέσβευον δὲ ποτὲ μὲν πρὸς Αἰγυπτίους, ποτὲ δὲ πρὸς Ἀσσυρίους, καὶ τὰς παρ' αὐτῶν ἐπικουρίας ἐκάλουν. Ἐντεῦθεν, οἶμαι, Θεός, καὶ ἔτι μειζόνως ἐπ' αὐτοῖς κατεθήγετο. Ἠδικήκασι τοίνυν τόν τε Ἰσραὴλ καὶ τὸν Ἰακώβ, τοῦτο

τοὺς κατοίκους τῆς Σαμάρειας, δηλαδὴ ἀπὸ τοὺς Ἰσραηλῖτες, καὶ βέβαια καὶ ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἰακώβ, δηλαδὴ πάλι ἀπὸ τὶς δύο φυλὲς ποὺ κατοικοῦσαν στὰ Ἱεροσόλυμα, θ' ἀπαλλαγοῦν ἀπὸ τὴν ἀρχαία πλάνη κι ἀπὸ τὶς ψυχρὲς κι ἀνώφελες ἔννοιες. Γιατὶ δὲν θὰ στηρίζουν πιὰ τὴν πεποίθησή τους σὲ ἐκείνους ποὺ τοὺς ἔκαναν κακό. Ὅταν δηλαδὴ ἐξολοθρεύθηκε ὁ ἐχθρὸς ἀφανισμένος ἀπὸ τὸ χέρι ἀγγέλου, τότε γνώρισαν μὲ ἀκρίβεια τὴν παντοδύναμη δεξιὰ ἐκείνου ποὺ σώζει, κι αὐτὸν θὰ κάνουν σωτήρα καὶ λυτρωτή, καὶ σ' αὐτὸν θὰ στηρίξουν ὅλη τὴν ἐλπίδα τους, περιφρονώντας ἐκείνους ποὺ τοὺς ἔβλαψαν.

Εἶναι ὅμως ἀνάγκη νὰ ποῦμε ποιοὶ εἶναι αὐτοὶ καὶ μὲ ποιὸ τρόπο τοὺς ἔβλαψαν. Ἔσωσε δηλαδὴ ὁ Θεὸς τῶν ὅλων τοὺς ἐξ αἵματος Ἰσραηλῖτες, προστατεύοντας καὶ ὑπερασπίζοντάς τους καὶ ἀναδεικνύοντάς τους ἀνώτερους ἀπὸ τοὺς ἀντιπάλους τους. Ὅταν ὅμως θέλησαν ν' ἀντιταχθοῦν σ' αὐτὸν καὶ ἄλλοι ἀπὸ αὐτοὺς κατασκεύασαν χρυσὲς δαμάλες, κι ἄλλοι τὸν Χαμὼς καὶ τὸν Βεελφεγὼρ καὶ ἀπέδιδαν σ' αὐτοὺς τὸ σεβασμό τους, καὶ ἐπιπλέον προσκύνησαν καὶ τὴν (πονηρὴ) στρατιὰ τοῦ οὐρανοῦ, παρέδιδε κατὰ καιροὺς ὁ Θεὸς τῶν ὅλων αὐτοὺς ποὺ ἀντιτάσσονταν, ἄλλοτε στὰ ἔθνη ποὺ κατοικοῦσαν γύρω ἀπὸ τὴν Ἰουδαία ὡς περίοικοι, δηλαδὴ στοὺς Ἰδουμαίους, τοὺς Μωαβίτες καὶ τοὺς Ἐλαμίτες, καὶ ἄλλοτε σὲ μακρινοὺς ἐχθρούς, τοὺς Ἀσσυρίους καὶ τοὺς Αἰγυπτίους. Ὅταν λοιπὸν ἐνέσκηπτε πόλεμος καὶ οἱ ἀγγελία ἔφτανε σὲ ὅλη τὴ χώρα, πῶς δὲν ἦταν καλύτερο οἱ Ἰσραηλῖτες ν' ἀπολογοῦνται στὸν ὀργισμένο παντοδύναμο Θεὸ καὶ μὲ τὴν ἐπιστροφὴ στὸ καλὸ νὰ ἐξαλείφουν τὴν ὀργή; Γιατὶ ἔπρεπε νὰ βγεῖ ἀπὸ τὴ μέση τὸ βέβηλο πλῆθος τῶν εἰδώλων καὶ νά θεωροῦν αὐτὸν σωτήρα καὶ λυτρωτή.

Ἀλλὰ γι' αὐτὰ βέβαια αὐτοὶ φρόντιζαν πάρα πολὺ λίγο. Ἔστελναν πρεσβευτὲς ἄλλοτε στοὺς Αἰγύπτιους κι ἄλλοτε στοὺς Ἀσσυρίους, καὶ ζητοῦσαν ἀπὸ αὐτοὺς βοήθειες. Ἐξαιτίας αὐτοῦ, νομίζω, ὁ Θεὸς ὀργιζόταν ἀκόμα περισσότερο. Ἔβλαψαν λοιπὸν καὶ τὸν Ἰσραὴλ καὶ τὸν Ἰακώβ, ἀπὸ τὴ μιὰ οἱ ψευδώνυμοι θεοί

μὲν οἱ ψευδώνυμοι θεοί, τὴν θείαν ἐπ' αὐτοῖς καλοῦντες ὀργὴν καὶ ἐπ' αὐτοῖς πεποιθέναι παρασκευάζοντες, τοῦτο δὲ οἱ χρήμασί τε καὶ δώροις πωλοῦντες αὐτοῖς τὴν ἀνόνητον ἐπικουρίαν. Δαπανηθείσης τοίνυν, φησί, τῆς τῶν πολεμίων πληθύος ἐν μιᾷ νυκτί, λοιπὸν ἔσονται πεποιθότες ἐπὶ Θεῷ, καὶ διὰ πείρας αὐτῆς ἐγνωκότες τὴν παναλκῆ τοῦ σώσαντος δεξιάν, οὐκ ἐπὶ τοῖς ἀδικήσασιν αὐτοὺς ποιήσον-ται τὴν ἐλπίδα, ἀλλ' ἐπ' αὐτὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. «Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα». Οὐ γὰρ ξύλοις καὶ λίθοις ἔτι θαρσήσουσιν, αὐτὸν δὲ μᾶλλον ποιήσονται τὴν ἰσχύν, ὃς γέγονεν αὐτοῖς ἐπίκουρός τε ἀεί, καὶ προασπιστής, ὅπλον καὶ τεῖχος ἀρραγές.

Στίχ. 22-23. «Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Λόγος γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει ὁ Θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ».

Ὅτι τῶν ἀπειθεῖν ᾠρημένων καὶ πολὺ νενοσηκότων τὸ ἀπηνὲς καὶ δυσάγωγον οὐδεὶς ἂν γένοιτο παρὰ Θεῷ λόγος, σώζει γε μὴν καὶ φειδοῦς ἁπάσης ἀξιοῖ τὸν εὐπειθῆ καὶ εὐήνιον, διὰ τούτων ἡμῖν εὖ μάλα καταδηλοῖ. Ἀφῖκται μὲν γὰρ ὁ Ἀσσύριος κατὰ παντὸς τοῦ Ἰουδαίων ἔθνους, καὶ σκοπὸς ἦν αὐτῷ φείσασθαι μέν οὐδενός, ἄρδην δὲ πᾶσαν ἀποκεῖραι τὴν χώραν, καὶ κένανδρον ἀποφῆναι, καὶ τῶν ἐνοικούντων ἔρημον. Καὶ ὠλόθρευσε μὲν τὴν Σαμάρειαν, συνεξεῖλε δὲ αὐτῇ τῆς Ἰουδαίας οὐκ εὐαριθμήτους πόλεις, σέσωκε δὲ παραδόξως Θεὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις. Τίς οὖν ὁ τοῦδε λόγος; Ναί, φησίν, ἐπειδὴ γὰρ οὐχ ἅπας δεδυσσέβηκεν ὁ Ἰσραήλ, ἀλλ' ἦσαν τάχα πού τινες οἱ καὶ δυσφοροῦντες ἄγαν ἐπὶ τοῖς δυσσεβοῦσιν εἰς Θεόν,

προκαλώντας σ' αὐτοὺς τὴ θεία ὀργὴ καὶ προετοιμάζοντάς τους νὰ πιστέψουν σ' αὐτούς, κι ἀπὸ τὴν ἄλλη πουλώντας σ' αὐτοὺς τὴν ἀνώφελη βοήθεια μὲ χρήματα καὶ δῶρα. Ἀφοῦ λοιπὸν ἐξολοθρεύθηκε μέσα σὲ μιὰ νύχτα τὸ πλῆθος τῶν ἐχθρῶν, στὸ ἑξῆς θὰ στηρίζουν τὴν πεποίθησή τους στὸν Θεό, καὶ ἔχοντας μάθει κι ἀπὸ τὴν πεῖρα τὴν ἴδια τὴν παντοδύναμη δεξιὰ ἐκείνου ποὺ τοὺς ἔσωσε, δὲν θὰ στηρίζουν τὴν ἐλπίδα τους σὲ ἐκείνους ποὺ τοὺς ἔβλαψαν, ἀλλὰ στὸν ἀληθινὰ ἅγιο τοῦ Ἰσραήλ. «Καὶ ὅσοι ἀπέμειναν ἀπὸ τὸν Ἰακὼβ θὰ ἐπιστρέψουν στὸν παντοδύναμο Θεὸ τοῦ Ἰακώβ». Γιατὶ δὲν θὰ στηρίζουν πιὰ τὴν πεποίθησή τους στὰ ξύλα καὶ τοὺς λίθους, ἀλλὰ αὐτὸν μᾶλλον θὰ κάνουν δύναμή τους, ὁ ὁποῖος ἔγινε γι' αὐτοὺς πάντοτε βοηθὸς καὶ ὑπερασπιστής, ὅπλο καὶ τεῖχος ἀρράγιστο.

Στίχ. 22-23. «Κι ἂν ὁ λαὸς τοῦ Ἰσραὴλ γίνει σὰν τὴν ἄμμο τῆς θάλασσας, ὅμως ἕνα μικρὸ ὑπόλειμμα ἀπὸ αὐτοὺς θὰ σωθεῖ. Θὰ πραγματοποιήσει τὸ λόγο του ὁ Κύριος, τιμωρώντας τὸ κακὸ μὲ δικαιοσύνη, γιατὶ τὸν λόγο του περὶ τιμωρίας θὰ τὸν πραγματοποιήσει ὁ Θεὸς σ' ὅλη τὴν οἰκουμένη».

Ὅτι γι' αὐτοὺς ποὺ θέλησαν νὰ δείχνουν ὑπακοὴ καὶ πάσχουν πάρα πολὺ ἀπὸ τὸ πάθος τῆς σκληρότητας καὶ τῆς ἀνυπακοῆς δὲν θὰ μποροῦσε νὰ γίνει κανένας λόγος ἀπὸ τὸν Θεό, ἐνῶ σώζει καὶ κρίνει ἄξιο πολλῆς προσοχῆς τὸν ὑπάκουο καὶ εὐπειθῆ, μᾶς τὸ δηλώνει ἄριστα μὲ αὐτά. Ἔφτασε δηλαδὴ ὁ Ἀσσύριος ἐναντίον ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, καὶ σκοπός του ἦταν νὰ μὴ σπλαχνισθεῖ κανέναν, ἀλλὰ νὰ θερίσει ἀπὸ τὴ ρίζα ὅλη τὴ χώρα καὶ νὰ τὴ δείξει κενὴ ἀπὸ ἀνθρώπους καὶ ἔρημη ἀπὸ τοὺς κατοίκους της. Καὶ ἐξολόθρευσε βέβαια τὴ Σαμάρεια καὶ μαζί της κυρίευσε ἀρκετὲς πόλεις τῆς Ἰουδαίας, ἔσωσε ὅμως ὁ Θεὸς κατὰ παράδοξο τρόπο τοὺς κατοίκους τῶν Ἱεροσολύμων. Ποιὸς εἶναι ὁ λόγος ποὺ συνέβη αὐτό; Ναί, λέγει, ἐπειδὴ δὲν ἔδειξε ἀσέβεια ὅλος ὁ Ἰσραηλιτικὸς λαός, ἀλλ' ἴσως ὑπῆρχαν κάποιοι ποὺ ἀγανακτοῦσαν πολὺ γιὰ ὅσους ἔδειχναν ἀσέβεια στὸν Θεό,

ταύτῃτοι γέγονεν ὁσία τε καὶ δικαιοτάτη ψῆφος, κατὰ μόνων ἄγουσα τὴν δίκην τῶν ἡμαρτηκότων.

Ὅτι δέ ἐστιν ἀληθὴς ὁ λόγος ἀπονητὶ καταθρήσομεν καὶ ὡς ἀπό γε τῶν γεγραμμένων ἐν τῷ προφήτῃ Ἰεζεκιήλ. Ἔφη μὲν γάρ τε θεᾶσθαι τινὰς τῶν ἐξ Ἰσραὴλ προσκυνοῦντας τῷ ἡλίῳ, Θεοῦ δὲ λέγοντος ἀκοῦσαι περὶ αὐτῶν· «Ἑώρακας, υἱὲ ἀνθρώπου, μὴ μικρὸν τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιεῖν τὰς ἀνομίας, ἃς πεποιήκασιν ὧδε; διότι ἔπλησαν τὴν γῆν ἀνομίας, καὶ ἐπέστρεψαν τοῦ παροργίσαι με». Εἶτά φησιν ἄνδρα τεθεᾶσθαι ποδήρη τε ἔχοντα καὶ διεζωσμένον, καὶ πρὸς αὐτὸν εἰπεῖν τὸν τῶν ὅλων Θεόν· «Δίελθε μέσην τὴν Ἱερουσαλήμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων, καὶ τῶν κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις, ταῖς γινομέναις ἐν μέσῳ αὐτῆς. Καὶ τούτοις εἶπεν ἀκούοντός μου· Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ καὶ κόπτετε, καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν καὶ μὴ ἐλεήσητε· πρεσβύτερον καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. Ἐπὶ δὲ πάντας ἐφ' οὕς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε».

Ἄθρει δὴ οὖν ὅπως κατασφραγίζει Θεὸς τῇ παρ' ἑαυτοῦ χάριτι τὸν εὐσεβῆ τε καὶ γνήσιον, καὶ ἐφ' οἷς ἂν ἕτεροι προσκρούειν ἀποτολμῶσιν αὐτῷ, χαλεπαίνοντά τε καὶ κατοιμώζοντα. Οὐκοῦν κἂν εἰ... τῶν ἐξ Ἰσραὴλ ὑπάρχοι πληθὺς καὶ ψάμμοις παρεικάζοιτο ταῖς ἐν ἠιόσι κειμέναις, τὸ κατάλειμμα σωθήσεται. Καὶ συμβέβηκε μὲν τοῦτο κατὰ τοὺς Ἐζεχίου καιρούς. Διόλωλε γάρ, ὡς ἔφην, ἡ Σαμάρεια, καὶ πλεῖσται τῆς Ἰουδαίας συνεξήρηνται πόλεις. Πέπρακται δὲ τοῦτο καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ἐπιλάμψαντος ἡμῖν τοῦ Μονογενοῦς μετὰ σαρκός. Τότε γάρ, τότε καὶ λόγον συντέμνων ἐν δικαιοσύνῃ πεποίηκεν ὁ Θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ. Ὁ μὲν γὰρ νόμος ὁ διὰ Μωσέως διὰ κύ-

γι' αὐτὸ ἔγινε ἁγία καὶ δικαιότατη ἡ ἀπόφαση, καὶ ἐπέβαλε ποινὴ μόνο σὲ ἐκείνους ποὺ εἶχαν ἁμαρτήσει.

Ὅτι πάλι ὁ λόγος εἶναι ἀληθὴς εὔκολα θὰ τὸ διαπιστώσομε κι ἀπὸ ὅσα γράφει ὁ προφήτης Ἰεζεκιήλ. Γιατὶ εἶπε ὅτι εἶδε κάποιους Ἰσραηλῖτες νὰ προσκυνοῦν τὸν ἥλιο καὶ ὅτι ἄκουσε τὸν Θεὸ νὰ λέγει γι' αὐτούς· «Εἶδες, υἱὲ τοῦ ἀνθρώπου, μήπως εἶναι μικρὸ γιὰ τοὺς Ἰσραηλῖτες νὰ διαπράττουν αὐτὲς τὶς παρανομίες τὶς ὁποῖες ἔχουν διαπράξει ἐδῶ; Γιατὶ ἔχουν γεμίσει τὴ γῆ ἀπὸ παρανομίες, καὶ ἐπέστρεψαν γιὰ νὰ μὲ ἐξοργίσουν»[113]. Ἔπειτα λέγει ὅτι εἶδε ἄνθρωπο με ποδήρη χιτώνα καὶ ζωσμένο στὴ μέση, στὸν ὁποῖο εἶπε ὁ Θεὸς τῶν ὅλων· «Πέρασε μέσα ἀπὸ τὴν Ἱερουσαλὴμ καὶ βάλε τὸ σημεῖο στὰ μέτωπα τῶν ἀνδρῶν ποὺ καταστενάζουν καὶ ποὺ νοιώθουν φοβεροὺς πόνους ἐξαιτίας ὅλων τῶν παρανομιῶν ποὺ γίνονται μέσα σ' αὐτήν. Καὶ σ' αὐτοὺς εἶπε ἐνῶ ἐγὼ ἄκουα· Πηγαίνετε στὴν πόλη ἀκολουθώντας αὐτὸν καὶ σκοτώνετε καὶ μὴ λυπηθεῖτε οὔτε νὰ νοιώσετε εὐσπλαγχνία γι' αὐτὸ ποὺ θὰ δοῦν τὰ μάτια σας. Φονεύετε ἡλικιωμένο καὶ νεαρὸ καὶ παρθένο καὶ νήπια καὶ γυναῖκες ὥστε νὰ ἐξαλειφθοῦν. Ὅλοι ὅμως ὅσοι ἔχουν τὸ σημεῖο, αὐτοὺς μὴν τοὺς ἀγγίξετε»[114].

Πρόσεχε λοιπὸν πῶς ὁ Θεὸς κατασφραγίζει μὲ τὴ χάρη του τὸν εὐσεβῆ καὶ τὸ γνήσιο, καὶ σὲ ἐκείνους ποὺ ἀποτολμοῦν νὰ προσκρούσουν στὸ θέλημά του δυσανασχετεῖ καὶ παραδίδει αὐτοὺς σὲ θρήνους. Ἄρα λοιπὸν ἔστω κι ἂν ὑπάρχει πλῆθος Ἰσραηλιτῶν καὶ εἶναι ὅμοιο μὲ τὴν ἄμμο τὴν ἁπλωμένη στὴν παραλία, τὸ ὑπόλειμμα θὰ σωθεῖ. Κι αὐτὸ βέβαια συνέβη στοὺς χρόνους τοῦ Ἐζεκία. Καταστράφηκε ἡ Σαμάρεια, ὅπως εἶπα, καὶ μαζὶ ἐξε λοθρεύθηκαν πάρα πολλὲς πόλεις τῆς Ἰουδαίας. Ἐπίσης αὐτ πραγματοποιήθηκε καὶ στοὺς ἔσχατους καιροὺς τῶν αἰώνω ὅταν ἔλαμψε σ' ἐμᾶς ὁ Μονογενὴς μὲ σάρκα. Γιατὶ τότε, τότ ἀκριβῶς, ὁ Θεὸς ἔκανε μὲ δικαιοσύνη συντομότερο τὸ λόγο του σὲ ὅλη τὴν οἰκουμένη. Γιατὶ ὁ νόμος τοῦ Μωυσῆ ἔρχεται μέσω μα-

113. Ἰεζ. 8, 17.

114. Ἰεζ. 9, 4-6.

κλων ἔρχεται μακρῶν, καὶ περισκελῆ ποιεῖται τοῦ χρησίμου τὴν δήλωσιν, δι' αἰνίγματος καὶ σκιᾶς ὑποφαίνων μόλις τὸ τελοῦν εἰς ὄνησιν. Ὁ δέ γε σωτήριός τε καὶ εὐαγγελικὸς ἡμῖν λόγος βραχύς τέ ἐστιν καὶ οἷον συντετμημένος, ἤτοι σύντομος, γυμνὴν ἔχων τὴν ἀλήθειαν, καὶ τῆς ζωῆς τὴν ὁδὸν ἐναργῆ καθιστάς, οὐ δυσχερίας ἐνούσης, οὐκ ἀσαφείας τινὸς τοῖς κηρύγμασιν ἐπενηνεγμένης Ἁπλοῦν γάρ, ὡς ἔφην, τῆς ἀληθείας τὸ χρῆμα. Σέσωσται δὲ καὶ τότε τὸ κατάλειμμα τοῦ Ἰσραήλ, τοῦτ' ἔστιν, οἱ πίστει τιμήσαντες τὴν ἐπιφάνειαν αὐτοῦ, τῆς ἑτέρας πληθύος παθούσης τὴν ἀποστροφήν. Πεπαρῳνήκασι γὰρ εἰς τὸν τῶν ὅλων Σωτῆρα καὶ Κύριον, προαπεκτονότες προφήτας καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους· καὶ τί γὰρ οὐχὶ τῶν ἐκτόπων ἐπιτηδεύσαντες;

Στίχ. 24-25. «Διὰ τοῦτο τάδε λέγει Κύριος Σαβαώθ· Μὴ φοβοῦ, λαός μου, οἱ κατοικοῦντες ἐν Σιών, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε. Πληγὴν γὰρ ἐγὼ ἐπάγω ἐπὶ σὲ τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου. Ἔτι γὰρ μικρόν, καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν».

Ἐπειδὴ γὰρ ὁσίᾳ ψήφῳ καὶ τῇ αὐτῷ πρεπούσῃ κεχρημένος ἡμερότητι, σώζει μὲν τοὺς γνησίους, παραδίδωσι δὲ τοὺς λελυπηκότας αὐτὸν ὁ τῶν ὅλων Θεός, «Μὴ φοβοῦ», φησίν, «ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιών, ἀπὸ Ἀσσυρίων». Ἀφίκετο μὲν γὰρ ὁ Ῥαψάκης εἰς Ἱερουσαλὴμ καὶ πεπολιόρκηκεν αὐτήν, ἠπείλησε δὲ κατεμπρήσειν καὶ ὀλοθρεύσειν ἅπαντας, ἠδίκησε δὲ παντελῶς οὐδέν. Ἄρχετο γὰρ φυγάς, πεσούσης αὐτῷ παρ' ἐλπίδα τῆς στρατιᾶς καὶ ἀπολομένης ἐν μιᾷ νυκτί. Οὐκοῦν ὠλόθρευσε μὲν μαχαίρᾳ τοὺς ἐν Σιών. Ἐπειδὴ δὲ ἅπαξ κατεπτόησε ταῖς ἐφόδοις

κρῶν κύκλων καὶ κάνει δυσκολονόητη τὴ δήλωση τοῦ χρησίμου, παρουσιάζοντας μόλις μὲ δυσκολία μὲ αἴνιγμα καὶ σκιὰ αὐτὸ ποὺ συντελεῖ στὴν ὠφέλεια. Ὁ σωτήριος ὅμως καὶ εὐαγγελικὸς λόγος εἶναι βραχὺς καὶ κατὰ κάποιο τρόπο συντετμημένος, δηλαδὴ σύντομος, περιέχοντας γυμνὴ τὴν ἀλήθεια, καὶ καθιστώντας ἐντελῶς εὐδιάκριτη τὴν ὁδὸ τῆς ζωῆς, δὲν ὑπάρχει δυσχέρεια οὔτε κάποια ἀσάφεια στὰ προβαλλόμενα ἀπὸ τὰ κηρύγματα. Γιατὶ ἡ ἀλήθεια, ὅπως εἶπα, εἶναι πρᾶγμα ἁπλό. Σώθηκε βέβαια καὶ τότε τὸ ὑπόλειμμα τοῦ Ἰσραήλ, δηλαδὴ ἐκεῖνοι ποὺ τίμησαν μὲ τὴν πίστη τους τὴν παρουσία του, ἐνῶ τὸ ἄλλο πλῆθος δέχθηκε τὴν ἀποστροφὴ ἐκ μέρους τοῦ Θεοῦ. Γιατὶ φέρθηκαν μὲ παραφροσύνη πρὸς τὸν Σωτήρα καὶ Κύριο, ἀφοῦ προηγουμένως σκότωσαν τοὺς προφῆτες καὶ λιθοβόλησαν τοὺς ἀπεσταλμένους του. Καὶ ποιὸ βέβαια ἀπὸ τὰ παράλογα δὲν τὸ ἔπραξαν;

> Στίχ. 24-25. «Γι' αὐτὸ λέγει τὰ ἑξῆς ὁ Κύριος τῶν δυνάμεων· Μὴ φοβᾶσαι, σὺ ὁ λαός μου, σεῖς ποὺ κατοικεῖτε στὴ Σιών, ἀπὸ τοὺς Ἀσσυρίους, ὅτι θὰ σοῦ καταφέρουν χτυπήματα μὲ τὴ ράβδο τους. Γιατὶ τὸ χτύπημα σ' ἐσένα τὸ κάμνω ἐγώ, γιὰ νὰ φέρεις στὸ νοῦ σου τὸ δρόμο τῆς προσφυγῆς σου στὴν Αἴγυπτο. Γιατὶ λίγο ἀκόμα καὶ ἡ ὀργή μου θὰ κοπάσει, ἐνῶ ὁ θυμός μου θὰ στραφεῖ πρὸς τὶς ἀποφάσεις τῶν Ἀσσυρίων».

Ἐπειδὴ δηλαδὴ μὲ δίκαια ἀπόφασή του καὶ χρησιμοποιώντας τὴν πρέπουσα σ' αὐτὸν ἡμερότητα σώζει τοὺς γνήσιους, παραδίδει ὅμως στὰ δεινὰ ὁ Θεὸς τῶν ὅλων αὐτοὺς ποὺ τὸν ἐξόργισαν, «Μὴ φοβᾶσαι», λέγει, «ἐσὺ ὁ λαός μου, σεῖς ποὺ κατοικεῖτε στὴ Σιών, ἀπὸ τοὺς Ἀσσυρίους». Ἔφτασε δηλαδὴ ὁ Ραψάκης στὴν Ἱερουσαλὴμ καὶ τὴν πολιόρκησε καὶ ἀπείλησε ὅτι θὰ βάλει φωτιὰ καὶ θὰ ἐξολοθρεύσει τοὺς πάντες., δὲν τοὺς ἔβλαψε ὅμως ἀπολύτως καθόλου. Γιατὶ ἔφυγε βιαστικά, ἐπειδὴ καταστράφηκε παρ' ἐλπίδα ἡ στρατιά του καὶ χάθηκε σὲ μιὰ νύχτα. Ἐξολόθρευσε λοιπὸν μὲ τὴ μάχαιρα τὴν Σιών, ἐπειδὴ ὅμως μιὰ φορὰ τοὺς κατατρόμαξε μὲ τὶς ἐπιθέσεις τοῦ ἐχθροῦ καὶ

καὶ ἐν φόβῳ τοῦ παθεῖν γενέσθαι παρεσκεύασε, μονονουχὶ ῥάβδον ἀνατείνας ἐπ' αὐτοὺς ὁρᾶται μόνην. Μὴ τοίνυν, φησί, καταδείσῃς ἀπὸ τῶν Ἀσσυρίων, ῥάβδῳ γάρ σε πατάξει καὶ βραχεῖαν ὥσπερ ἐποίσει τὴν πληγήν, τὴν ὡς ἀπό γε τοῦ δείματος, ἐφιέντος ἐμοῦ καὶ τοῦτο πράττεσθαι κατὰ σοῦ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου, τοῦτ' ἔστιν ἵνα μάθῃς, ὅσον σαυτὸν ἠδίκησας, ἀπελθὼν εἰς Αἴγυπτον καὶ τὴν ἐκεῖθεν ζητήσας ἐπικουρίαν, παρεωραμένου Θεοῦ σώζοντος.

Ἐξεχίας μὲν οὖν, οὗ καὶ βασιλεύοντος πεπολιόρκηκε τὴν Ἱερουσαλὴμ ὁ Ἀσσύριος, οὐκ ἐζήτησε τὴν τῶν Αἰγυπτίων ἐπικουρίαν, Ὡσηὲ δὲ μᾶλλον τοῦ Ἠλὰ βασιλεύων ἐπὶ τὸν Ἰσραὴλ τοῦτο πεπραχὼς εὑρίσκεται. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· «Καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαβίδ. Καὶ ἐβασίλευσεν Ἐξεχίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ». «Ἐν ἔτει δωδεκάτῳ Ἄχαζ βασιλέως Ἰούδα, ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη. Καὶ ἐποίησε πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραήλ, οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ». Ἐπ' αὐτὸν ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ δοῦλος, καὶ ἐπέστρεψεν αὐτῷ Μαναά. Καὶ εὗρε βασιλεὺς Ἀσσυρίων ἐν τῷ Ὡσηὲ ἀδικίαν, ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς Σηγὼρ βασιλέα Αἰγύπτου, καὶ οὐκ ἤνεγκε Μαναὰ τῷ βασιλεῖ Ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. Καὶ ἐπολιόρκησεν αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἔδησεν αὐτὸν ἐν οἴκῳ φυλακῆς, καὶ ἀνέβη εἰς Σαμάρειαν, καὶ ἐπολιόρκησεν αὐτὴν τρία ἔτη». Ἰστέον δὲ ὅτι καὶ Ἄχαζ, ὁ Ἐξεχίου πατήρ, πολεμοῦντος αὐτῷ τοῦ Δαμασκηνῶν βασιλέως, ἐξεπρίατο τὴν ἐπικουρίαν τὴν παρά γε τῶν Ἀσσυρίων, ἐφ' ᾧ καὶ σφόδρα λελύπηται Θεός. Ἐπάγω τοίνυν, φησίν, ἐπὶ σὲ πληγήν, τοῦ

115. Δ' Βασ. 16, 20.

τοὺς ἔκανε νὰ φοβηθοῦν μὴ τυχὸν δεχθοῦν νέο χτύπημα, φαίνεται κατὰ κάποιο τρόπο νὰ σηκώνει μόνο τὴ ράβδο του ἐναντίον τους. Μὴ φοβηθεῖς λοιπόν, λέγει ἀπὸ τοὺς Ἀσσυρίους· γιατὶ θὰ σὲ χτυπήσει μὲ τὴ ράβδο του καὶ θὰ σοῦ καταφέρει μικρὸ κάπως χτύπημα, τὸ προερχόμενο ἀπὸ τὸ φόβο, ἐπιτρέποντας ἐγὼ νὰ γίνει κι αὐτὸ εἰς βάρος σου, «γιὰ νὰ δεῖς τὴν ὁδὸ τῆς Αἰγύπτου», δηλαδὴ γιὰ νὰ μάθεις πόσο ἔβλαψες τὸ ἑαυτό σου, προσφεύγοντας στὴν Αἴγυπτο καὶ ζητώντας τὴν ἀπὸ ἐκεῖ βοήθεια, καὶ περιφρονώντας τὸν Θεὸ ποὺ σώζει.

Ὁ Ἐζεκίας λοιπόν, κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ ὁπίου πολιόρκησε τὴν Ἱερουσαλὴμ ὁ Ἀσσύριος, δὲν ζήτησε τὴ βοήθεια τῶν Αἰγυπτίων, ἀλλὰ μᾶλλον βρίσκεται νὰ τὸ ἔχει κάνει αὐτὸ ὁ Ὡσηέ, ὁ υἱὸς τοῦ Ἠλά, ὅταν βασίλευε στὸν Ἰσραήλ. Ἔχει γραφεῖ τὸ ἑξῆς στὴν Δ΄ Βασιλειῶν· «Καὶ ὁ Ἄχαζ πέθανε μαζὶ μὲ τοὺς πατέρες του καὶ θάφτηκε στὴν πόλη τοῦ Δαβίδ, καὶ στὴ θέση του βασιλιὰς ἔγινε ὁ υἱός του Ἐζεκίας»[115]. Τὸ δωδέκατο ἔτος τοῦ Ἄχαζ, τοῦ βασιλιᾶ τοῦ Ἰούδα, βασίλευσε στὴ Σαμάρεια στοὺς Ἰσραηλίτες ὁ Ὡσηέ, ὁ υἱὸς τοῦ Ἠλά, ἐννέα χρόνια. Ἔπραξε ὅμως κακὰ πράγματα μπροστὰ στὰ μάτια τοῦ Κυρίου, ἀλλ᾽ ὄχι ὅπως οἱ βασιλεῖς τοῦ Ἰσραήλ, ποὺ βασίλευσαν πρὶν ἀπὸ αὐτόν. Ἐναντίον του ἐξεστράτευσε ὁ Σαλμανασάρ, ὁ βασιλιὰς τῶν Ἀσσυρίων, ποὺ ὑποδούλωσε τὸν Ὡσηὲ καὶ τοῦ ἐπέβαλε νὰ τοῦ πληρώσει φόρο. Ὁ βασιλιὰς τῶν Ἀσσυρίων βρῆκε ὅτι ὁ Ὡσηὲ εἶχε διαπράξει ἀδικία, γιατὶ ἔστειλε ἀγγελιοφόρους στὸν βασιλέα τῆς Αἰγύπτου Σηγὼρ καὶ ὅτι δὲν ἔφερε τὸν φόρο στὸν βασιλιὰ τῶν Ἀσσυρίων ἐκεῖνο τὸ χρόνο. Ὁ βασιλιὰς τῶν Ἀσσυρίων τὸν πολιόρκησε τότε καὶ τὸν φυλάκισε στὸ κτήριο τῆς φρουρᾶς· ἐξεστράτευσε μετὰ στὴ Σαμάρεια καὶ τὴν πολιόρκησε τρία χρόνια»[116]. Πρέπει ὅμως νὰ γνωρίζομε, ὅτι καὶ ὁ Ἄχαζ, ὁ πατέρας τοῦ Ἐζεκία, ὅταν τὸν πολεμοῦσε ὁ βασιλιὰς τῆς Δαμασκοῦ, ἀγόρασε τὴ βοήθεια ἀπὸ τοὺς Ἀσσυρίους, πρᾶγμα γιὰ τὸ ὁποῖο ὀργίσθηκε ὁ Θεὸς ὑπερβολικά. Σοῦ καταφέρω λοιπόν,

116. Δ΄ Βασ. 17, 1-5.

ἰδεῖν ὁδὸν Αἰγύπτου· πλὴν ἔτι μικρόν, καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. Διολώλασι γάρ, ὡς ἔφην, ὑπὸ θείας ὀργῆς. Βουλευσάμενοι δὲ καὶ αὐτὴν χειρώσασθαι τὴν Ἱερουσαλήμ, διημαρτήκασι τοῦ σκοποῦ, καὶ γέγονεν αὐτοῖς ἄπρακτος ἡ σκέψις, Θεοῦ μεταθέντος εἰς πᾶν τοὐναντίον τῶν προσδοκηθέντων τὸ πέρας

Στίχ. 26. «Καὶ ἐπεγερεῖ ὁ Θεὸς ἐπ' αὐτοὺς κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως, καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον».

Πεσοῦνται, φησίν, ὀργῆς ἐπ' αὐτοῖς ἐπενηνεγμένης τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ, καὶ οὐδενὸς παντελῶς δεήσει πόνου τοῖς ἐξ Ἰσραήλ. Περιέσονται γὰρ οὐ τόξων βολαῖς, οὐκ εὐσθενείᾳ χειρῶν, οὐ πολεμικαῖς ἐμπειρίαις χρώμενοι, κρατήσουσι δὲ μᾶλλον διὰ χειρὸς Θεοῦ, πληττούσης τε καὶ δαπανώσης τὸν ἀλαζόνα λαόν, καθάπερ ἀμέλει συνέβη παθεῖν καὶ Μαδιηναίους. Οἱ μὲν γὰρ κατὰ πληθὺν καὶ κατὰ γένος συνειλεγμένοι κατεληίζοντο μὲν μικροῦ δεῖν ἅπασαν τὴν τῶν Ἰουδαίων χώραν, καὶ ἀφόρητον αὐτοῖς ἐμποιοῦντες τὸ δεῖμα, πόλεων μὲν καὶ κωμῶν ἀπανίστασθαι καὶ οὐχ ἑκόντας ἠνάγκαζον, ἐναυλίζεσθαι δὲ μόλις, καὶ τοῦτο περιδεῶς ταῖς τῶν ὀρῶν κορυφαῖς. Ἀλλ' ἐπήμυνε καὶ τότε Θεός, καὶ σέσωκε κεκινδυνευκότας διὰ χειρὸς Γεδεὼν κομιδῇ βραχεῖς ἔχοντας τοὺς συνασπιστάς, οἳ καὶ τὰς τῶν ἐναντίων τεθορυβήκασι φάλαγγας, ἐν νυκτὶ καὶ σκότῳ τὰς ὑδρίας συνθραύσαντες, καὶ δᾷδας ἐπιδειξάμενοι καὶ σαλπίσαντες ταῖς κερατίναις, ὥστε καί τι τοιοῦτον συνέβη παθεῖν τοῖς ἐκ Μαδιάμ. Ἐπειδὴ γὰρ συνεχύθη τὰ τάγματα, καταπτοοῦντος Θεοῦ, διακρίνειν οὐκ ἔχοντες ὡς ἐν σκότῳ καὶ νυκτί, τίς ὁ φίλος ἢ συγγενής, ἢ τίς ὁ πολέμιος, συνε-

λέγει, χτύπημα, «γιὰ νὰ δεῖς τὸ δρόμο τῆς Αἰγύπτου. Αὐτὸ γιὰ λίγο ἀκόμα καὶ θὰ παύσει ἡ ὀργή μου καὶ ὁ θυμός μου θὰ στραφεῖ ἐναντίον τῶν ἀποφάσεων αὐτῶν». Πράγματι ἐξολοθρεύθηκαν, ὅπως εἶπα, ἀπὸ τὴ θεία ὀργή. Θέλησαν δηλαδὴ νὰ κυριεύσουν καὶ τὴν ἴδια τὴν Ἱερουσαλήμ, ἀλλὰ ἀπέτυχαν στὸ σκοπό τους κι ἔμεινε τὸ σχέδιο ἀνεκτέλεστο, γιατὶ ὁ Θεὸς μετέβαλε τὸ τέλος στὸ ἐντελῶς ἀντίθετο ἀπὸ τὶς προσδοκίες τους.

Στίχ. 26. «Καὶ θὰ καταφέρει ὁ Θεὸς ἐναντίον τους χτύπημα σὰν τὸ χτύπημα ἐναντίον τῆς Μαδιὰμ στὸν τόπο τῆς καταστροφῆς της, καὶ ὁ θυμός του θὰ εἶναι ὅπως τότε στὸ δρόμο πρὸς τὴν (Ἐρυθρὰ) θάλασσα κατὰ τὴν ἀναχώρησή τους ἀπὸ τὴν Αἴγυπτο».

Θὰ πέσουν, λέγει, κάτω ὅταν καταφερθεῖ ἐναντίον τους ἀπὸ ἄνω ἡ ὀργὴ ἐκ μέρους τοῦ Θεοῦ, καὶ δὲν θὰ χρειασθεῖ καθόλου κόπος ἀπὸ τοὺς Ἰσραηλῖτες. Γιατὶ θὰ νικήσουν ὄχι μὲ βολὲς τόξων, ὄχι μὲ τὴ δύναμη τῶν χεριῶν τους, ὄχι χρησιμοποιώντας πολεμικὴ ἐμπειρία, ἀλλὰ θὰ ὑπερισχύσουν μᾶλλον μὲ τὸ χέρι τοῦ Θεοῦ ποὺ χτυπᾶ καὶ ἐξολοθρεύει τὸν ὑπερόπτη λαό, ὅπως ἀκριβῶς βέβαια συνέβη νὰ πάθουν καὶ οἱ Μαδιανῖτες. Γιατὶ αὐτοὶ συγκεντρωμένοι σὲ πυκνὲς ὁμάδες καὶ κατὰ φυλὲς καταλήστευαν ὅλη σχεδὸν τὴν Ἰουδαϊκὴ χώρα καὶ δημιουργώντας τους ἀνυπόφορο φόβο, τοὺς ἀνάγκαζαν νὰ ξεσηκώνονται καὶ χωρὶς νὰ θέλουν ἀπὸ τὶς πόλεις καὶ τὰ χωριά τους καὶ νὰ μένουν δύσκολα, καὶ αὐτὸ μὲ πολὺ φόβο, στὶς κορυφὲς τῶν βουνῶν. Ἀλλὰ τοὺς ὑπερασπίσθηκε καὶ τότε ὁ Θεὸς καὶ τοὺς ἔσωσε ἀπὸ τὸν κίνδυνο μὲ τὴ δύναμη τοῦ Γεδεὼν μὲ πάρα πολὺ λίγους πολεμιστές, οἱ ὁποῖοι καὶ προκάλεσαν ταραχὴ στοὺς ἐχθρούς, σπάζοντας μέσα στὴ νύχτα καὶ τὸ σκοτάδι τὶς στάμνες, προβάλλοντας τὶς δάδες τους καὶ σαλπίζοντας μὲ τὶς κεράτινες σάλπιγγες, ὥστε νὰ συμβεῖ νὰ πάθουν κάτι παρόμοιο οἱ Μαδιανῖτες. Ἐπειδὴ δηλαδὴ ἔπαθαν σύγχυση τὰ τάγματα προκαλώντας τα τρόμο ὁ Θεός, καὶ δὲν μποροῦσαν μέσα στὸ σκοτάδι καὶ τὴ νύχτα νὰ διακρίνουν ποιὸς ἦταν

πλέκοντο μὲν ἀλλήλοις, ἔδρων δὲ τὰ τῶν ἐχθρῶν, καὶ ταῖς ἀλλήλων χερσὶν οἰκτρῶς διολώλασιν. Ἐπενεχθήσεται τοίνυν, φησίν, κατὰ τὴν πληγὴν τὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως. Τόπον δὲ θλίψεως, ἤτοι καιρόν, ὀνομάζει τὸν ἐν ᾧ ταυτὶ γενέσθαι συμβέβηκεν.

Ὅτι δὲ μονονουχὶ καὶ ἀποπλανήσει Θεὸς τὸν τοῦ βαρβάρου θυμὸν καὶ ἐφ' ἑτέρους αὐτὸν παρατρέψει, καταμηνύει λέγων· «Καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον». Ὁ μὲν γὰρ τῶν Ἀσσυρίων βασιλεὺς Θεγλαφαλασάρ, οὗτος ἦν ἑλὼν κατὰ κράτος τὴν Σαμάρειαν, δασμοὺς ἐπέθηκε τοῖς οἰκοῦσιν αὐτήν, τέλη τε καὶ φόρους ἐξήτει τοὺς κατὰ καιρὸν βασιλεύοντας ἐπὶ τὸν Ἰσραήλ. Ἐπειδὴ δὲ ἦκεν εἰς τοῦτο καὶ κεκράτηκε τῆς Σαμαρείας Ὡσηὲ υἱὸς Ἠλά, οὐκ ἔπεμψε Μαναὰ τῷ βασιλεῖ τῶν Ἀσσυρίων, καθὰ γέγραπται. Ἐπειδὴ δὲ ᾔδει πάντῃ τε καὶ πάντως ἐκεῖνον ἀγανακτήσοντα, τὴν τῶν Αἰγυπτίων κατεμισθοῦτο χεῖρα πρὸς ἐπικουρίαν, εἰ δὴ βούλοιτο τὸν πολέμου νόμον ὁπλίζεσθαι κατ' αὐτῶν ὁ δασμοὺς ἐπιθείς καὶ τέλη. Καθυπισχνοῦντο δὲ τοῦτο καὶ μάλα ἑτοίμως οἱ τῶν Αἰγυπτίων κρατοῦντες τὸ τηνικάδε. Πρὸς τοῦτο λελυπημένος ὁ Ἀσσύριος, πανστρατιᾷ κατέθει τὴν Αἰγυπτίων, ἔγκλημα τοῖς κρατοῦσιν αὐτῆς ἐκεῖνο τιθείς, τὸ ἀποσκιρτῆσαι τὸν Ὡσηὲ καὶ ἀποσείσασθαι τὸν αὐτοῦ ζυγόν, ἀπονοίας λαβόντα πρόφασιν τῆς παρ' αὐτῶν ἐπικουρίας τὴν ὑπόσχεσιν. Ὅτι τοίνυν τὸν τοῦ βαρβάρου θυμόν, καθάπερ ἔφην ἀρτίως, μεταθήσει Θεὸς ἐφ' ἑτέρους, διαμεμήνυκεν εἰπών· «Καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον. Ἀνῴκισται μὲν γὰρ θαλάσσης τὰ Ἱεροσόλυμα, ὁδὸν δὲ τὴν πρὸς τὴν τῶν Αἰγυπτίων φέρουσαν καὶ λίαν ἀμογητί, τὴν θαλάσσης γείτονα καὶ εἰς δεῦρό φασιν.

ὁ φίλος ἢ ὁ συγγενής, ἢ ποιὸς ὁ ἐχθρός, συμπλέκονταν μεταξύ τους, ἔκαμναν τὰ τῶν ἐχθρῶν, καὶ ἐξολοθρεύθηκαν κατὰ τρόπο οἰκτρὸ μεταξύ τους[117]. Θὰ καταφερθεῖ λοιπόν, λέγει, χτύπημα ὅπως στὴ Μαδιὰμ στὸν τόπο τῆς θλίψης. «Τόπο θλίψης», δηλαδὴ καιρό, ὀνομάζει τὸ μέρος ὅπου συνέβη νὰ γίνουν αὐτά.

Ὅτι ὅμως θὰ ἐκτρέψει κατὰ κάποιο τρόπο ὁ Θεὸς τὸ θυμὸ τοῦ Βαρβάρου καὶ θὰ τὸν στρέψει σὲ ἄλλους τὸ δηλώνει λέγοντας· «Καὶ ὁ θυμός του θὰ εἶναι ὅπως τότε στὸ δρόμο πρὸς τὴν (Ἐρυθρὰ) θάλασσα κατὰ τὴν ἀναχώρησή τους ἀπὸ τὴν Αἴγυπτο». Ὁ βασιλιὰς δηλαδὴ τῶν Ἀσσυρίων Θεγλαφαλασάρ, γιατὶ αὐτὸς εἶναι ἐκεῖνος ποὺ κυρίευσε κατὰ κράτος τὴ Σαμάρεια, ἐπέβαλε φορολογία στοὺς κατοίκους καὶ ζητοῦσε τέλη καὶ φόρους ἀπὸ τοὺς κατὰ καιροὺς βασιλεῖς τοῦ Ἰσραήλ, ἐπειδὴ ὅμως ἔφτασε σ' αὐτὸ τὸ σημεῖο καὶ ἔγινε κυρίαρχος τῆς Σαμάρειας ὁ Ὡσηέ, ὁ υἱὸς τοῦ Ἠλά, δὲν ἔστειλε τὸν φόρο στὴ βασιλιὰ τῶν Ἀσσυρίων, ὅπως ἔχει γραφεῖ, καὶ ἐπειδὴ γνώριζε ὅτι ὁπωσδήποτε ἐκεῖνος θ' ἀγανακτοῦσε, μίσθωσε τὴ στρατιωτικὴ δύναμη τῶν Αἰγυπτίων γιὰ νὰ τὸν βοηθήσει, ἂν ἤθελε νὰ ἐφαρμόσει τὸ νόμο τοῦ πολέμου ἐναντίον τους ἐκεῖνος ποὺ ἐπέβαλε δασμοὺς καὶ τέλη. Τοῦ τὸ ὑποσχέθηκαν αὐτό, καὶ πολὺ πρόθυμα, ἐκεῖνοι ποὺ ἐξουσίαζαν τότε τοὺς Αἰγυπτίους. Ἐξαιτίας αὐτοῦ θυμωμένος ὁ Ἀσσύριος ἐξεστράτευσε μὲ ὅλο τὸ στρατό του ἐναντίον τῶν Αἰγυπτίων, θεωρώντας αὐτὸ ἔγκλημα τῶν ἐξουσιαστῶν της, τὸ ν' ἀποσκιρτήσει ὁ Ὡσηὲ καὶ ν' ἀποτινάξει τὸ ζυγό του, παίρνοντας σὰν δικαιολογία τῆς ἀνόητης ἐνέργειας αὐτῶν τὴν ὑπόσχεση τῆς βοήθειας ἀπὸ ἐκείνους. Ὅτι λοιπόν, ὅπως εἶπα πρὶν ἀπὸ λίγο, ὁ Θεὸς θὰ μεταστρέψει τὸν θυμὸ τοῦ βαρβάρου σὲ ἄλλους, τὸ διαμήνυσε λέγοντας· «Καὶ ὁ θυμός του θὰ εἶναι ὅπως τότε στὸ δρόμο πρὸς τὴν (Ἐρυθρὰ) θάλασσα κατὰ τὴν ἀναχώρησή τους ἀπὸ τὴν Αἴγυπτο». Τὰ Ἱεροσόλυμα εἶναι χτισμένα ψηλότερα ἀπὸ τὴ θάλασσα, καὶ στὸ δρόμο ποὺ ὁδηγεῖ, λένε, πρὸς τὴ χώρα τῶν Αἰγυπτίων, καὶ πολὺ εὔκολα, τὴ γειτονικὴ ὡς τώρα τῆς θάλασσας.

117. Διάβασε Κριτ. κεφ. 7.

Στίχ. 27. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, Ἀφαιρεθήσεται ὁ φόβος αὐτῶν ἀπὸ σοῦ, καὶ ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν».

Ἔφην ὅτι δασμοὺς ἐπέθηκε τοῖς ἐξ Ἰσραὴλ κεκρατηκὼς ὁ Ἀσσύριος, καὶ σκήπτροις ἰδίοις ὑποφέρειν ἤθελε τὸν ἐκνεμηθέντα λαὸν τῷ παναγίῳ Θεῷ. Ταύτης τε ἕνεκα τῆς αἰτίας κατὰ τῶν Αἰγυπτίων ὥπλίζετο. Τί οὖν ἄρα φησί; Νενικηκὼς Αἰγυπτίους ἐπιθήσει πάλιν τὸν ἑαυτοῦ ζυγὸν τοῖς ἐλεύθερον ἐσχηκόσιν ἀεὶ τὸν αὐχένα, καὶ μόνην εἰδόσι τὴν ὑπὸ Θεῷ βασιλείαν; Οὐδαμῶς, φησίν. Ἀφαιρεθήσεται γὰρ κατ' ἐκεῖνο τοῦ καιροῦ ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου. Ἐπειδὴ γὰρ πέπτωκεν ὁ ἀριθμοῦ κρείττων ἐκεῖνος λεὼς καὶ ἀπόλωλεν ἐν μιᾷ νυκτί, δαπανῶντος ἀγγέλου, πῶς οὐκ ἐξήρηται πᾶς φόβος; Ἢ πῶς ὁ ζυγὸς ὁ κατὰ παντὸς ὤμου, μονονουχὶ καὶ ἀπετινάχθη καὶ πρός γε τούτῳ καὶ κατεφθάρη, τοῦτ' ἔστιν, εἰς ἄπαν ᾤχετο; Ζητοῦντες ἐκεῖνο τὸ σώζεσθαι μόνον καὶ οἴκοι δραμεῖν, καὶ οὐκ ἐπαίροντες ἔτι κατὰ τῆς Ἰουδαίας τὴν πρώτην ὀφρύν. Ἐσκέπτετο γάρ, ὡς ἔφην, τοῖς Ἰουδαίοις αὐτὴν ὑποθεῖναι ζυγοῖς. Μεματαίωται δὲ τὰ τῆς ἐλπίδος αὐτῷ καὶ πρὸς πᾶν τοὐναντίον τὸ προσδοκηθὲν ἐκβέβηκεν. Ἐσώζετο γὰρ ἀγαπητῶς οὐχ ὅπλοις νενικημένος, θείοις δὲ μᾶλλον νεύμασιν καὶ ἀγγέλου χειρί· καὶ τό γε παράδοξον. Ἵνα γὰρ φαίνηται πάντα εἰδὼς καὶ τῶν πραγμάτων τὸ πέρας, κἂν εἰ μή πω γέγονεν, ἐν ὀφθαλμοῖς ἔχων ὡς Θεός, καὶ τῆς ἐκείνου φυγῆς σαφέστατόν τε καὶ ἐναργῶς ἀπαγγέλλει τὸν τρόπον, τόπους τε καὶ καταλύματα, καὶ ὅτι πλείστας ἐκδεματώσει τῆς Ἰουδαίας πόλεις, καίτοι φυγὰς ἀποδραμών ὁ δείλαιος «Ἥξει» γάρ, φησίν, «εἰς πόλιν Ἀγγαί, καὶ παρελεύσεται εἰς Μαγεδώ». Πόλεων δὲ καὶ κω-

Στίχ. 37. «Τὴν ἡμέρα ἐκείνη θὰ σταματήσει ὁ φόβος σου πρὸς αὐτοὺς καὶ θ' ἀφαιρεθεῖ ὁ ζυγός τους ἀπὸ τοὺς ὤμους σου καὶ θὰ συντριβεῖ ὁ ζυγὸς ἀπὸ τοὺς ὤμους σας».

Εἶπε ὅτι ὁ Ἀσσύριος ὅταν ἔγινε κυρίαρχός τους ἐπέβαλε φόρους στοὺς Ἰσραηλῖτες καὶ ἤθελε νὰ θέσει κάτω ἀπὸ τὴ δική του ἐξουσία στὸ λαὸ ποὺ εἶχε ἀποδοθεῖ στὸν πανάγιο Θεό. Γι' αὐτὴ τὴν αἰτία ἐξοπλιζόταν ἐναντίον τῶν Αἰγυπτίων. Τί λέγει λοιπόν; Ἀφοῦ νικήσει τοὺς Αἰγυπτίους θὰ ἐπιβάλει πάλι τὸ ζυγό του σ' αὐτοὺς ποὺ ἔχουν πάντα ἐλεύθερο τὸν αὐχένα τους καὶ ποὺ γνώριζαν μόνο τὴ βασιλικὴ ἐξουσία τοῦ Θεοῦ; Καθόλου, λέγει. Γιατὶ ἐκεῖνο τὸν καιρὸ θ' ἀφαιρεθεῖ ὁ φόβος του ἀπὸ ἐσένα καὶ ὁ ζυγός του ἀπὸ τὸν ὦμο σου. Ἐπειδὴ δηλαδὴ θανατώθηκε ὁ ἀναρίθμητος ἐκεῖνος λαὸς καὶ χάθηκε μέσα σὲ μιὰ νύχτα, ἐξολοθρεύοντάς τους ὁ ἄγγελος, πῶς δὲν ἀφαιρέθηκε ὅλος ὁ φόβος τους; Ἢ πῶς δὲν ἀποτινάχθηκε ὁ ζυγὸς ποὺ βάραινε κατὰ κάποιο τρόπο κάθε ὦμο καὶ ἐκτὸς ἀπὸ αὐτὸ καὶ συντρίφθηκε, δηλαδὴ ἐξαφανίσθηκε γιὰ πάντα; Γιατὶ ζητοῦσαν ἐκεῖνο, τὸ νὰ σωθοῦν μόνο καὶ νὰ ἐπιστρέψουν στὴν πατρίδα τους καὶ δὲν ἔδειχναν πιὰ ἐναντίον τῆς Ἰουδαίας τὴν προηγούμενη ὑπεροψία. Γιατὶ σκεφτόταν, ὅπως εἶπα, νὰ ἐπιβάλει στοὺς Ἰουδαίους τὸν δικό του ζυγό. Ὅμως ματαιώθηκαν οἱ ἐλπίδες του καὶ οἱ προσδοκίες του εἶχαν τὴν ἀντίθετη τελείως ἔκβαση. Γιατὶ σωζόταν, κι αὐτὸ τοῦ ἦταν ἀρκετό, ὄχι νικημένος ἀπὸ ὅπλα, ἀλλὰ μὲ τὴ θεία μᾶλλον ἐντολὴ καὶ τὸ χέρι ἀγγέλου. Καὶ τὸ παράδοξο βέβαια εἶναι αὐτό. Γιὰ νὰ φαίνεται δηλαδὴ ὅτι γνωρίζει τὰ πάντα, καὶ τὴν ἔκβαση τῶν πραγμάτων, πού, κι ἂν ἀκόμα δὲν ἔχει πραγματοποιηθεῖ, τὴν ἔχει μπροστὰ στὰ μάτια του σὰν Θεός, ἀπαγγέλλει σαφέστατο καὶ ὁλοκάθαρο καὶ τὸν τρόπο τῆς φυγῆς ἐκείνου, τοὺς τόπους καὶ τὰ καταλύματά του, καὶ ὅτι πάρα πολλὲς πόλεις τῆς Ἰουδαίας θὰ τρομοκρατήσει, μολονότι ἔτρεχε νὰ σωθεῖ ὡς φυγὰς ὁ δυστυχής. Γιατὶ λέγει, «Θὰ φτάσει στὴν πόλη Ἀγγαὶ καὶ θὰ προχωρήσει στὴ Μαγεδώ». Αὐτὰ εἶναι ὀνόματα

μῶν, ἤτοι τόπων ὀνόματα ταυτί. «Καὶ ἐν Μαχμᾶς θήσει τὰ σκεύη αὐτοῦ». Φασὶ γὰρ Ἑβραῖοι γεγονότα τὸν Ἀσσύριον ἐν Μαχμᾶς, ἅπασαν αὐτοῦ τὴν ἀποσκευὴν ἐκεῖ καταλεῖψαι, δεδιότα τῶν ἐξ Ἰσραὴλ τὴν ἔφοδον. Ὥρετο γὰρ ὅτι δραμοῦνται διώκοντες. Εἶτ' ἄφησι·

Στίχ. 29. «Καὶ παρελεύσεται φάραγγα καὶ ἥξει εἰς Ἀγγαί. Φόβος λήψεται Ῥάμα πόλιν Σαούλ. Φεύξεται ἡ θυγάτηρ Γαλλίμ, ἐπακούσεται ἐν Ἀναθώθ· ἐξέστη Μαδεβηνᾶ καὶ οἱ κατοικοῦντες Γιββεῖρ.

Ἔχει δέ τι τοιοῦτον ἡ τῶν Ἑβραίων παράδοσις. Φασὶ γὰρ ὅτι [δέκα] διασωθέντες μόνοι πρὸς αὐτὸν ὑπενόστησαν ἐκ τῶν Ἱεροσολύμων καὶ τὸ γεγονὸς ἀπηγγέλκασιν. Εἶτα σὺν ὀλίγοις κομιδῇ πρὸς τὴν ἐνεγκοῦσαν ἀνεκομίζετο, καὶ πάσας τεθορύβηκε τάς τε κώμας καὶ πόλεις, καὶ μόνην αὐτοῦ τὴν ὡς ἐν φυγῇ καὶ δειλίᾳ πάροδον ἀφόρητον ἐποιήσαντο. Ἔνθα δ' ἂν ἐπαμύνῃ Θεὸς καὶ σώζειν ἐθέλῃ, ἐκεῖ τὸ λυποῦν οὐδέν, ἀλλὰ πᾶσα μὲν ἀτονήσει τῶν πολεμούντων ἡ χείρ, ἀπραχτήσει δὲ ἰσχὺς καὶ πολέμων ἐμπειρία καὶ τέχνη τῶν τακτικῶν.

Στίχ 32. «Παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι τῇ χειρί. Παρακαλεῖτε τὸ ὄρος τὴν θυγατέρα Σιὼν καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ».

Συνθέντες τὴν λέξιν ἐποίσομεν ἀναγκαίως τὴν τοῦ νοήματος διασάφησιν. Ὦ τοίνυν βουνοί, φησί, τοῦτ' ἔστιν οἱ προὔχοντές τε καὶ ὑπερκείμενοι καὶ τῶν ἄλλων οἱ ὑπεραναστηκότες ἐν τῇ Ἱερουσαλήμ. Σημαίνει δὲ διὰ τούτων ἢ προφήτας ἁγίους, ἢ καὶ αὐτὸν τὸν τῶν ἱερέων χορόν. Παρακαλεῖτε τὸ ὄρος, τοῦτ' ἔστι τὴν ἐμὴν θυγατέρα Σιών. Παρακαλεῖτε δὲ μονονουχὶ καὶ χειρὶ καταψῶντες καὶ ἐπαφώμενοι κεφαλῆς, ὥστε ἐμμεῖναι ταύτῃ τῇ ὁδῷ. Ποίᾳ δὲ ταύτῃ; Τῇ

πόλεων καὶ χωριῶν ἢ τόπων. «Καὶ θὰ θέσει τὴν ἀποσκευή του στὴ Μαχμάς». Γιατὶ λένε οἱ Ἑβραῖοι ὅτι ὅταν ἔφτασε ὁ Ἀσσύριος στὴ Μαχμάς, ἄφησε ἐκεῖ ὅλη τὴν ἀποσκευή του, ἐπειδὴ φοβόταν τὴν ἐπίθιεση τοῦ Ἰσραήλ. Πίστευε ὅτι θὰ σπεύσουν νὰ τὸν κυνηγήσουν. Ἔπειτα λέγει·

> Στίχ. 29. «Θὰ περάσει τὸ φαράγγι καὶ θὰ φτάσει στὴν πόλη Ἀγγαί. Φόβος θὰ κυριεύσει τὴν πόλη Ραμὰ τοῦ Σαούλ. Θὰ τραποῦν σὲ φυγὴ οἱ κάτοικοι τῆς Γαλλίμ, ἡ πόλη Ἀναθώθ θὰ πληροφορηθεῖ τὸ πέρασμά του, καὶ θὰ κυριευθεῖ ἀπὸ ἔκπληξη ἡ πόλη Μαδεβηνᾶ κι ὅσοι κατοικοῦν στὴ Γιββεῖρ».

Ἔχει κάτι παρόμοιο ἡ παράδοση τῶν Ἑβραίων. Γιατὶ λένε, ὅτι δέκα μόνο ποὺ σώθηκαν ἐπέστρεψαν σ' αὐτὸν ἀπὸ τὰ Ἱεροσόλυμα καὶ ἔφεραν τὴν εἴδηση γιὰ ἐκεῖνο ποὺ ἔγινε, κι ἔπειτα μὲ πολὺ λίγους ἐπέστρεψε στὴν πατρίδα του καὶ προκάλεσε ταραχὴ σὲ ὅλα τὰ χωριὰ καὶ τὶς πόλεις καὶ μόνο τὸ πέρασμά του, πέρασμα φυγῆς καὶ δειλίας, ποὺ ἦταν ἀδύνατο νὰ τὸ ἀντέξουν. Γιατί, ὅπου ὁ Θεὸς γίνεται ὑπερασπιστὴς καὶ θέλει νὰ σώσει, ἐκεῖ δὲν ὑπάρχει κανένα λυπηρό, ἀλλ' ὅλη ἡ δύναμη τῶν ἐχθρῶν θ' ἀτονήσει, καὶ θὰ μείνει ἄπρακτη ἡ δύναμη, καὶ τῶν πολέμων ἡ ἐμπειρία καὶ ἡ τέχνη τῶν στρατιωτικῶν.

> Στίχ. 32. «Δῶστε σήμερα θάρρος στοὺς Ἰουδαίους ποὺ εἶναι στὸ δρόμο καὶ φεύγουν, νὰ μείνουν καὶ νὰ μὴ φύγουν, ἐνθαρρύνετε μὲ τὶς κινήσεις τοῦ χεριοῦ σας τὸ ὄρος τῆς Σιὼν καὶ τοὺς κατοίκους τῆς Ἱερουσαλὴμ στοὺς λόφους».

Συντάσσοντας τὶς λέξεις θὰ κάνομε κατ' ἀνάγκη τὴ διασάφηση τοῦ νοήματος. Ὦ βουνά, λέγει, δηλαδὴ οἱ προύχοντες καὶ οἱ ἀνώτεροι καὶ ὅσοι ὑπερέχετε ἀπὸ τοὺς ἄλλους στὴν Ἱερουσαλήμ. Μὲ αὐτὰ θέλει νὰ δηλώσει ἢ τοὺς ἁγίους προφῆτες, ἢ καὶ τὸ ἴδιο τὸ σύνολο τῶν ἱερέων. Ἐνθαρρύνετε τὸ ὄρος, δηλαδὴ τὴ θυγατέρα μου τὴ Σιών. Ἐνθαρρύνετέ τους, ἀγγίζοντας κατὰ κάποιο τρόπο μὲ τὸ χέρι καὶ χαϊδεύοντας τὸ κεφάλι τους, ὥστε νὰ παρα-

εἰς Θεὸν πεποιθήσει δηλονότι. Ἐπήγγελται μὲν γάρ, ὅτι καὶ ἐξελεῖται καὶ διασώσει ῥᾳδίως καὶ καταβάλλει [καταβαλεῖ] τὸν Ἀσσύριον, καὶ ἀποστήσει τὸν φόβον αὐτοῦ, καὶ καταφθείρῃ τὸν ζυγόν, καὶ ἁπάσης αὐτοὺς ἀπαλλάξει πλεονεξίας. Ἀλλ' ἔσται ταῦτα, φησίν, ὅταν ἐμμείνωσι ταύτῃ τῇ ὁδῷ, δῆλον δὲ ὅτι τῇ εἰς Θεὸν πεποιθήσει. Διὸ δὴ παρακαλεῖτε σήμερον, τουτέστι, κατά γε τὸν ἐοικότα τῷ πράγματι καιρόν, καὶ ἱδρυμένον ἐνεργάζεσθε τὸ φρόνημα αὐτῇ. Οὐ γὰρ ἔστι διαψεύδεσθαι τὴν ἀλήθειαν, οὐ ψευδοεπήσει Θεός. Εἰ γὰρ δὴ κατανεύσειέ τι, τοῦτο δὴ πάντως ἥξει πρὸς πέρας, ὅταν ἡμεῖς τῇ πίστει τιμῶμεν καὶ γνησίῳ φρονήματι κατευφραίνωμεν τὸν διασώζειν ἐπηγγελμένον. Κατὰ τόνδε τὸν ἴσον τρόπον καὶ ἡμᾶς αὐτοὺς παρακαλοῦσιν οἱ ἅγιοι λέγοντες, Ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ἡμῶν, καί, ὅτι «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς». Ἔφη δὲ καὶ αὐτὸς διὰ φωνῆς τοῦ Δαβίδ, περὶ παντὸς ἀνθρώπου πεποιθότος ἐπ' αὐτὸν καὶ τὴν ἐλπίδα θεμένου· «Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει, καὶ ἐξελοῦμαι καὶ δοξάσω αὐτόν». Δοξάσει γὰρ τοὺς δοξάζοντας αὐτὸν ὁ πάντων ἡμῶν Σωτὴρ καὶ Κύριος, Ἰησοῦς Χριστός, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

μείνουν στὸ δρόμο αὐτόν. Καὶ ποιὸς εἶναι αὐτός; Ἡ πεποίθηση δηλαδὴ στὸν Θεό. Γιατὶ ἔχει ὑποσχεθεῖ ὅτι θὰ τοὺς βγάλει ἀπὸ τὸν κίνδυνο καὶ θὰ τοὺς διασώσει εὔκολα, θὰ καταβάλει τὸν Ἀσσύριο καὶ θ' ἀπομακρύνει τὸ φόβο ποὺ προκαλεῖ, θὰ συντρίψει τὸν ζυγὸ καὶ θὰ τοὺς ἀπαλλάξει ἀπὸ κάθε καταπίεση. Ἀλλὰ αὐτὰ θὰ γίνουν, λέγει, ὅταν παραμείνουν σ' αὐτὸ τὸ δρόμο, δηλαδὴ στὴν πεποίθηση πρὸς τὸν Θεό. Γι' αὐτὸ ἀκριβῶς ἐνθαρρύνετε αὐτοὺς σήμερα, δηλαδὴ τὸν κατάλληλο γιὰ τὸ γεγονὸς καιρό, καὶ ἑδραιῶστε τὸ φρόνημά τους. Γιατὶ δὲν μπορεῖ νὰ διαψευσθεῖ ἡ ἀλήθεια, δὲν μπορεῖ νὰ πεῖ ψέματα ὁ Θεός. Ἂν συγκατανεύσει σὲ κάτι αὐτὸ ὁπωσδήποτε θὰ φτάσει στὸ τέλος, ὅταν ἐμεῖς τὸν τιμοῦμε μὲ τὴν πίστη καὶ μὲ γνήσιο φρόνημα εὐχαριστοῦμε αὐτὸν ποὺ μᾶς ὑποσχέθηκε ὅτι θὰ μᾶς σώσει. Κατὰ τὸν ἴδιο τρόπο μᾶς προτρέπουν καὶ οἱ ἅγιοι λέγοντας· «Ἀντισταθεῖτε στὸν διάβολο καὶ θὰ φύγει ἀπὸ κοντά σας»[118] καὶ ὅτι «Θὰ περικυκλώσει ὁ ἄγγελος μὲ τὴ δύναμή του ἐκείνους ποὺ τὸν φοβοῦνται καὶ θὰ τοὺς σώσει»[119]. Εἶπε καὶ ὁ ἴδιος μέσω τῆς φωνῆς τοῦ Δαβὶδ γιὰ κάθε ἄνθρωπο ποὺ ἔχει στηριγμένη τὴν πεποίθησή του καὶ τὴν ἐλπίδα του σ' αὐτόν. «Γιατὶ στήριξε τὴν ἐλπίδα του σ' ἐμένα, γι' αὐτὸ καὶ θὰ τὸν σώσω. Θὰ φωνάξει σ' ἐμένα καὶ θὰ τὸν ἀκούσω· θὰ εἶμαι μαζί του στὴ θλίψη, θὰ τὸν βγάλω ἀπὸ τὸν κίνδυνο καὶ θὰ τὸν δοξάσω»[120]. Γιατὶ θὰ δοξάσει ἐκείνους ποὺ τὸν δοξάζουν ὁ Σωτήρας ὅλων μας καὶ Κύριος Ἰησοῦς Χριστός, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

118. Ἰακ. 4, 7. 119. Ψαλμ. 33, 8. 120. Ψαλμ. 90, 14-15.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸν στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Γένεσις

1	6	130
2	7	130
15	15	250
18	25	48

Ἔξοδος

4	13	304
5	2	18
13	2	486
	5	222
	15	486
15	6	382
23	7	84. 456
	17	126
28	26	40
33	3	222. 358
34	23	126

Λευϊτικόν

20	24	222
21	5	350

Ἀριθμοί

8	7 ἑ.	58
16	13	358
16	14	358

Δευτερονόμιον

1	16	264. 448
	17	190. 448
4	24	268
5	8-9	122
6	16	332
7	1-4	124
	14	206
16	16	126
17	14-15	128
	16	130
	17	130
18	9-13	124
	15	48
30	13	70
32	21	428

Βασιλειῶν Α΄.

2	5	208

Βασιλειῶν Δ΄.

16	-	328
16	20	318. 498
17	-	328
	1-5	498
18	9-13	434
24	-	354

25 - 354

Κριταί

7 - 502

Ψαλμοί

2 8 396
4 7 390
6 1 466
2 270
7 9 478
11 7 80
13 3 58
18 6 156
26 14 394
29 8 200
31 9-10 468
33 8 272
36 35 138
39 1 394
43 6 222
44 2 362
17 94
46 9 284
48 13 132
20 250
50 6 70
54 22 62
67 19 372
28 412
68 24 456
74 5 478
75 8 268
77 24-25 22. 152
58 428
79 9 222
9-12 186
85 8 466
9 288
91 11 222
94 11 42
111 9 222
112 9 208
113 12 142
115 2 296
117 14 388
16 382
24 138
27 76
118 51 138
96 10
120 30 36
132 3 232

Ἰώβ

3 18 418
12 14 142. 268

Παροιμίαι

1 17 464
17-18 170
4 23 62
5 22 102
7 11 198
10 2 240
17 264
15 16 240
23 17 388
25 17 54

Ἐκκλησιαστὴς

7 26 198
10 4 62. 148

Ἆσμα Ἀσμάτων

2 13 232
15 228
5 1 354

Σοφία Σολομῶντος

2 12 150

Σοφία Σειρὰχ

15 9 294

Ὡσηὲ

2 2 444
3 4 30
4-5 40
4 13 12
5 1 252
7 11-12 140
9 8 476
11 8 42

Ἀμὼς

2 8 266
5 1 170
18 260
20 260
8 11-12 230. 404

Ναοὺμ

2 9 378

Ἀββακοὺμ

1 2-4 266
16 200
2 3 368
2 5 264

Μαλαχίας

2 7 30. 80. 464
3 1-2 92
1-3 130
2-3 214
4 2 408

Μιχαίας

5 11-12 120
1 1-2 20

Ὀβδιοῦ

1 15 174

Ζαχαρίας

1 12 54
14-15 54
2 9 36. 340. 390
5 5-6 28
7 9 190. 448
11 9 112
14 6 278

Ἡσαΐας

1 4 56
9 30
25 266
3 24 350
4 5-6 38
5 20 68
23 68
4 90
7 220
24-25 430
12 3 152
13 3 156
14 27 438
27 5 426
30 10 126. 258
17 276
32 1 94
33 20 212
37 4 146
35 146
36 146
42 1-3 374
45 23 288
51 20 150
52 13 374
53 1 424
55 1 402
58 12 232
59 9 262
61 1 372
65 13 354

	Ἱερεμίας	
1	6	304
2	12-13	24
	27	100. 472
	28	98
	29	474
3	1-3	76
	6	76
4	4	104
5	1	48
6	9	254
	10	270
8	8-9	270
9	2	220
	8	62
10	11	144
	21	46
11	13	132
	15	474
12	7	120
	7-8	38. 172
	10	46
17	5	438
	10	478
	12-13	148
22	14-15	240
23	23	238
28(Μασ. 51)	9	32
48(Μασ. 41)	5	350
	Βαρούχ	
3	3	284
4	4	182
	Ἰεζεκιὴλ	
3	4-7	302
8	17	494
9	4-6	494
12	22	258
	27-28	258
16	8-13	198
22	26	294
	Δανιὴλ	
9	24	158
	Ματθαῖος	
2	1-2	372
3	7	26. 88
	11-12	92
	17	218
4	4	152
	13-17	408
	18-22	410
	20	410
5	4	254
	5	72
	14	108
	17	66
7	13	62
	24-25	218
8	34	292
9	10-11	294
	12	326
11	28-29	82
12	10	64
	24	398
	29	366
13	52	390
15	1-6	82
17	1-3	364
21	38	422
23	13	86
	16	264
	23	178
	32	28
	37-38	38
	37-38	120
	38	170
	38	286
24	16	358
25	14-29	80
27	25	78

Μάρκος

12	14	64

Λουκᾶς

1	5-6	454
	35	336
	79	158
5	4	292
	8	292
6	24	252
10	19	480
	20	210
12	48	266
21	20	88
23	30	88. 208

Ματθαῖος

1	1	362
	14	298
	43-45	410
	47	64
	47-49	410
2	19	426
3	5	154
	33	424
4	13-14	152
	24	392
5	24	26
	44	46. 86
	45-46	82
	46	46. 270
6	44	306
	45	306
	66	426
8	12	118. 190
	24	28
9	16	184. 386. 404
	24	86
10	29	184. 386
	9	154
	20	184. 272
10	33	374
12	31	214
	32	372
	35	118. 290
	41	284
14	6	154. 190
	27	116. 46
15	1-2	232. 356
	4-5	232
	14-15	424
17	6	396
	9	426
19	12	456
	15	28. 92. 172. 236
	15	374. 456

Πράξεις

2	38	212
	38-39	60
3	14-15	60
	15	100
	17	60. 212
4	8-10	448
	14	212
5	28	382
	35-37	450
7	51-52	78
13	46-47	112
15	10	420

Ρωμαίους

1	2	132
	20	246
	22	108
	26	204
	28	204
2	4-5	260
	5-6	44
	11	126
	28-29	104
5	20	70
6	21	388
7	7	66

7	12	66
8	15	22
	18	70
	33-34	70
10	4	8. 188
11	8-10	300
12	17	62

Κορινθίους Α΄

3	10-11	162
4	7	50
	15	94
5	5	94
	11	94
7	7	154
8	6	144
10	12	200
13	1	442

Κορινθίους Β΄

3	14	152
	15	304
5	10	44
9	10	242
10	3	156
	4	156
11	2	106

Γαλάτας

3	24	22
4	19	94
5	2	392
	4	392
	5	392
	16	462
6	7	174
	8	244. 254

Ἐφεσίους

2	10	416
4	31	234
5	27	106
6	12	156. 272
	14	156

Φιλιππησίους

3	7	454
	8	362
4	7	462
	13	152. 388

Θεσσαλονικεῖς Α΄

5	21-22	162

Τιμόθεον Α΄

2	4	78. 320
6	10	128

Τίτον

2	11	158

Ἑβραίους

1	14	296
3	1	376
6	7	356
	7-8	224
	8	34
9	10	26
	11-23	362
	13-14	60. 214
10	31	88
11	7	60

Ἰακώβου

1	14-15	148
3	9-12	296
4	6	128. 184. 470. 476
5	1	238
	4	238

Πέτρου Α΄

3	21	60
5	2-3	180
	5	184

Πέτρου Β΄

2	21	394

Ἰωάννου Α΄

2	13	160. 452

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Ἀαρὼν 166. 280. 454.
Ἀββακοὺμ 264. 368.
ἀβελτηρία 144.
Ἀβιὼρ 434.
Ἀβιᾶς 454.
Ἀβραὰμ 48. 250.
ἀγανάκτησις 282.
ἀγάπη 22. 36. 46. 52. 232. 234. 286. 304. 402. 416. 476.
Ἀγγαὶ 504.
ἀγγελος μεγάλης βουλῆς 418. 424.
ἀγερωχία 194.
ἁγίασμα 148. 384. 386. 388. 392.
ἁγιασμὸς 154. 200. 232. 390. 486.
ἁγνισμὸς 58. 60. 210.
ἀγριότης 116.
ἀδικία 28. 92. 116. 128. 192. 240. 242. 262.
Ἀδριανὸς 312.
Ἀζαρίας 280.
ἀθέτησις 22. 26.
ἀθλιότης 204. 206.
Αἰγύπτιοι 18. 34. 122. 140. 146. 440. 490. 498. 502. 504
Αἴγυπτος 122. 130. 140. 186. 222. 230. 344. 346. 496. 498. 500. 502.
αἰδὼς 144.
Αἰθίοπες 484.
αἰσχύνη 170. 190. 196.
αἰχμαλωσία 204. 372. 440. 444. 450.
ἀκαθαρσία 48. 196. 246. 282.
Ἀκκαρείμ 282.
ἀκολασία 128.
Ἀλαὲ 434.
ἀλαζονεία 128. 472. 476. 478.
ἀλήθεια 50. 56. 58. 72. 86. 162. 190. 218. 330. 394. 396. 454.
ἀλογία 26.
ἀμαθία 78. 216. 270. 290. 436.
ἁμαρτία 26. 28. 42. 48. 52. 54. 56. 60. 62. 64. 66. 70. 102. 134. 136. 148. 150. 154. 170. 172. 182. 214. 224. 250. 256. 258. 260. 262. 268. 292. 294. 296. 300. 310. 334. 338. 368. 374. 378. 416. 418. 428. 438. 444. 456.
ἁμαρτωλός, -οἱ 26. 56. 86. 90. 96. 100. 102. 292. 294. 388. 468.
Ἀμάσιος, βασιλεύς, 280.
ἄμπελος ἀληθὴς 232.
Ἀμώς, βασιλεύς, 344.
Ἀμώς, πατὴρ Ἡσαΐου, 14. 102.
Ἀμώς, προφήτης, 282.
ἀναβίωσις 364.
ἀναγέννησις 154. 396.
Ἀναθὼθ 506.
ἀναισθησία 142.
ἀναισχυντία 172. 226.
ἀνάληψις 308. 364.
ἀνάστασις 310. 362.
Ἀνδρέας 410.
ἀνδρ(ε)ία 274.
ἀνομία 30. 168. 172. 232. 234. 236. 256. 260. 296. 300. 416. 456. 458. 494.
ἀνοσιότης 18. 44. 86. 444.
ἀνοχὴ 44.
Ἀντίοχος ὁ Ἐπιφανὴς 312. 440.
ἀπαρχὴ 178.
ἀπάτη 422.
ἀπείθεια 170. 172. 214. 272. 394.
ἀπληστία 180.
ἀπόγνωσις 460.
ἀποκάλυψις 260.
ἀπόνοια 96. 122. 258. 374. 380. 502.

ἀποστασία 132.
ἀπόστολος, - οι 210. 300. 380.
ἀπώλεια 46. 72. 88. 308.
Ἀραβία 468. 472.
Ἀράμ 316. 318. 324. 326. 328.
ἀργία 44.
ἀρετὴ 64. 66. 74. 100. 150. 164. 184. 194. 204. 242. 256. 356. 380.
ἁρπαγὴ 128.
ἁρπαγμὸς 210.
Ἀρφάθ 434. 472.
ἀσέβεια 20. 30. 32. 40. 126. 264.
ἀσέλγεια 128.
Ἀσία 440.
Ἀσσύριος, -οι 34. 140. 146. 316. 326. 340. 344. 346. 348. 368. 370. 372. 376. 378. 430. 432. 466. 468. 470. 472. 474. 476. 480. 484. 486. 488. 490. 492. 496. 498. 502. 504. 506. 508.
ἀσχημοσύνη 198.
ἀσωτία 246.
ἀτιμία 34. 100. 204. 480. 482.
ἀτοκία 206.
αὐτάρκεια 240.
ἀφθαρσία 362. 382.
Ἄχαζ 10. 12. 240. 314. 316. 318. 320. 322. 326. 330. 332. 334. 336. 340. 342. 344. 432.

Β

Βάαλ 132. 476.
Βαβυλώνιοι 54. 122. 134. 140. 146. 230. 352. 438. 472.
Βαβυλὼν 32. 154. 468. 472.
βάπτισμα 26. 58. 60. 62. 88. 154. 214. 322.
Βαραβᾶς 60.
Βαραχίας 360. 362.
Βαρούχ 182.
Βασάν 136. 138.
Βασαναία 138.
βασιλεία Θεοῦ-οὐρανῶν- Χριστοῦ 42. 80. 86. 112. 154. 160. 192. 222. 244. 284. 390. 426. 452.
βασκανία 438.
βδέλυγμα 44. 50. 52. 122. 124. 130. 132. 144. 474.
βδελυρία 80. 196.
Βεελζεβοὺλ 162. 398.
Βεελφεγὼρ 490.
Βενιαμεὶν 314. 412.
Βηθλεὲμ 372.
Βηθσαϊδά 410. 412.
βίβλος ζωῆς 210.
βλασφημία 234.

Γ

Γαβριὴλ 336.
Γαλιλαία 404. 408. 410. 412. 420.
Γαλλὶμ 506.
Γαμαλιὴλ 450.
γαστριμαργία 244.
Γεδεὼν 418. 500.
γένεσις 72.
γέννησις Σωτῆρος 364.
Γεργεσηνοὶ 292.
γῆ ἐπαγγελίας 222.
γνῶσις 14. 74. 360.
Γόμορρα 40. 42. 44. 46. 48. 310.
Γωζᾶν 434.

Δ

Δαβὶδ 36. 40. 62. 80. 94. 138. 142. 146. 152. 186. 208. 222. 232. 268. 284. 288. 296. 318. 334. 336. 340. 342. 362. 372. 392. 412. 418. 428.

466. 468. 498.
δαιμόνιον 106. 210. 330. 370. 398. 400. 414. 416. 418.
δαίμων,- ες 12. 20. 122. 126. 288. 316.
Δαμασκηνοὶ 440. 498.
Δαμασκὸς 316. 326. 328. 368. 370. 440. 468. 472. 476.
Δανιὴλ 158.
δειλία 356. 358.
δεκάτη 178.
δῆλα 40.
διάβολος 106. 508.
διαθήκη 92. 360.
διαρπαγὴ 192.
δικαιοκρισία 44. 260.
δικαιοσύνη 12. 36. 68. 74. 90. 94. 96. 114. 116. 156. 188. 190. 214. 232. 234. 236. 240. 248. 252. 300. 392. 414. 418. 428. 454. 492.
διχόνοια 114. 116. 458.
δόξα ἀνθρώπου 86.
δόξα θεία - Θεοῦ 10. 36. 46. 46. 70. 86. 108. 114. 132. 134. 138. 142. 144. 148. 166. 170. 174. 192. 194. 208. 210. 216. 218. 222. 246. 278. 280. 282. 284. 286. 288. 290. 298. 342. 380. 468. 472. 482. 508.
δοξολογία 286. 288. 290. 294.
δουλεία 22. 54. 76. 168. 186. 204. 298. 370.
δουλεία σαρκικὴ 122.
δύναμις θεία 136. 222. 246.
δυσβουλία 262. 422.
δυσσέβεια 12. 130. 208. 316. 398. 444. 474.
δυσσέβεια 16. 166. 294.
δυστροπία 46. 64.
δυσφημία 484.
δωρεὰ (Θεοῦ) 60. 212.
δωροδοκία 264.
δωροφορία 84. 178. 182.

Ε

Ἑβραῖος, -οι 224. 432. 488. 506.
ἐγγαστρίμυθος 398. 400.
ἐγκράτεια 52.
Ἐξε(κ)χίας 10. 12. 146. 336. 344. 432. 434. 472. 484. 494. 498.
εἰδωλολατρία 126.
εἴδωλον 100. 106. 114. 124. 132. 134. 142. 144. 148. 324. 330. 338. 370. 400. 474. 476. 490.
εἰκὼν Θεοῦ 130. 390. 414. 428.
εἱμαρμένη 72. 74.
εἰρήνη 116. 246. 312. 418. 424. 426. 428. 460. 462.
ἐκδίκησις 88.
Ἐλὰμ 490.
Ἐλαμῖται 122. 466.
ἐλεημοσύνη 90. 96.
ἔλεος 84. 178. 212.
Ἐλιακεὶμ 346.
Ἐλισάβετ (θ) 452. 454.
Ἕλλην,- ες 108. 378. 380. 438. 440. 442.
ἐλπὶς 10. 44. 70. 140. 142. 370. 392. 396. 398. 436. 490.
Ἐμὰθ 472.
Ἐμμανουὴλ 298. 334. 336. 338. 340. 342. 360. 366. 372. 384. 392. 396. 398. 406. 408. 418. 422. 424. 426. 428. 430.
ἐνανθρώπησις 290. 362. 374. 428.
ἐνέργεια 298. 336.
ἕνωσις 298.
ἐξουσία 210.
ἐπαγγελία 60. 212. 220. 222.
ἔπαινος 104.

ἐπίγνωσις 306. 320. 334. 418. 446.
ἐπίγνωσις ἀληθείας 22. 58. 396.
ἐπιείκεια 12. 24. 32. 62. 74. 162. 224. 252. 262. 360. 388. 446. 452.
ἐπιθυμία 66. 148. 156. 182.
ἐπιθυμία θερμὴ 462.
ἐπιθυμία σαρκικὴ 462.
ἐπικουρία 142. 144. 204. 292. 322. 324. 334. 402. 436. 440. 442. 470. 478. 490. 498. 502.
ἐπιμέλεια 236.
ἐπισκοπὴ 464.
ἔρις 116.
Ἑρμῶν 232.
εὐανδρία 466.
εὐγένεια 18.
εὐεργεσία 448.
εὐημερία 116. 192. 196. 202. 350.
εὐκαρπία 360.
εὔκλεια 10.
εὐκοσμία 202. 236.
εὐλάβεια 292. 294. 332.
εὔλογία 224.
εὐνομία 114.
εὐπείθεια 24. 72. 232. 322. 332. 358. 394.
εὐπραγία 278.
εὑρεσιολογία 212.
εὐσέβεια 12. 38. 164. 192. 278. 394. 414.
εὐταξία 166.
εὐτέλεια 166.
εὐτολμία 274.
εὐφημία 284.
Εὐφράτης 348. 376.
εὐφροσύνη 152. 406. 412.
Ἐφραΐμ 42. 140. 318. 320. 328. 330. 340. 342. 430. 432. 456. 460. 474.

Ζ

Ζαβουλὼν 406. 408. 410. 412. 420.
Ζαχαρίας, ἱερεύς, 452. 454.
Ζαχαρίας, προφήτης, 28. 54.
Ζαχαρίας, ἱερεὺς νομοδιδάσκαλος, 360. 362. 364. 366.
Ζεβεδαῖος 408.
ζωὴ αἰώνιος 26. 112. 152. 160. 254.
Ζωὴ (Χριστὸς) 42. 58. 148. 150. 154. 174. 208. 210. 290. 308. 380. 404. 426. 444.
ζωοποίησις 426.

Η

ἡδονὴ 62. 68. 72. 128. 134. 150. 156. 194. 202.
ἡδονὴ σαρκικὴ 244. 462.
Ἠλὰ 316. 328. 432. 434. 498. 502.
Ἠλίας 364.
ἡμερότης 58. 60. 70. 180. 262. 324. 496.
Ἡρώδης 372. 454.
Ἡρωδιανοὶ 64.
Ἡσαΐας, προφήτης, 10. 14. 102. 152. 210. 266. 276. 278. 284. 304. 310. 320. 364. 372. 402. 408. 426. 434.

Θ

θάνατος 26. 70. 148. 364. 382.
Θεγλαφαλλασὰρ 316. 328. 502.
Θεκουὲ 282.
θέλημα ἀνθρώπινον 74. 80. 364. 366. 416.
θέλημα (Θεοῦ) 200.
θέλημα σαρκὸς 366.
θεογνωσία 86. 322. 412.
θεομαχεῖν 174.
θεοπτία 282.
θεοσημεία 86. 292.

Θευδᾶς 450.
θλῖψις 140. 402. 462. 466. 502. 508.
θυμηδία 378.
θυμὸς 16. 42. 54. 124. 150. 156. 234. 270. 320. 272. 324. 442. 444. 456. 460. 462. 466. 468. 470. 496. 500. 502.
θυσία εἰδώλων 96. 126.
θυσία (κατὰ νόμον) 12. 30. 32. 40. 50. 56. 64. 100. 278. 290. 392.
θυσία πνευματικὴ 52. 298.
θυσιαστήριον 40. 224. 280. 296. 298.

I

Ἰακὼβ 106. 110. 114. 116. 118. 386. 388. 392. 394. 396. 430. 432. 436. 488. 490. 492.
Ἰάκωβος 364. 408.
Ἰασοῦν 320. 322.
Ἰδουμαῖοι 34. 98. 122. 344. 466. 490.
Ἰεζεκ(χ)ιὴλ 174. 198. 258. 282. 302. 494.
ἱερατεία 40.
Ἰερεμίας 48. 76. 120. 132. 148. 186. 220. 230. 270. 284. 304. 350. 378. 436. 438. 474.
Ἰεροβοάμ 280. 282. 432.
Ἰεροσόλυμα - Ἰερουσαλὴμ 12. 14. 16. 36. 38. 46. 48. 54. 84. 86. 88. 90. 94. 102. 104. 106. 112. 120. 132. 134. 146. 148. 150. 166. 168. 170. 174. 208. 210. 212. 216. 224. 230. 250. 266. 274. 278. 280. 282. 286. 290. 306. 308. 314. 316. 318. 320. 326. 330. 342. 344. 346. 350. 364. 372. 378. 382. 386. 390. 432. 434. 436. 438. 440. 444. 474. 476. 478. 484. 486. 492. 494. 496. 498. 500. 502. 506.
ἱερουργία 12.
ἱερωσύνη 10. 30. 364.
Ἰεφονὴς 42.
Ἰεχονίας 346.
Ἰησοῦς (Ναυῆ) 42.
Ἰνδοὶ 140.
Ἰορδάνης 42. 406. 408. 412.
Ἰουδαία 10. 14. 16. 34. 54. 98. 104. 106. 122. 134. 138. 146. 148. 150. 164. 168. 170. 204. 250. 308. 324. 344. 346. 352. 354. 356. 358. 372. 378. 398. 428. 432. 434.440. 444. 454. 458. 470. 474. 490. 492. 494. 504.
Ἰουδαῖος 10. 12. 30. 32. 38. 52. 58. 60. 64. 74. 76. 80. 92. 94. 96. 102. 112. 118. 122. 134. 136. 140. 142. 150. 152. 154. 156. 158. 160. 162. 164. 166. 168. 170. 172. 176. 178. 182. 184. 190. 192. 198. 204. 206. 208. 212. 214. 224-226. 234. 236. 244. 246. 248. 250. 254. 258. 264. 270. 274. 276. 282. 290. 292. 294. 304. 308. 310. 312. 336. 342. 346. 350. 352. 358. 360. 372. 374. 378. 380. 382. 384. 386. 388. 398. 404. 408. 420. 426. 428. 440. 448. 450. 452. 454. 456. 460. 462. 464. 466. 492. 500.
Ἰούδας, γενάρχης, 54. 132. 166. 220. 232. 234. 280. 282. 314. 318. 320. 322. 326. 334. 340. 342. 344. 412. 432. 456. 462. 472. 498.
Ἰούδας ὁ Γαλιλαῖος 450.
Ἰσραὴλ 12. 14. 16. 18. 20. 22. 24. 26. 28. 34. 36. 40. 42. 44. 46. 54. 56. 58. 70. 76. 84. 86. 92. 100. 102. 104. 106. 120. 140. 148. 158. 168. 170. 174. 180. 188. 206. 208. 210. 216. 220. 222. 224. 230. 232. 234.

236. 240. 154. 256. 258. 260. 270. 272. 280. 282. 286. 290. 294. 298. 302. 304. 308. 310. 314. 316. 318. 328. 330. 332. 334. 346. 352. 382. 384. 390. 394. 398. 402. 408. 410. 412. 416. 418. 420. 428. 430. 432. 434. 436. 438. 440. 442. 444. 446. 448. 454. 484. 486. 488. 490. 492. 494. 496. 498. 500. 502. 506.
Ἰσραηλίτης 64. 450.
Ἰωάθαμ 10. 12. 314.
Ἰωαθάν 318.
Ἰωάννης (εὐαγγελιστὴς) 160. 284. 362. 364. 408. 410. 424. 452.
Ἰωάννης (πρόδρομος) 26. 88.
Ἰωᾶς 282. ς 346.
Ἰώσηπος 38. 250. 442. 458.
Ἰωσὴφ 460.
Ἰωσὴφ (μνηστὴρ Θεοτόκου) 410.
Ἰωσίας 346.

Κ

κάθαρσις 56. 60.
καιρὸς διορθώσεως 24.
κακανδρεία 356.
κακία 76. 234.
κακουργία 184.
Καμβύσης 438.
Καπερναοὺμ 408.
κατάκρισις 56.
καταλλαγὴ 422.
κατάρα 224.
καταφρόνησις 28.
κήρυγμα 14.
κήρυγμα εὐαγγελικὸν 270.
κήρυγμα σωτήριον 410.
κίνδυνος 330.
κληρονομία 396.
κόλασις 308.
κοσμιότης 198.
κρίσις 74. 78. 84. 178. 214.
κρίσις (μέλλουσα) 26.

Λ

λατρεία ἡ ἐν σκιαῖς 392.
λατρεία νόμου 50. 52. 64. 452.
λατρεία πνευματικὴ 66. 392. 454
λατρεία ἑλληνικὴ 106. 416.
Λευῖ 448.
Λίβανος 136. 138.
λιμὸς 404. 406.
Λυσίας 440.
λύτρωσις 14. 24. 56. 368. 372.
λωποδυτεῖν 418.
Λὼτ 172.

Μ

Μαγεδὼ 504.
Μαδιάμ 414. 418. 500. 502.
Μαδιηναῖοι 416. 418. 500.
Μακεδόνες 440.
Μακεδονία 440.
Μακκαβαῖοι 312. 442.
μακροθυμία 44. 260.
μαναά 498. 502.
Μανασσῆς 344. 456. 460.
μανία 122. 322. 404. 460.
Μανιχαῖοι 422.
μάννα 350.
μαντεία 124. 400.
Ματθαῖος 92. 292. 372. 408.
Μαχμᾶς 506.
μέθεξις 226.
μέθη 128. 244. 266.
Μελῳδὸς (Δαβὶδ) 222. 248.
μετάγνωσις 60. 246. 276. 438. 466.
μεταμόρφωσις 364.

μετάνοια 26. 44. 88. 92. 260.
Μῆδοι 54. 98. 230. 316. 352. 370. 430. 434. 444.
μιαιφονία 56. 78.
μικροψυχία 212.
μολυσμὸς 48. 214.
μυσταγωγία 162. 364. 384. 392. 410.
μυστήριον 8. 28. 40. 46. 48. 50. 56. 78. 82. 188. 288. 298. 336. 360. 366. 378.
Μωαβῖται 34. 98. 344. 466. 490.
Μωσῆς-Μωυσῆς 18. 46. 48. 50. 58. 70. 74. 82. 120. 122. 126. 130. 152. 188. 206. 222. 268. 270. 282. 292. 298. 304. 350. 384. 404. 410. 434. 448. 486. 494.

N

Νάβατ 432.
Ναβουχοδονόσωρ 344. 346. 350. 352. 378. 438. 440. 444.
Ναζαρὲθ 408. 410.
Ναθαναὴλ 64. 412.
νεκυομαντεία 400.
Νεομηνία 52.
Νεφθαλεὶμ 406. 408. 410. 412. 420.
Νεχαὼ 346.
νηστεία 44. 262.
Νινευῆ 376. 378.
νόμος 8. 10. 50. 56. 66. 80. 124. 152. 178. 188. 364. 398. 400. 410. 420.
νουθεσία 46. 282.
Νῶε 60.

O

ὁδὸς ἀληθείας 394.
ὁδὸς ζωῆς 70.
Ὀζίας 12. 278. 282. 284. 314. 316. 318.
οἰκείωσις 184.
οἰκονομία 118. 288. 364. 374. 426.
ὀλιγανδρία 312. 354.
ὁλοκαύτωμα 44. 50.
ὁλοκληρία 28.
Ὀμάθα 434.
ὁμοίωσις 130. 296. 390.
ὀνειδισμὸς 204. 206. 208. 270.
ὄνησις 146.
ὀργὴ 12. 16. 30. 32. 42. 44. 48. 54. 66. 72. 88. 102. 132. 138. 174. 234. 242. 246. 252. 258. 260. 262. 268. 270. 272. 274. 320. 324. 430. 436. 438. 456. 460. 462. 466. 468. 470. 472. 476. 478. 486. 488. 490. 492. 496. 500.
ὀσμὴ εὐωδίας 298. 392.
Οὐεσπασιανὸς 34. 122. 274. 308. 310. 444. 456.
Οὐρίας 360. 362. 364. 366.
Ὀχοζίας 10.

Π

πάθημα 70.
πάθος 34. 38. 40. 80. 148. 182. 204. 292. 348. 416. 418. 424.
παιδαγωγία 66. 110. 188. 454.
παιδαγωγὸς (ὁ νόμος) 22.
Παλαιστινοὶ 34.
παντευχία 156.
Παρθένος 366.
παροίνια 454.
παρρησία 154. 190.
Παῦλος 22. 34. 58. 60. 62. 64. 70. 94. 104. 112. 128. 152. 154. 156. 162. 200. 214. 224. 234. 242. 244. 246. 296. 300. 304. 356. 360. 362. 376. 388. 392. 416. 442. 454. 462.

πειρασμὸς 216. 218.
περιτομὴ ἐν πνεύματι 104.
περιτομὴ καρδίας 104.
Πέρσαι 54. 98. 122. 230. 316. 348. 352. 370. 430. 444.
Πέτρος 60. 180. 212. 292. 364. 410.
Πιλᾶτος 78. 172. 174. 234. 456.
πίστις 14. 22. 28. 42. 48. 52. 58. 70. 72. 82. 86. 90. 96. 112. 154. 156. 160. 174. 178. 184. 192. 234. 286. 290. 300. 304. 384. 386.392. 394. 396. 414. 420. 444. 508.
πλάνη 490.
πλεονεξία 18. 114. 116. 122. 128. 188. 192. 238. 240. 242. 418. 428. 464. 508.
πλεονεξία διαβολικὴ 414.
πλεονεξία τυραννικὴ 414.
πλημμέλεια 102.
πλημμέλημα 28. 56. 80. 102. 120. 122. 176. 216. 294. 438.
πνεύματα ἀκάθαρτα 210.
πολιορκία 150.
πονηρία 60. 62. 64. 156. 182. 200. 214. 336. 338. 456. 462. 464.
πορνεία 76. 130. 170. 418.
προθυμία 86. 198. 218.
προνομὴ 312. 360. 462. 464. 468. 470. 478.
προσευχὴ 200. 260. 270.
προφητεία 14. 158.
πρωτότοκος 22. 396. 486.
Πτολεμαῖος 440.
πτωχεία 168.
πώρωσις 304. 308.

P

Ῥαασσὶμ 328.
Ῥαασσὼν 314. 316. 318. 326. 328. 340. 372. 376.
ῥᾳθυμία 252.
Ῥᾶμα 506.
Ῥαψάκης 146. 314. 434. 472. 484. 488. 496.
Ῥοβοὰμ 342.
Ῥομέλιος 314. 316. 318. 324. 326. 328. 330. 372.
Ῥωμαῖος, -οι 30. 88. 98. 114. 116. 174. 192. 254. 272. 312. 444. 446. 466.

Σ

Σαλὴμ 350.
Σαλμανασὰρ 316. 328. 434. 484. 498.
Σαμάρεια 240. 314. 316. 318. 326. 328. 344. 350. 368. 370. 430. 432. 434. 436. 438. 468. 472. 474. 476. 480. 484. 490. 494. 498. 502.
Σαοὺλ 506.
Σαπφαρουῖας 316. 328.
Σαρσαθὰ 484.
Σατανᾶς 40. 68. 132. 184. 200. 214. 228. 366. 368. 370. 372. 378. 382. 414. 416. 418. 480.
Σεβωεὶμ 40.
Σενναχειρὶμ 432. 436.
Σεπφαρουεὶμ 472.
Σηγὼρ 498.
Σιλωὰμ 372. 376. 378.
Σίμων (Πέτρος) 408.
Σινᾶ 298.
Σιὼν 34. 36. 54. 74. 78. 90. 106. 108. 112. 120. 190. 192. 194. 196. 208. 212. 216. 222. 232. 266. 394. 398. 438. 440. 476. 478. 486. 506.
σιωπὴ 282.
σκαιότης 64. 72. 122. 186. 216. 238.

332. 382. 384. 388. 398. 400. 414. 420. 458.
σκηνοπηγία 52.
σκληροκαρδία 104.
Σόδομα 40. 42. 46. 48. 170. 172. 310.
Σοδομῖται 48.
Σολομὼν 52. 100. 198. 290. 314. 342.
Σόμορα 328. 330.
Σοφία 270. 284.
σοφία κόσμου 108.
σοφία 22. 476. 482.
σταυρὸς 54. 308. 364. 424. 444.
στενοχωρία 402.
Στέφανος 78.
συκοφαντία 128.
συμμορφία 154.
συμφορὰ 16. 34. 90. 102. 136. 148. 202. 252. 262. 268. 274. 320. 360. 462. 466.
συνείδησις 60.
σύνεσις 158. 476. 482.
συντέλεια 310.
Συρία 314. 316. 318. 370. 438. 440. 442. 444.
Σύροι 34. 326. 440. 466.
Συχὲμ 350.
σωτηρία 58. 86. 110. 118. 160. 258. 262. 296. 300. 320. 342. 370. 484.

Τ

Ταβεὴλ 324.
ταλαιπωρία 30. 32. 194. 196. 238. 264. 342.
ταπείνωσις 170.
τελειότης 160.
τελώνης 294.
Τιβεριὰς 408. 410. 412.
τιμὴ 480. 482.
τιμωρία 258.
Τίτος (Ρωμαῖος αὐτοκράτωρ) 34. 122. 274. 308. 310. 444. 458.
τρυφὴ 196. 200. 202. 204. 244. 246. 252. 254. 258. 266. 358.
Τύριοι 140.
Τῦρος 140.
τύχη 72.

Υ

υἱοθεσία 22.
ὑπακοὴ 42. 74.
ὑπεροψία 10. 126. 128. 184. 270. 278. 478. 480. 488.
ὑπόκρισις 164.
ὑπομονὴ 148.
ὑστεροβουλία 72.

Φ

φαιδρότης 14.
Φακεὲ 314. 316. 318. 320. 324. 326. 330. 340. 376.
Φαραὼ 18. 146. 346.
Φαρισαῖος 26. 78. 86. 92. 160. 178. 182. 294. 404. 420.
φαυλότης 12. 28. 60. 62. 66. 68. 74. 128. 176. 182. 190. 200. 214. 224. 228. 256. 294. 356. 338.
φειδὼ 36. 218.
φενακισμὸς 162.
φθορὰ 174. 244. 254. 310. 382.
φιλαλληλία 52.
φιλανθρωπία 60. 180. 324. 446.
φιλαργυρία 126.
Φίλιππος 410. 412.
Φιλιστιεὶμ 34. 344. 466.
φιλοδοξία 128.
φιλοθεΐα 26. 236. 474.
φιλοκερδία 128. 164. 180. 188. 258.

420. 450. 452.
φιλοσαρκία 244. 252.
φιλοτιμία 70. 210.
φόβος 384.
φόβος Κυρίου 134. 142. 144. 146. 388.
Φοίνικες 408.
φόνος 170.
φρενοβλάβεια 382. 398. 400.
φρόνημα θεοφιλὲς 46. 286. 508.
φρόνημα σαρκικὸν 192. 194.
φρόνημα φιλόκοσμον 196.
φρόνημα φιλόπορνον 196-198.
φροντὶς 168. 228. 234.
Φῶς (ὁ Χριστὸς) 58. 190. 322. 390.
φωτισμὸς 262.

Χ

Χαλάνη 468. 472.
Χαλὲβ 42.
Χαλίας 280.
Χαμὼς 490.
χάρισμα 150. 154. 168.
Χουνθὰ 316.
χρηστολογία 182.
χρηστότης 42. 260.
χυδαιότης 166.
Χωρὴβ 122. 298.

Ψ

ψευδοέπεια 400. 402.
ψευδολατρεία 330.
ψευδομαντεία 124.
ψευδομάντης 12. 402.
ψευδοπροφήτης 448.
ψεῦδος 296. 402.

Ω

Ὡσηὲ 12. 432. 434.
Ὡσηέ, βασιλεύς, 316. 498. 502.

ΠΕΡΙΕΧΟΜΕΝΑ

	Σελὶς
ΕΙΣΑΓΩΓΙΚΟ ΣΗΜΕΙΩΜΑ	7
ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ	7-509
ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΣΑΪΑΝ	8
ΒΙΒΛΙΟΝ Α΄ - ΛΟΓΟΙ ΕΞ	8
ΠΡΟΟΙΜΙΟΝ	8
ΛΟΓΟΣ Α΄ (Κεφ. 1, στίχ. 1 -- 31)	14
ΛΟΓΟΣ Β΄ (Κεφ. 2, στίχ. 1 -- Κεφ. 3, στίχ. 11)	102
ΛΟΓΟΣ Γ΄ (Κεφ. 3, στίχ. 12 -- Κεφ. 5, στίχ. 17)	176
ΛΟΓΟΣ Δ΄ (Κεφ. 5, στίχ. 18 -- Κεφ. 7, στίχ. 16)	256
ΛΟΓΟΣ Ε΄ (Κεφ. 7, στίχ. 17 -- Κεφ. 9, στίχ. 7)	340
ΛΟΓΟΣ ΣΤ΄ (Κεφ. 9, στίχ. 8 -- 32)	430
ΕΥΡΕΤΗΡΙΑ	511
1. Εὑρεήριο χωρίον τῆς Γραφῆς	511
2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων	517

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Γ. Μπακατσέλου 3 – Τηλ. 0310/283 880 – Θεσσαλονίκη
Έκτύπωση" Οφσετ: ΧΡ. ΘΩΜΑΣ – Τηλ. 23940/ 72 394– Λητή Θεσ/νίκης
Βιβλιοδεσία : Άφοί ΒΑΡΟΥΣΙΑΔΗ, Τηλ. 2310/710 140 – Θεσ/νίκη
Κεντρική διάθεση: Βιβλιοπωλεῖο Ε. ΜΕΡΕΤΑΚΗ
Γ. Μπακατσέλου 3 – Θεσ/νίκη – Τηλ. 2310/283 880 – (Οἰκίας 2310/696 653)
Διεύθυνση ἀλληλογραφίας : Τ.Θ. 40090 — Τ.Κ. 560 10